eul_wid: wus-aa

*Σοῦδα* · Suda

# Lexicon, Letter A

*Σοῦδα, Στοιχεῖον Α*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

pr 1 Εὔδημος ῥήτωρ περὶ λέξεων κατὰ στοιχεῖον. Ἑλλάδιος, ἐπὶ Θεοδοσίου τοῦ νέου, περὶ λέξεων κατὰ στοιχεῖον. Εὐγένιος Αὐγουστοπόλεως τῆς ἐν Φρυγίᾳ, παμμιγῆ λέξιν κατὰ στοιχεῖον. Ζώσιμος Γαζαῖος λέξεις ῥητορικὰς κατὰ στοιχεῖον. Κεκίλιος Σικελιώτης ἐκλογὴν λέξεων κατὰ στοιχεῖον. Λογγῖνος ὁ Κάσσιος λέξεις κατὰ στοιχεῖον. Λούπερκος Βηρύτιος Ἀττικὰς λέξεις. Οὐηστῖνος Ἰούλιος σοφιστὴς ἐπιτομὴν τῶν Παμφίλου γλωσσῶν, βιβλίων ἐννενήκοντα ἑνός. Πάκατος κατὰ στοιχεῖον περὶ συνηθείας Ἀττικῆς. Πάμφιλος λειμῶνα λέξεων ποικίλων, περιοχὴν βιβλίων ϟε′. ἔστι δὲ ἀπὸ τοῦ ε στοιχείου ἕως τοῦ ω, τὰ γὰρ ἀπὸ τοῦ ἄλφα μέχρι τοῦ δέλτα Ζωπυρίων ἐπεποιήκει.

pr 2 Πωλίων Ἀλεξανδρεὺς Ἀττικῶν λέξεων συναγωγὴν κατὰ στοιχεῖον.

α 1a Ἆ ἄ: παρ' Ἀριστοφάνει ἐπίρρημα μετ' ἐκπλήξεως καὶ κελεύσεως. ἆ ἆ, τὴν δᾶδα μή μοι πρόσφερε. τὸ ἄ ἄ κατὰ διαίρεσιν ἀναγνωστέον, οὐ καθ' ἕνωσιν· ἀλλὰ καὶ ψιλωτέον ἀμφότερα. εἰ γὰρ ἓν μέρος λόγου ἦν καὶ κατὰ σύναψιν ἀνεγινώσκετο, οὐ χρείαν εἶχε τῶν δύο τόνων ἤτοι τῶν ὀξειῶν. καὶ τοῦτο μὲν ἐκπλήξεως ὂν ψιλοῦται. τὸ δὲ ἇ ἇ θαυμαστικὸν δασύνεται, ὡς ἐν Ἐπιγράμμασί φησιν Ἀγαθίας· ἇ μέγα τολμήεις κηρὸς ἀνεπλάσατο.

α 1b Ἀάβ.

α 2 Ἀαγές: ἄθραυστον, ἰσχυρόν.

α 3 Ἀαδεῖν: ὀχλεῖν, ἀπορεῖν, ἀδικεῖσθαι, ἀσιτεῖν.

α 4 Ἀάλιον: ἄτακτον, ἀκρατές. Ἅλιον δὲ τὸ μάταιον.

α 5 Ἄαπτος: ἀβλαβής. Ἡρωδιανός φησι περὶ τοῦ ἄαπτος, ὅτι γίγνεται ἀπὸ τοῦ ἰάπτω τὸ βλάπτω, καὶ μετὰ τοῦ στερητικοῦ α καὶ κατ' ἔλλειψιν τοῦ ι ἄαπτος, ὃν οὐδεὶς δύναται βλάψαι. ἢ οὐχὶ κατὰ στέρησιν ἐκληπτέον τὸ α, ἀλλὰ κατ' ἐπίτασιν, ἵν' ᾖ ὁ μεγάλα δυνάμενος βλάπτειν. ὥστε τὸ μὲν πρῶτον δηλοῖ πάθος, τὸ δὲ δεύτερον ἐνέργειαν. λέγεται δὲ καὶ ἄαπτος κατὰ στέρησιν ὁ ἄψαυστος.

α 6 Ἀαρών: ὄνομα κύριον.

α 7 Ἀασάμην: ἥμαρτον, ἐσφάλην· ἐβλάβην, οἷον ἄτῃ περιέπεσον.

α 8 Ἀάσαι τέσσαρα σημαίνει· κορέσαι, καθυπνῶσαι, βλάψαι, λυπῆσαι.

α 9 Ἀάσχετος: ἀκράτητος.

α 10

Ἀββᾶ: ὁ πατήρ. οἱ μὲν παλαιοὶ ἐκάλουν πατέρα τὸν θεὸν ἐξ οἰκείας διανοίας, ὡς Μωϋσῆς· θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες· καὶ Μαλαχίας· ὁ θεὸς εἷς ἐγέννησεν ἡμᾶς καὶ πατήρ· οἱ δὲ ἐν χάριτι, ἀπὸ πνευματικῆς ἐνεργείας κινούμενοι. ὥσπερ πνεῦμα σοφίας εἶναι, καθ' ὃ σοφοὶ οἱ ἄσοφοι ἐγένοντο (καὶ δηλοῦται τοῦτο ἀπὸ τῆς διδασκαλίας) καὶ πνεῦμα δυνάμεως εἶναι, καθ' ὃ καὶ ἀσθενεῖς καὶ νεκροὺς ἤγειρον, καὶ πνεῦμα προφητείας, καὶ πνεῦμα γλωσσῶν, οὕτω καὶ πνεῦμα υἱοθεσίας. καὶ ὥσπερ ἴσμεν τὸ πνεῦμα τῆς προφητείας, ἀφ' ὧν ὁ ἔχων αὐτὸ λέγει τὰ μέλλοντα ὑπὸ τῆς χάριτος κινούμενος, οὕτω δὴ καὶ πνεῦμα υἱοθεσίας, ἀφ' οὗ ὁ λαβὼν πατέρα καλεῖ τὸν θεὸν, ὑπὸ πνεύματος κινούμενος. ὁ δὴ βουλόμενος δεῖξαι γνησιώτατον ὂν καὶ τῇ τῶν Ἑβραίων ἐχρήσατο γλώττῃ. οὐ γὰρ εἶπεν ὁ πατὴρ, ἀλλ' ἀββᾶ ὁ πατήρ· ὅπερ τῶν παίδων μάλιστά ἐστι τῶν γνησίων πρὸς πατέρα ῥῆμα.

α 11 Ἀβάκησαν: ἠγνόησαν, ἠσυνέτησαν.

α 12 Ἀββακούμ: πατὴρ ἐγέρσεως. τὸ μὲν γὰρ ἀββᾶ σημαίνει πατήρ, τὸ δὲ κοὺμ ἔγερσις· ὡς καὶ παρὰ τῷ θείῳ εὐαγγελίῳ· ταληθὰ, κούμ, ἤγουν ἡ παῖς ἐγείρου. ὅθεν δῆλον, ὅτι διὰ τῶν δύο ββ γραπτέον τὸ Ἀββακούμ.

α 13 Ἀβάλε: εἴθε ἀβάλε.

α 14 Ἄβαλεν: ἀντὶ τοῦ ἔβαλεν.

α 15 Ἀβάντειος: ὁ τοῦ Ἄβαντος. καὶ Ἀβαντιάδης.

α 16 Ἄβαξι: τοῖς παρ' ἡμῖν λεγομένοις ἀβακίοις. ὁ Λογοθέτης ἐν τῷ τῆς ἁγίας Θέκλης μαρτυρίῳ· Τρύφαινα δὲ πάθει ληφθεῖσα νεκροῖς ὁμοία πρὸς τοῖς ἄβαξιν ὡρᾶτο κειμένη. οὕτω φησίν.

α 17 Ἄβαπτος: ἀστομώτατος. καὶ Ἀβαπτότατος.

α 18 Ἄβαρις· Σκύθης, Σεύθου υἱός. συνεγράψατο δὲ χρησμοὺς τοὺς καλουμένους Σκυθινοὺς καὶ Γάμον Ἕβρου τοῦ ποταμοῦ καὶ Καθαρμοὺς καὶ Θεογονίαν καταλογάδην καὶ Ἀπόλλωνος ἄφιξιν εἰς Ὑπερβορέους ἐμμέτρως. ἧκε δὲ ἐκ Σκυθῶν εἰς Ἑλλάδα. τούτου ὁ μυθολογούμενος ὀϊστὸς, τοῦ πετομένου ἀπὸ τῆς Ἑλλάδος μέχρι τῶν Ὑπερβορέων Σκυθῶν· ἐδόθη δὲ αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος. τούτου καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον Ἐπιταφίῳ μνήμην πεποίηται. φασὶ δὲ ὅτι λοιμοῦ κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότος ἀνεῖλεν ὁ Ἀπόλλων μαντευομένοις Ἕλλησι καὶ βαρβάροις τὸν Ἀθηναίων δῆμον ὑπὲρ πάντων εὐχὰς ποιήσασθαι. πρεσβευομένων δὲ πολλῶν ἐθνῶν πρὸς αὐτοὺς, καὶ Ἄβαριν ἐξ Ὑπερβορέων πρεσβευτὴν ἀφικέσθαι λέγουσι κατὰ τὴν γʹ Ὀλυμπιάδα. ὅτι τοὺς Ἀβάρις οἱ Βούλγαροι κατὰ κράτος ἄρδην ἠφάνισαν. ὅτι οἱ Ἀβάρις οὗτοι ἐξήλασαν Σαβίνωρας, μετανάσται γενόμενοι ὑπὸ ἐθνῶν οἰκούντων μὲν τὴν παρωκεανῖτιν ἀκτήν, τὴν δὲ χώραν ἀπολιπόντων διὰ τὸ ἐξ ἀναχύσεως τοῦ Ὠκεανοῦ ὁμιχλῶδες γινόμενον, καὶ γρυπῶν δὲ πλῆθος ἀναφανέν· ὅπερ ἦν λόγος μὴ πρότερον παύσασθαι πρὶν ἢ βορὰν ποιῆσαι τὸ τῶν ἀνθρώπων γένος. διὸ δὴ ὑπὸ τῶνδε ἐλαυνόμενοι τῶν δεινῶν τοῖς πλησιοχώροις ἐνέβαλλον· καὶ τῶν ἐπιόντων δυνατωτέρων ὄντων οἱ τὴν ἔφοδον ὑφιστάμενοι μετανίσταντο, ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγένοντο. κλίνεται δὲ Ἄβαρις, Ἀβάριδος, τοὺς Ἀβάριδας, καὶ κατὰ ἀποκοπὴν Ἀβάρις. ζήτει περὶ τῶν αὐτῶν ἐν τῷ Βούλγαροι.

α 19 Ἀβαρνίς: ὄνομα πόλεως.

α 20 Ἄβας· σοφιστὴς, Ἱστορικὰ ὑπομνήματα καὶ Τέχνην ῥητορικὴν καταλιπών.

α 21 Ἀβασάνιστος: ἀγύμναστος ἢ ἀνεξέταστος, ἀδοκίμαστος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸ χρυσίον. ἐχρήσατο δὲ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας τῷ ἀβασάνιστος ἀντὶ τοῦ ἄνευ ὀδύνης.

α 22

Ἀβάσκανος: ἀψευδὴς, ἀνεπίφθονος. ὁ δὲ μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρου κατορθωμάτων.

α 23 Ἄβατον: ἱερὸν, ἀπρόσιτον, ἔρημον· καὶ ὁδὸς ἄβατος, ἡ ἀπόρευτος.

α 24 Ἀβαχθανῆ: λέξις Ἑβραϊκή.

α 25 Ἀβδέλυκτα: τὰ μὴ μιαίνοντα, ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειε. τραγικωτέρα δὲ ἡ λέξις. Αἰσχύλος Μυρμιδόσι· καὶ μὴν, φιλῶ γὰρ, ἀβδέλυκτ᾽ ἐμοὶ τάδε.

α 26 Ἄβδηρα: ἡ θάλασσα, καὶ ὄνομα πόλεως καὶ Ἀβδηρίτης ὁ πολίτης. καὶ Φάληρα καὶ Κύθηρα. Γάδειρα δὲ καὶ Στάγειρα καὶ Τόπειρα καὶ Δόβειρα.

α 27 Ἀβδιού: ὄνομα κύριον.

α 28 Ἀβέβαιος: ὁ ἀσταθὴς καὶ εὐμετάτρεπτος.

α 29 Ἀβέβηλα: τὰ μὴ βάσιμα χωρία, ἱερὰ δὲ καὶ ὅσια. βέβηλα γὰρ ἐλέγετο τὰ μὴ ὅσια μηδὲ ἱερὰ, παντὶ δὲ βάσιμα. καὶ Βέβηλοι, οἱ μὴ κεκοινωνηκότες ἱερῶν. καὶ Λόγοι ἀβέβηλοι, οἱ ἀπόρρητοι. καὶ Ἀβέβηλος, ὁ καθαρός.

α 30 Ἄβελ: υἱὸς Ἀδάμ. οὗτος παρθένος καὶ δίκαιος ὑπῆρχε καὶ ποιμὴν προβάτων· ἐξ ὧν καὶ θυσίαν τῷ θεῷ προσαγαγὼν καὶ δεχθεὶς ἀναιρεῖται, φθονηθεὶς ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Κάϊν. ὁ Κάϊν δὲ γεωργὸς τυγχάνων καὶ μετὰ τὴν δίκην χειρόνως βιώσας στένων καὶ τρέμων ἦν. ὁ γὰρ Ἄβελ τὰ πρωτότοκα τῷ θεῷ καθιερῶν φιλόθεον μᾶλλον ἢ φίλαυτον ἑαυτὸν συνίστη, ὅθεν καὶ διὰ τῆς ἀγαθῆς αὐτοῦ προαιρέσεως ἀπεδέχθη. ὁ δὲ Κάϊν δυσσεβῶς ἑαυτῷ ἀπονέμων τὰ πρωτογεννήματα, θεῷ δὲ τὰ δεύτερα, εἰκότως καὶ ἀπεβλήθη. φησὶ γάρ· καὶ ἐγένετο μεθ᾽ ἡμέρας, προσήνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς. ὥστε διὰ τοῦτο Κάϊν ἐλέγχεται, ὅτι μὴ τὰ ἀκροθίνια γεννήματα προσήνεγκε τῷ θεῷ, ἀλλὰ τὰ μεθ᾽ ἡμέρας καὶ δεύτερα.

α 31 Ἀβελτεροκόκκυξ: ὁ κενὸς καὶ ἀβέλτερος.

α 32 Ἀβέλτερος: ἀνόητος, ἀσύνετος. βέλτερος γὰρ ὁ φρόνιμος. οὐ μὰ Δί᾽ οὐχ ὁ πλεονέκτης καὶ ἀγνώμων, ἀλλ᾽ ὁ ἀνόητος καὶ εὐήθης μετὰ χαυνότητος. Μένανδρος Περινθίᾳ· ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα καὶ κοῦφον ἐξαπατᾷ θεράπων, οὐκ οἶδ᾽ ὅ τι οὗτος μεγαλεῖόν ἐστι διαπεπραγμένος, ἐπαβελτερώσας τόν ποτε ἀβέλτερον. λέγουσι δὲ καὶ ἀβελτήριον τὴν ἀβελτηρίαν. Ἀλεξανδρίδης Ἑλένῃ· ἄγκυρα, λέμβος, σκεῦος ὅ τι βούλει λέγε. ὦ Ἡράκλεις ἀβελτηρίου τεμενικοῦ. ἀλλ᾽ οὐδ᾽ ἂν εἰπεῖν τὸ μέγεθος δύναιτό τις. καὶ Ἀβελτηρία, ἡ ἀφροσύνη. ἢ ἀνοησία. Μένανδρος· εἰς τοῦτο δὲ ἀβελτηρίας ἤλασεν αὐτοῖς ὁ νοῦς, ὥστε θάτερον μέρος τὴν κατὰ θατέρου μᾶλλον ἢ τὴν κατὰ τῶν πολεμίων εὔχεσθαι νίκην.

α 33 Ἀβελτερώτατοι· Ἀριστοφάνης· τέως δ᾽ ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι Μελιτίδαι κάθηνται.

α 34 Ἀβέρβηλος: ὁ ἀκατάστατος. λέγεται δὲ καὶ Ἀβύρβηλον, ἀναίσχυντον, ἀπεχθές.

α 35 Ἀβεσαλώμ: ὄνομα κύριον. ὃς τοῦ ἰδίου πατρὸς Δαβὶδ κατεξανέστη καὶ ἀνῃρέθη ὑπ᾽ αὐτοῦ ἐν τῷ πολέμῳ.

α 36 Ἀβειρών: ὄνομα κύριον.

α 37 Ἀβηρωθαῖος: ὄνομα κύριον.

α 38 Ἀβής: ὁ ἀσύνετος.

α 39 Ἀβιά· ὄνομα κύριον.

α 40 Ἀβιαδηνός: ἀπὸ πόλεως Ἀβιαδηνῆς.

α 41 Ἀβιάθαρ: ὄνομα κύριον.

α 42

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀβίας· υἱὸς Ῥοβοὰμ, τοῦ υἱοῦ Σολομῶντος, ὃς ἐπολέμησεν Ἱεροβοὰμ τῷ δούλῳ Σολομῶντος καὶ ἐν μιᾷ ἡμέρᾳ ἀνεῖλεν ἄνδρας δυνατοὺς ͵αφʹ.

α 43 Ἀβίγας: ποταμός.

α 44 Ἀβιέζερ: ὄνομα κύριον.

α 45 Ἀβιμέλεχ: ὄνομα κύριον. υἱὸς Γεδεών. οὗτος ἐπάταξε τοὺς ἀδελφοὺς αὐτοῦ ἐκ τῶν ἐλευθέρων ἄνδρας ἑβδομήκοντα ἐπὶ λίθον ἕνα, ἐξ ὧν οὐκ ἀπελείφθη πλὴν Ἰωάθαμ τοῦ νεωτέρου διαδράντος. ὃς καὶ παραπορευομένου τοῦ Ἀβιμέλεχ μετὰ τοῦ λαοῦ ἀνῆλθεν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἐπάρας τὴν φωνὴν αὐτοῦ ἔφη πρὸς αὐτοὺς παραβολὴν τοιαύτην. ἀκούσατέ μου, ἄνδρες Σικίμων, καὶ ἀκούσει ὑμῶν ὁ θεός. πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρίσαι βασιλέα ἐφ’ ἑαυτῶν. καὶ εἶπαν τῇ ἐλαίᾳ· βασίλευσον ἐφ’ ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ἐν ἐμοὶ ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα τῇ συκῇ· δεῦρο, βασίλευσον ἐφ’ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα πρὸς τὴν ἄμπελον· δεῦρο, βασίλευσον ἐφ’ ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφεῖσα τὸν οἶνόν μου καὶ τὴν εὐφροσύνην τῶν ἀνθρώπων πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον πάντα τὰ ξύλα τῇ ῥάμνῳ· δεῦρο, σὺ βασίλευσον ἐφ’ ἡμᾶς. καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βασιλεύειν ἐφ’ ὑμᾶς, δεῦτε, ὑποστῆτε ἐν τῇ σκιᾷ μου, καὶ εἰ μὴ, ἐξέλθοι πῦρ ἀπ’ ἐμοῦ καὶ καταφάγῃ τὰς κέδρους τοῦ Λιβάνου. καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ ὁσιότητι ἐποιήσατε μετὰ τοῦ πατρός μου καὶ μετὰ τοῦ οἴκου αὐτοῦ καὶ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ υἱὸν τῆς παιδίσκης αὐτοῦ ἐπὶ τοὺς ἄνδρας Σικίμων, εὐφρανθείητε ἐν αὐτῷ, καὶ εὐφρανθείη καί γε αὐτὸς ἐν ὑμῖν· εἰ δὲ μὴ, ἐξέλθοι πῦρ ἐξ Ἀβιμέλεχ καὶ καταφάγοι τοὺς ἄρχοντας ὑμῶν καὶ τοὺς οἴκους αὐτῶν· καὶ ἐξέλθοι πῦρ ἐκ τῶν ἀνδρῶν Σικίμων καὶ καταφάγοι τὸν Ἀβιμέλεχ. καὶ ἀπέδρα Ἰωάθαμ ἀπὸ προσώπου Ἀβιμέλεχ ἀδελφοῦ αὐτοῦ. ὁ δὲ Ἀβιμέλεχ ἦρξεν ἐπὶ τὸν Ἰσραὴλ ἔτη τρία. καὶ ἐξαπέστειλεν ὁ θεὸς πνεῦμα πονηρὸν ἀνὰ μέσον Ἀβιμέλεχ καὶ ἀνὰ μέσον ἀνδρῶν Σικίμων. καὶ ἠθέτησαν οἱ ἄνδρες Σικίμων ἐν τῷ οἴκῳ Ἀβιμέλεχ τοῦ ἐπαγαγεῖν ἀδικίαν καὶ τὸ αἷμα τῶν οʹ υἱῶν Γεδεὼν ἐπὶ τὴν κεφαλὴν Ἀβιμέλεχ. καὶ γὰρ ἀπελθὼν πολεμῆσαι πύργον καὶ προσεγγίσας τῇ θύρᾳ τοῦ πύργου ἐμπρῆσαι αὐτὴν, ἔρριψε γυνὴ κλάσμα μύλου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ συνέτριψε τὸ κράνιον αὐτοῦ. καὶ ἐπιβοήσας ταχὺ εἶπε πρὸς τὸν αἴροντα αὐτοῦ τὰ σκεύη· σπάσον τὴν ῥομφαίαν σου καὶ θανάτωσόν με, μή ποτε εἴπωσιν· γυνὴ αὐτὸν ἀπέκτεινε. καὶ κεντῆσαν αὐτὸν τὸ παιδάριον ἀνεῖλε. καὶ ἐπέστρεψεν ὁ θεὸς τὴν πονηρίαν Ἀβιμέλεχ, ἣν ἐποίησε τῷ πατρὶ αὐτοῦ ἀποκτείνας τοὺς οʹ ἀδελφοὺς αὐτοῦ. καὶ πᾶσαν τὴν πονηρίαν ἀνδρῶν Σικίμων ἐπέστρεψεν ὁ θεὸς εἰς τὴν κεφαλὴν αὐτῶν κατὰ τὸν λόγον καὶ τὴν παροιμίαν Ἰωάθαμ.

α 46 Ἄβιννα: ὄνομα πόλεως.

α 47 Ἄβιος· Ἀντιφῶν τὸν ἄβιον ἐπὶ τοῦ πολὺν τὸν βίον τάττει κεκτημένου. ὥσπερ καὶ Ὅμηρος τὸ ἄξυλον ἀντὶ τοῦ πολύξυλον.

α 48 Ἀβιούδ: ὄνομα κύριον.

α 49 Ἀβίωτον: κακὸν ἀηδὲς, ὀδυνηρόν. ὁ δὲ ἀβιώτως εἶχεν, εἰ μὴ κρατήσοι τῆς πόλεως. καὶ Ἀβίωτος, ὁ μὴ ζῶν.

α 50 Ἀβίωτος: ὁ πολυβίωτος, μακροβίωτος, βιωτικός· πλὴν τοῦ βίοτος, βιοτὴ καὶ βιοτεύω ῥῆμα.

α 51 Ἀβισάκ: ὄνομα κύριον.

α 52 Ἀβίσαρος: ὄνομα τόπου.

α 53 Ἄβιτος: ὄνομα κύριον. Ἄβιτος τὴν ἀσκητικὴν καλύβην ἐπήξατο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 54 Ἀβλεμέως: ἀφροντίστως.

α 55 Ἀβλεπτήματι: ἁμαρτήματι. ὁ δὲ φέρων ἐκαρτέρει τὰ τῶν ἰδιωτῶν ἀβλεπτήματα, τὰ δὲ τῶν λογικωτέρων αὐτὸν ἠνία. καὶ Ἀβλεπτοῦντες. οἱ δὲ ἀβλεπτοῦντες καὶ αἰδούμενοι ἀντοφθαλμεῖν πρὸς τὸν Φίλιππον ἐβοήθουν.

α 56 Ἄβληρος: ὄνομα κύριον.

α 57 Ἀβλῆτα: βέλη, τὰ μὴ πεμφθέντα εἰς τρῶσιν. καὶ ἀβλῆτα ὀϊστὸν, τὸν κακόβλητον ἢ τὸν μήπω βεβλημένον. κλίνεται δὲ ἀβλὴς, ἀβλῆτος.

α 58 Ἀβληχρήν: ἀσθενῆ. βληχρὸν γὰρ τὸ ἰσχυρόν. Αἰλιανός· κατέστρεψεν οὖν τὸν βίον πράως τε καὶ σὺν γαλήνῃ καὶ ἀβληχρῷ θανάτῳ, ὅνπερ οὖν ἐπαινεῖν καὶ Ὅμηρος δοκεῖ μοι.

α 59 Ἀβολήτωρ καὶ Ἄβολις. ἢ Ἄβολος, ὄνος ὁ μηδέπω βεβληκὼς ὀδόντας, ἐξ οὗ γνωρίζεται ἡ ἡλικία τοῦ ζῴου. ἐκ δὲ τούτου ὁ νέος οὐδέπω γνώμονα ἔχων. γνώμονα δὲ ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι’ οὗ τὰς ἡλικίας ἐξήταζον· τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον, ἐκ μεταφορᾶς τῶν τετραπόδων. καὶ ἀπογνώμονας τοὺς ἀπογεγηρακότας, οἷς ἐλελοίπει τὸ γνώρισμα. καὶ Ἀβόλους πώλους, τοὺς μηδέπω βεβληκότας ὀδόντας.

α 60 Ἀβουλεί: ἀβούλως, ἀφρόνως, ἀμαθῶς. ὁ δὲ οὐ σφόδρα στοχαζόμενος τῆς τοῦ βασιλέως γνώμης ἀβουλότατα διεπράξατο.

α 61 Ἀβουλεῖν: μὴ βούλεσθαι, ἢ μὴ βουλεύεσθαι. Πλάτων.

α 62 Ἀβούλητον κακόν: ἀθέλητον, ὃ οὐ θέλει τις. καὶ Ἀβούλητος, ὁ μὴ βουλόμενος, Ἀβούλιτος δὲ ὄνομα κύριον, διὰ τοῦ ι.

α 63 Ἀβουλία: ἀπαιδευσία, ἄνοια. καὶ μωρία.

α 64 Ἀβούλως: ἀφρόνως, ἀμαθῶς. στίχος· κακῶς, ἀβούλως, ἀφρόνως, ἄνευ λόγου.

α 65 Ἀβωνοτειχίτης: ὄνομα κύριον.

α 66 Ἄβωρα: ὄνομα τόπου.

α 67 Ἀβωριγῆνες: ἔθνος. Ἀβοριγῖνοι δέ.

α 68 Ἄβρα: οὔτε ἁπλῶς θεράπαινα οὔτε ἡ εὔμορφος θεράπαινα λέγεται, ἀλλ’ οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή. Μένανδρος Ψευδηρακλεῖ· μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυεῖν ταύταιν. τρέφει δὲ παλλακή τις τοῦ πατρὸς αὐτὰς, ἄβρα τῆς μητρὸς αὐτῶν γενομένη. Σικυωνίῳ· καὶ ἄβραν γὰρ ἀντωνούμενος ἐρωμένην, ταύτῃ μὲν οὐ παρέδωκ’ ἔχειν, τρέφειν δὲ χωρὶς, ὡς ἐλευθέρᾳ πρέπει. Ἀπίστῳ· ᾤμην εἰ τὸ χρυσίον λάβοι ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγορασμένην ἄβραν ἔσεσθαι. Ἰάμβλιχος· ἐπεὶ δὲ τοῦτο χαλεπὸν ἦν καὶ σπάνιόν τι τὸ τῆς οἰκουροῦ φυλαττούσης καὶ ἄβρας τινὸς ἄλλης συμπαρούσης, ἀναπείθει τὴν κόρην λαθοῦσαν τοὺς γονεῖς ἀποδρᾶναι.

α 69 Ἀβραάμ· ὁ πρῶτος ἐν πατριάρχαις· εἰς ὃν ἀπεσεμνύνετο δῆμος ὁ τῶν Ἑβραίων τὸ πρότερον, πρὶν ἢ θεοῦ ἀποσκιρτῆσαι καὶ γενέσθαι τούτου ἀλλότριοι καὶ τὸ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ αἷμα ἐφ’ ἑαυτοὺς ἐπισπάσασθαι. οὗτος ἐκ μὲν τῆς Χαλδαίων γῆς ὑπῆρχεν ὁρμώμενος, τῶν περὶ τὰ μετέωρα καὶ τοὺς ἀστέρας τὸν βίον ὅλον καταναλισκόντων. ἀσκηθεὶς οὖν κατὰ τὸν πάτριον νόμον τὰς τῶν ἐπουρανίων ἀστέρων κινήσεις καὶ στοχασάμενος ὡς οὐκ ἐν τούτοις ἵσταται τὸ μεγαλουργὸν τῆς φαινομένης ταυτησὶ κτίσεως, ἀλλ’ ἔχει τινὰ τὸν δημιουργὸν τὸν καὶ κινοῦντα καὶ διευθύνοντα τὴν ἐναρμόνιον τῶν ἀστέρων πορείαν καὶ τοῦ κόσμου παντὸς τὴν κατάστασιν, καὶ διὰ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων τὸν γενεσιουργὸν αὐτῶν, ὡς ἐνῆν, θεωρήσας οὐκ ἔστη μέχρι τούτων, οὐδὲ τὴν ἔφεσιν εἰς ταῦτα κατεδαπάνησεν, ἀλλὰ τῶν οὐρανίων ἁψίδων ὑπεραρθεὶς καὶ πᾶσαν διαβὰς τὴν νοητήν τε καὶ ὑπερκόσμιον σύμπηξιν οὐκ ἀπέστη τοῦ ζητουμένου, ἕως οὗ ὁ ποθούμενος ἑαυτὸν αὐτῷ ἐφανέρωσε τύποις τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορφώμασιν, οἷς ἑαυτὸν ἐμφανίζει ὁ ἀφανὴς καὶ ἀόρατος. καὶ μετανάστην αὐτὸν ἐκ τῆς πατρίδος λαβὼν ἐπὶ τὴν Χαναν ῖτιν κατέστησε, τὸν ἐνενηκοστόν που καὶ ἔνατον ἤδη χρόνον παρέλκοντα· καὶ ἄπαιδα μέχρι τότε τυγχάνοντα γεννήτορα τοῦ θαυμασίου καὶ μάκαρος κατέστησεν Ἰσαὰκ, ἵν' ἔχοι μονογενῆ υἱὸν καὶ πρωτότοκον, τοῦ μονογενοῦς καὶ πρωτοτόκου μυστικὴν εἰκόνα προδιαγράφοντα· τοῦτο γέρας αὐτῷ κατ' ἐξαίρετον χαρισάμενος, τὸ δοῦλον καὶ φίλον καὶ πατέρα χρηματίσαι τοῦ μονογενοῦς υἱοῦ κατὰ σάρκα, τοῦ τὸν κόσμον ὅλον δημιουργήσαντος. οὗτος εὗρε μὲν ἱερὰ γράμματα καὶ γλῶσσαν ἐμηχανήσατο, ἧς Ἑβραίων παῖδες ἐν ἐπιστήμῃ ἐτύγχανον, ὡς ὄντες τούτου μαθηταὶ καὶ ἀπόγονοι. ἐκ τούτου καὶ τὰ Ἑλλήνων γράμματα τὰς ἀφορμὰς ἔλαβον, κἂν ἄλλως καὶ ἄλλως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες. καὶ τούτου μαρτύριον ἡ τοῦ Ἄλφα φωνὴ τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ Ἄλεφ Ἑβραίου λαβόντος τὴν ἐπίκλησιν τοῦ μακαρίου καὶ πρώτου καὶ ἀθανάτου ὀνόματος. ἐκ τούτου καὶ τὰ ὀνείρων βιβλία ἐσφετερίσαντο Ἕλληνες. καὶ μάρτυς Ἰωσὴφ ὁ πανθαύμαστος ὁ τούτου ἀπόγονος, ὁ τοῦ Φαραὼ τὰ ἐνύπνια ὡς ἔμελλον ἀποβήσεσθαι διηγούμενος. τοῦτό μοι καὶ Φίλων, ἐξ Ἑβραίων φιλόσοφος, ἐν τῷ τοῦ Πολιτικοῦ βίῳ συνεπιμαρτυρήσεται, Φίλων, περὶ οὗ ἐρρήθη, Φίλων πλατωνίζει, καὶ Πλάτων φιλωνίζει. ὅτι ἤρξατο ἡ εἰδωλολατρεία ἀπὸ Σεροὺχ ἕως τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ. ὃς Ἀβραὰμ ὑπάρχων ἐτῶν ιδ' καὶ θεογνωσίας ἀξιωθεὶς ἐνουθέτει τὸν πατέρα αὐτοῦ, λέγων· τί πλανᾷς τοὺς ἀνθρώπους διὰ κέρδος ἐπιζήμιον (τουτέστι τὰ εἴδωλα); οὐκ ἔστιν ἄλλος θεὸς εἰ μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ καὶ πάντα τὸν κόσμον δημιουργήσας. ὁρῶν γὰρ τοὺς ἀνθρώπους κτισματολατροῦντας διήρχετο διαπονούμενος καὶ τὸν ὄντως ὄντα θεὸν ἐκζητῶν ἐκ φιλοθέου καρδίας. ὁρῶν δὲ τὸν οὐρανὸν ποτὲ μὲν λαμπρὸν, ποτὲ δὲ σκοτεινὸν, ἔλεγεν ἐν ἑαυτῷ· οὐκ ἔστιν οὗτος θεός. ὁμοίως καὶ τὸν ἥλιον καὶ τὴν σελήνην, τὸν μὲν ἀποκρυπτόμενον καὶ ἀμαυρούμενον, τὴν δὲ φθίνουσαν καὶ ἀπολήγουσαν, ἔφησεν· οὐδ' οὗτοί εἰσι θεοί. καὶ μέντοι καὶ τὴν τῶν ἀστέρων κίνησιν, ἐκ τοῦ πατρὸς γὰρ ἐπαιδεύετο τὴν ἀστρονομίαν, καὶ ἀπορῶν ἐδυσχέραινεν. ὤφθη δὲ αὐτῷ ὁ θεὸς καὶ λέγει αὐτῷ· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου. καὶ λαβὼν τὰ εἴδωλα τοῦ πατρὸς καὶ τὰ μὲν κλάσας τὰ δὲ ἐμπυρίσας ἀνεχώρησε μετὰ τοῦ πατρὸς ἐκ γῆς Χαλδαίων· καὶ ἐλθόντος εἰς Χαρρὰν, ἐτελεύτησεν ὁ πατὴρ αὐτοῦ. καὶ ἐξελθὼν ἐκεῖθεν ἐν λόγῳ Κυρίου ἦλθε σὺν τῇ γυναικὶ Σάρρᾳ καὶ τῷ ἀνεψιῷ Λὼτ μετὰ πάσης αὐτῶν τῆς ἀποσκευῆς εἰς τὴν ὀφειλομένην γῆν Χαναὰν, ἣν οἱ Χαναναῖοι τυραννικῶς ἀφελόμενοι ᾤκησαν. λιμοῦ δὲ γενομένου καταλιπὼν τὴν Χαναναίων γῆν εἰς Αἴγυπτον ἀπῄει, οὗ τὴν γυναῖκα Σάρραν Ἀβιμέλεχ ἥρπασεν ὁ βασιλεύς. τοῦτον ὁ θεὸς ἐκδειματώσας καὶ πάρεσιν τῶν μελῶν ἐπάξας, ἀπόδος, ἔφη, τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσεις. εἰ δὲ μὴ ἀποδῷς, γνῶθι ὅτι ἀποθανῇ σὺ καὶ τὰ σὰ πάντα. καὶ οὕτως ἀπολαβὼν τὴν γυναῖκα ἀμίαντον καὶ προσευξάμενος ἰαθῆναι ἐποίησε τῆς παρέσεως Ἀβιμέλεχ καὶ τὸν οἶκον αὐτοῦ. ἔκτοτε τιμῶν αὐτὸν ὁ βασιλεὺς καὶ προσέχων τοῖς ὑπ' αὐτοῦ λεγομένοις, διδάσκαλος εὐσεβείας καὶ πολυπειρίας Αἰγυπτίοις ἐγένετο. ὁ αὐτὸς Ἄβραμ ὑποστρέφων ἐκ τοῦ πολέμου τῆς εὐλογίας τοῦ Μελχισεδὲκ κατηξίωται, τοῦ βασιλέως Σαλὴμ, ὃς ἐξήνεγκεν αὐτῷ ἄρτους καὶ οἶνον. ἦν δὲ καὶ ἱερεὺς τοῦ Ὑψίστου. καὶ ἔδωκεν αὐτῷ Ἄβραμ δεκάτην ἀπὸ πάντων. ἦν δὲ ὁ Μελχισεδὲκ ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ. τῷ δὲ Ἄβραμ ἀτεκνίαν ὀλοφυρομένῳ καθ' ὕπνους ἐπιδείξας ὁ θεὸς τοὺς ἀστέρας κατὰ τὸ πλῆθος αὐτῶν ἔσεσθαί οἱ τὸ σπέρμα προεδήλου. ὁ δὲ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἡ δὲ Σάρρα στεῖρα οὖσα συνεχώρησεν Ἄβραμ ἀπὸ τῆς παιδίσκης παιδοποιήσασθαι· καὶ ἴσχει τὸν Ἰσμαήλ. ἐνενήκοντα δὲ καὶ ἐννέα ἐτῶν ὄντι τῷ Ἄβραμ ἐπιφανεὶς ὁ θεὸς Ἀβραὰμ μετωνόμασεν· Ἄβραμ γὰρ πρώην ὠνομάζετο· ὁμοίως καὶ τὴν Σάραν Σάρραν, προσθεὶς καὶ ἕτερον ρ. καὶ περιέτεμε τὸν Ἰσμαὴλ καὶ πάντας τοὺς ἐξ αὐτοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κύριος δὲ τῷ Ἀβραὰμ ἐπιξενωθεὶς ἐπηγγείλατο τέξεσθαι Σάρραν αὐτῷ παῖδα. ἡ δὲ ἐμειδίασε, καὶ Ἰσαὰκ τὸ γεννηθὲν προσηγορεύθη, φερωνύμως τῷ μεθ’ ἡδονῆς γέλωτι κατὰ τὴν Ἑβραΐδα διάλεκτον. καὶ Ἀβραμιαῖος: ὁ ἀπόγονος Ἀβραάμ, ἢ γιγαντιαῖος, ἱεροπρεπής.

α 70 Ἁβρὰ βαίνων: θρυπτόμενος, βλακευόμενος. ἐκεῖνος ὄντως ἁβρὰ βαίνων ἐδόκει ἔχων τὰς ὀφρῦς ὑπερηρμένας ἄνω.

α 71 Ἀβέλτερος νοῦς, χαῦνος, εὐήθης, νέος.

α 72 Ἀβρανῖτις: χώρα.

α 73 Ἁβραῖς: ἁπαλαῖς, τρυφεραῖς. Αἰλιανός· ἐπὶ κλίναις μάλα ἁβραῖς καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις ἐπιθέντας.

α 74 Ἀβρέας: ὄνομα κύριον.

α 75 Ἀβρεττηνή: χώρα, ἡ λεγομένη Μυσία.

α 76 Ἀβρηλία: χώρα. καὶ Ἀβρηλιανὸς καὶ Ἀβρήλιος, ὀνόματα κύρια.

α 77 Ἀβρικέστερον: τὸ ἀληθέστερον.

α 78 Ἄβρικτον: τὸ δύσκωφον. ἤτοι τὸ ἐκ μέρους ἀκοῦον.

α 79 Ἀβρίξαι: τὸ ἀπὸ βορᾶς νυστάξαι ἢ κοιμηθῆναι.

α 80 Ἀβριόρηξ: ὄνομα κύριον.

α 81 Ἀβρογάστης· Φράγγος, ὃς κατὰ ἀλκὴν σώματος καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ἦν, δευτεραγωνιστὴς τυγχάνων Βαύδωνος. ἄλλως τε ἦν καὶ πρὸς σωφροσύνην πεπηγώς τε καὶ διηρθρωμένος καὶ πρὸς χρήματα πόλεμον πολεμῶν ἄσπονδον. διέφερε γοῦν τῶν εὐτελῶν στρατιωτῶν ὅσον γε εἰς πλοῦτον οὐδέν. καὶ διὰ τοῦτο ἐδόκει τῷ βασιλεῖ Θεοδοσίῳ χρήσιμος, ὅς γε πρὸς τὸν Οὐαλεντινιανοῦ τρόπον ἀρρενωπὸν ὄντα καὶ δίκαιον, καὶ τὸ παρ’ ἑαυτοῦ βάρος ἐπετίθει, καθάπερ ὀρθὸν καὶ ἀστραβῆ τὸν κάνονα τοῖς βασιλείοις, πρὸς τὸ μηδὲν τῶν περὶ τὴν αὐλὴν παραβλάπτεσθαι ἢ ἁμαρτάνεσθαι.

α 82 Ἁβροδιαίτῃ: τρυφερᾷ ζωῇ καὶ ἁπαλῇ. καὶ Ἁβροδίαιτος: τρυφητὴς, τρυφερόβιος. τοῖς δὲ Ῥωμαίοις οὐκ ἐς τὸ ἁβροδίαιτον ὁ βίος· ἄλλως δὲ ὡς φιλοπόλεμοί τέ εἰσι καὶ φερέπονοι. σημαίνει δὲ καὶ τὸν πλουσίως ζῶντα. καὶ Ἁβρότητι: τρυφερότητι, ἁπαλότητι.

α 83 Ἁβροκόμας· οὗτος σατράπης ἦν Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως.

α 84 Ἀβρόμιος: χωρὶς οἴνου. ἢν ὀλοοῦ διὰ κῦμα φύγω πυρὸς, εἰς ἑκατόν σοι ἠελίους δροσερᾶν πίομαι ἐκ λιβάδων, ἀβρόμιος καὶ ἄοινος. ἐν Ἐπιγράμμασιν.

α 85 Ἄβρομος: ὁ θορυβώδης.

α 86 Ἁβρόν: παρὰ Ἡροδότῳ καλὸν, αὔθαδες, σεμνὸν, τρυφερόν.

α 87 Ἁβρός: λαμπρὸς, τρυφερὸς, ἁπαλός. ἐν Ἐπιγράμμασιν· ἁβρὸν ἐπιτρύζων κιθάρας ὕπερ ἕζετο τέττιξ. ὅμως δὲ ὁ τρυφερὸς ἐκεῖνος καὶ ἁβρὸς καὶ ὑπὸ μαλακίας τοῦ σώματος κατεαγὼς καὶ λελυγισμένος καὶ τάς τε κόμας ἀναδούμενος, ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέστεραι, καὶ ἁβροσταγὲς ἔχων ἀεὶ τὸ μέτωπον καὶ τοὺς βοστρύχους, λαβὼν χρυσίον ἐκ τῶν κοινῶν συμφορῶν, ὅσον ἱκανὸν ἦν ἐμπλῆσαι καὶ τὸν ἐκ τοῦ μύθου Μίδαν, εἰσέρρει πρὸς τὸν βασιλέα.

α 88 Ἁβρὸς λειμὼν καὶ νοτερὸς καὶ εὐθαλής. πάντας δὲ ὡς ἁβρότατά τε καὶ ἅμα ἐς ἔκπληξιν κατὰ πλοῦτον, τῷ γε δὴ πλοῦτον θαυμάζοντι, ἐσταλμένους.

α 89 Ἁβροσύνη: φαιδρότης.

α 90 Ἀβροτάζω: ἁμαρτάνω.

α 91 Ἁβρότερον· ἀλλ’ ἁβρότερον αὐτῶν εἶχον καὶ Συβάριδος μεστοὶ ἦσαν.

α 92 Ἀβρότη: ἡ νύξ. παρὰ τὸ ἐστερῆσθαι βροτῶν.

α 93 Ἀβροτήμων: ἁμαρτωλός.

α 94 Ἄβροτον: ἄψυχον, ἀναίσθητον.

α 95 Ἀβρότονον: εἶδος βοτάνης.

α 96 Ἁβροχίτων: τρυφερὰ φορῶν.

α 97 Ἄβρων· Φρὺξ ἢ Ῥόδιος, γραμματικός, μαθητὴς Τρύφωνος, σοφιστεύσας ἐν Ῥώμῃ, γεγονὼς δὲ ἐκ δούλων, ὥς φησιν Ἕρμιππος.

α 98 Ἄβρωνος βίος: ἐπὶ τῶν πολυτελῶν· Ἄβρων γὰρ παρ᾽ Ἀργείοις ἐγένετο πλούσιος. ἢ καὶ ἀπὸ τοῦ ἁβροῦ. καὶ Ἀβρώνειος.

α 99 Ἁβρύνεται: κοσμεῖται, θρύπτεται, καυχᾶται.

α 100 Ἀβυδηνὸν ἐπιφόρημα: ὅταν ἀκαίρως τινὸς ἐπιφανέντος ἀηδία τις ᾖ, εἰώθαμεν λέγειν Ἀβυδηνὸν ἐπιφόρημα. διὰ τὸ τοὺς Ἀβυδηνοὺς, ὅταν τινὰ τῶν πολιτῶν ἢ ξένων ἑστιῶσι, μετὰ τὸ μύρον καὶ τοὺς στεφάνους τὰ παιδία περιφέρειν φιληθησόμενα. τῶν τε τιθηνῶν θορυβουσῶν τῶν τε παιδίων κεκραγότων ἐνοχλεῖσθαι τοὺς παρόντας. ἀφ᾽ οὗ εἴθισται λέγειν τὸ προκείμενον.

α 101 Ἄβυδος: πόλις. ἐπὶ συκοφάντου τάττεται ἡ λέξις, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς. καὶ ἐπίρρημα, Ἀβυδόθι, ἐν Ἀβύδῳ. καὶ Ἄβυδον φλυαρίαν, τὴν πολλήν. καὶ Ἀβυδηνὸς, ὁ ἀπὸ Ἀβύδου.

α 102 Ἀβύρβηλον: ἀναίσχυντον, ἀπεχθές. καὶ Ἀβύρβηλος, ὁ πολὺς, ὁ μέγας ἢ ὁ κατακορής. λέγεται δὲ Ἀβέρβηλος καὶ ὁ ἀκατάστατος. ὡς καὶ πρὸ ὀλίγων γέγραπται.

α 103 Ἀβυρτάκη: ὑπότριμμα βαρβαρικὸν, κατασκευαζόμενον διὰ πράσων καὶ καρδάμων καὶ ῥόας κόκκων καὶ ἑτέρων τοιούτων, δριμὺ δηλονότι. Θεόπομπος Θησεῖ· ἥξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη. ἔστι καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου τοὔνομα.

α 104 Ἄβυσσον: ἣν οὐδὲ βυθὸς χωρῆσαι δύναται· Ἴωνες δὲ τὸν βυθὸν βυσσόν φασιν. ὅθεν δοκεῖ λέγεσθαι καὶ βυσσοδομεύειν, παρὰ τὸ δύνω, τὸ ὑπεισέρχομαι, κατὰ τροπὴν βύω, βύσω, βέβυσμαι, βέβυσαι, βυσὸς καὶ ἀβύσσος, οὗ οὐδεὶς εἰσέρχεται διὰ τὸ βάθος. Ἀριστοφάνης Βατράχοις· εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ ἄβυσσον. καὶ οὐδετέρως φησὶν ὁ αὐτός· ἕως ἂν ᾖ τὸ ἀργύριον τὸ ἄβυσσον παρὰ τῇ θεῷ, οὐκ εἰρηνεύσουσιν. ἐν γὰρ τῇ ἀκροπόλει χίλια τάλαντα ἀπέκειτο. Ἄβυσσον καλεῖ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή. ἐπεὶ οὖν ἡ γῆ πανταχόθεν ὕδασι περιέχεται μεγάλοις καὶ μικροῖς πελάγεσιν, εἰκότως περιβόλαιον αὐτῆς εἴρηκεν ὁ Δαβίδ. καὶ, ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, ὁ αὐτὸς προφήτης φησίν· τὰ στρατιωτικὰ λέγων τάγματα καὶ τὴν τοῦ πλήθους ὑπερβολὴν τροπικῶς. ὡς ἐν ἀβύσσῳ τινὶ ὑποβρύχιος ἐγενόμην. Ἄβυσσος οὖν ὑδάτων πλῆθος πολύ.

α 105 Ἄβυσσος· ἱερὸν ἦν τῆς Περσεφόνης πολὺν χρυσὸν ἐκ παντὸς τοῦ χρόνου πεφυλαγμένον ἄθικτον ἔχον. ἐν ᾧ χρυσός τις ἄβυσσος, ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κεκρυμμένος.

α 106 Ἀγάγης: αὐθυπότακτον. καὶ ἀγάγωμεν.

α 107 Ἀγάζω· γενικῇ.

α 108 Ἀγαθά· ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν ἐχρήσατο Ξενοφῶν τῇ λέξει. καὶ Ἀγαθὰ Κιλίκων, λείπει τὸ ἔχει. Κιλίκων δὲ ὄνομα κύριον. εὔπορος δὲ ἦν.

α 109 Ἀγάθαρχος· ὄνομα κύριον. ἦν δὲ ζωγράφος ἐπιφανὴς, Εὐδήμου υἱὸς, τὸ δὲ γένος Σάμιος.

α 110

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀγαθὴ καὶ μάζα μετ’ ἄρτον: ἐπὶ τῶν τὰ δευτερεῖα διδόντων ἢ αἱρουμένων. μάζα ὀξεῖαν ἔχει· ἐπάνω γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται· ὁ δὲ Ἀριστοφάνης περισπᾷ τὴν μᾶζαν· αἶρ’ αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.

α 111 Ἀγαθῆς Τύχης νεώς: οὐκ ἄδηλον τὸ σημαινόμενον.

α 112 Ἀγαθίας· σχολαστικὸς, Μυριναῖος, ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν τὸν Καισαρέα, τὰ κατὰ Βελισάριον καὶ τὰς ἐν Ἰταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις, τουτέστι τὰ κατὰ Ναρσῆν ἐν Ἰταλίᾳ καὶ τὰ ἐν Λαζικῇ καὶ Βυζαντίῳ. οὗτος συνέταξε καὶ ἕτερα βιβλία ἔμμετρά τε καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακά, καὶ τὸν Κύκλον τῶν νέων Ἐπιγραμμάτων, ὃν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. συνήκμασε δὲ Παύλῳ τῷ Σελεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ καὶ Τριβουνιανῷ ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

α 113 Ἀγαθικά: τὰ σπουδαῖα.

α 114 Ἀγαθοεργία. Δαμάσκιος· ὡς δὲ ἑνὶ λόγῳ τὸ πᾶν συλλαβεῖν, ὅπερ ἔφη ὁ Πυθαγόρας ὁμοιότατον ἔχειν τῷ θεῷ τὸν ἄνθρωπον, τοῦτο σαφῶς ἐπὶ τῶν ἔργων αὐτὸς ἐπεδείκνυτο, τὴν ἀγαθοεργὸν προθυμίαν καὶ τὴν ἐς πάντας ἐπεκτεινομένην εὐεργεσίαν, μάλιστα μὲν τὴν ἀναγωγὴν τῶν ψυχῶν ἀπὸ τῆς κάτω βριθούσης παντοίας κακίας· ἔπειτα καὶ τὴν σωτήριον τῶν σωμάτων ἐκ τῆς ἀδίκου ἢ ἀνοσίου ταλαιπωρίας· τὸ δ’ αὖ τρίτον, ἐπεμελεῖτο τῶν ἔξω πραγμάτων, ὅση δύναμις.

α 115 Ἀγαθοεργοί: αἱρετοὶ κατ’ ἀνδραγαθίαν. ἐκ τῶν Ἐφόρων.

α 116 Ἀγαθοθέλεια: ἡ τῶν ἀγαθῶν ἐκλογή. οὐκ ἀρκεῖ τοῖς πράγμασιν ἡ ἀγαθοθέλεια μόνον, ἀλλὰ δεῖ καὶ ῥώμης καὶ ἐπιστρεφείας.

α 117 Ἀγαθοκλῆς· οὗτος ἐγένετο τύραννος καὶ, ὥς φησι Τίμαιος, κατὰ τὴν πρώτην ἡλικίαν κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις, κολοιὸς, τριόρχης, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γεγονώς. ὃς ὅτε ἀπέθανε, τὴν γυναῖκα φησὶ κατακλαιομένην αὐτὸν οὕτω θρηνεῖν· τί δ’ οὐκ ἐγὼ σέ; τί δ’ οὐκ ἐμὲ σύ; ὅτι δὲ ἐκ φύσεως ἀνάγκη μεγάλα προτερήματα γεγονέναι περὶ τὸν Ἀγαθοκλέα, τοῦτο δῆλον. εἰς γὰρ τὰς Συρακούσας παρεγενήθη φεύγων τὸν τροχὸν, τὸν καπνὸν, τὸν πηλὸν, περί τε τὴν ἡλικίαν ὀκτωκαίδεκα ἔτη γεγονὼς, καὶ μετά τινα χρόνον ὁρμηθεὶς ὑπὸ τοιαύτης ὑποθέσεως, κύριος μὲν ἐγενήθη πάσης Σικελίας, μεγίστοις δὲ κινδύνοις περιέστησε Καρχηδονίους, τέλος ἐγγηράσας τῇ δυναστείᾳ, κατέστρεψε τὸν βίον βασιλεὺς προσαγορευόμενος.

α 118 Ἀγαθόν: κοινῶς μὲν τό τι ὄφελος, ἰδίως δὲ ἤτοι ταὐτὸν ἢ οὐχ ἕτερον ὠφελείας· ὅθεν αὐτήν τε τὴν ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τριχῶς λέγεσθαι. οἷον τὸ ἀγαθὸν, ἀφ’ οὗ συμβαίνει, ὡς τὴν πρᾶξιν καὶ τὴν ἀρετήν. ὑφ’ οὗ δὲ, ὡς τὸν σπουδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς. ἢ οὕτως· τὸ ἀγαθὸν, τὸ τέλειον κατὰ φύσιν λογικοῦ, ἢ ὡς λογικοῦ. τοιοῦτο δ’ εἶναι τὴν ἀρετὴν ὡς μετέχοντα τάς τε πράξεις τὰς κατ’ ἀρετὴν, καὶ τὸ σπουδαίους εἶναι. ἐπιγεννήματα δὲ τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ παραπλήσια. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ ἐκτός, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτε ἐκτός. τὰ μὲν περὶ ψυχὴν ἀρετὰς καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δὲ ἐκτὸς τό τε σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον καὶ τὴν τούτων εὐδαιμονίαν. τὰ δὲ οὐκ ἐκτὸς οὔτε περὶ ψυχὴν τὸ αὐτὸν ἑαυτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ τελικὰ καὶ ποιητικά. τὸν μὲν οὖν φίλον καὶ τὰς ὑπ’ αὐτοῦ προσγινομένας ὠφελείας ποιητικὰ εἶναι ἀγαθά· θάρσος δὲ καὶ φρόνημα καὶ ἐλευθερίαν καὶ τέρψιν καὶ εὐφροσύνην καὶ ἀλυπίαν καὶ πᾶσαν τὴν κατ’ ἀρετὴν πρᾶξιν τελικά. ποιητικὰ δὲ καὶ τελικὰ, καθὸ μὲν ποιοῦσι τὴν εὐδαιμονίαν, ποιητικά ἐστιν ἀγαθά· καθὸ δὲ συμπληροῦσιν αὐτὴν, ὥστε μέρη αὐτῆς γενέσθαι, τελικά· οἷον φίλος καὶ ἐλευθερία καὶ τέρψις. ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις, τὰ δὲ οὔτε

ἕξεις οὔτε διαθέσεις. διαθέσεις μὲν αἱ ἀρεταί, ἕξεις δὲ τὰ ἐπιτηδεύματα, οὔτε δὲ ἕξεις οὔτε διαθέσεις αἱ ἐνέργειαι. κοινῶς τῶν ἀγαθῶν μικρὰ μέν ἐστιν εὐτεκνία καὶ εὐγηρία. ἁπλοῦν δέ ἐστιν ἀγαθὸν ἐπιστήμη. καὶ ἀεὶ μὲν παρόντα αἱ ἀρεταί, οὐκ ἀεὶ δὲ οἷον χαρὰ, περιπάτησις. πᾶν δὲ ἀγαθὸν λυσιτελὲς εἶναι καὶ συμφέρον καὶ δέον καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν καὶ ὠφέλιμον καὶ δίκαιον καὶ αἱρετόν. ἀγαθὸν δέ ἐστι τὸ πᾶσιν ἐφετόν. ἀγαθὸν οὖν ἐστιν, εἰς ὃ πάντα ἀνήρτηται, αὐτὸ δὲ εἰς μηδέν.

α 119 Ἀγαθόν: ὁμώνυμός ἐστι φωνή. κατηγορεῖται δὲ τὰ ι′ γένη τοῦ ἀγαθοῦ, τουτέστιν αἱ ι′ κατηγορίαι. καὶ τὸ μὲν ποιεῖν, ἐπεί ἐστί τινα ἀγαθὰ ὡς ποιητικά, λέγεται γὰρ τὸ ἀγαθοῦ ποιητικὸν ἀγαθόν, οἷον τὸ ὑγιείας ποιητικὸν ἢ ἡδονῆς καὶ ὅλως ὠφέλιμον, τὸ γὰρ ἐν τῷ ἐδέσματι ἀγαθὸν ὡς ποιητικὸν ἀγαθοῦ ἀγαθόν· τὸ δὲ ποιητικὸν ὑπὸ τὴν τοῦ ποιοῦ κατηγορίαν. ποτὲ δὲ τὸ ποιὸν ἐπὶ ψυχῆς· ὅταν γὰρ κατηγορήσωμεν τὸ ἀγαθὸν ψυχῆς λέγοντες αὐτὴν ἀγαθὴν, τὸ ποιὰν αὐτὴν εἶναι σημαίνομεν, οἷον σώφρονα ἢ ἀνδρείαν ἢ δικαίαν· ποιότητος δὲ παρουσία τὰ ποιά. ὁμοίως καὶ ἀνθρώπου· ὅταν γὰρ τὸ ἀγαθὸν κατηγορήσωμεν, τὸ ποιὸν αὐτὸν εἶναι σημαίνομεν· οἷον σώφρονα, ἀνδρεῖον, δίκαιον, φρόνιμον. ἐνίοτε δὲ τὸ ἀγαθὸν τὸ ποτὲ σημαίνει· τὸ γὰρ ἐν τῷ προσήκοντι καιρῷ γενόμενον ἀγαθὸν λέγεται. σημαίνει δὲ ἀγαθὸν καὶ τὸ ποσόν· τὸ γὰρ μέτριον καὶ μὴ ὑπερβάλλον μήτε ἐνδέον εἴη ἂν ποσὸν, καθόσον τοσοῦτόν τι λέγεται. καὶ ὡς οὐσία τὶ ἀγαθόν· ὡς θεὸς, νοῦς. λέγεται δὲ καὶ ὡς πρός τι· τὸ γὰρ σύμμετρον οὕτως ἀγαθόν. καὶ ἐν τῷ πάσχειν, ὡς τὸ θεραπεύεσθαι καὶ διδάσκεσθαι. ἔστι τι τοῦ ἀγαθοῦ καὶ ἐν τῷ ποῦ, οἷον τὸ ἐν Ἑλλάδι εἶναι, τὸ ἐν ὑγιεινοῖς χωρίοις εἶναι, τὸ ἐν ἡσυχίαν ἔχουσιν ἢ εἰρήνην. εἴη δ’ ἂν καὶ ἐν τῷ κεῖσθαι, ὅταν ᾧ μὲν λυσιτελὲς τὸ καθέζεσθαι, καθέζηται, ᾧ δὲ τὸ ἀνακεῖσθαι, ἀνάκειται· τῷ πυρέττοντι φέρε εἰπεῖν.

α 120 Ἀγαθός: παρὰ τὸ ἄγημι, ἄγαμαι, ἀγαστὸς καὶ ἀγαθός.

α 121 Ἀγαθός: ὁ φρόνιμος. οὐκ ἐπίσης δὲ ὁ φρόνιμος καὶ ὁ ἀγαθός. ἐπιπλέον γὰρ ὁ ἀγαθός. ἀγαθὸς γὰρ ὁ σώφρων, ὁ ἀνδρεῖος καὶ οἱ λοιποί. ἀγαθοὶ λέγονται καὶ οἱ ἐπιστήμονες. τοὺς δὲ Δάους ἀγαθοὺς μὲν ἀκοντιστὰς, ἀγαθοὺς δὲ καὶ ἐν χερσὶ ποιήσασθαι μάχην.

α 122 Ἀγαθοῦ Δαίμονος: ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν Ἀγαθοῦ Δαίμονος, ἐπιρροφοῦντες ἄκρατον, καὶ τοῦτο λέγειν Ἀγαθοῦ Δαίμονος, χωρίζεσθαι δὲ μέλλοντες, Διὸς Σωτῆρος. καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκάλουν. καὶ ἐν Θήβαις δὲ ἦν ἡρῷον Ἀγαθοῦ Δαίμονος. ἄλλοι δέ φασι τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. ὅτι περὶ τἀγαθοῦ βιβλίον συντάξας Ἀριστοτέλης, τὰς ἀγράφους τοῦ Πλάτωνος δόξας ἐν αὐτῷ κατατάττει. καὶ μέμνηται τοῦ συντάγματος Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ ψυχῆς, ἐπονομάζων αὐτὸ περὶ φιλοσοφίας.

α 123 Ἀγαθῶν ἀγαθίδες: τάττεται ἡ παροιμία παρὰ τοῖς κωμικοῖς ἐπὶ τῶν πολλῶν ἀγαθῶν. καὶ Ἀγαθῶν θάλασσα, ἐπὶ πλήθους ἀγαθῶν. καὶ Ἀγαθῶν μυρμηκίαι, ἐπὶ πλήθους εὐδαιμονίας. καὶ Ἀγαθῶν σωρὸς, ἐπὶ πλήθους ἀγαθῶν καὶ πολλῆς εὐδαιμονίας.

α 124 Ἀγάθων· ὄνομα κύριον. τραγικὸς δὲ ἦν· διεβέβλητο δὲ ἐπὶ μαλακίᾳ. Ἀριστοφάνης· Ἀγάθων δὲ ποῦ ’στιν; ἀπολιπών μ’ οἴχεται. ποῖ γῆς ὁ τλήμων; ἐς μακάρων εὐωχίαν. οὗτος ὁ Ἀγάθων ἀγαθὸς ἦν τὸν τρόπον, ποθεινὸς τοῖς φίλοις καὶ τὴν τράπεζαν λαμπρός. φασὶ δὲ ὅτι καὶ Πλάτωνος Συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων παραχθέντων. κωμῳδιοποιὸς Σωκράτους διδασκαλείου. ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

α 125 Ἀγαθώνιος: ὄνομα κύριον. ὃς ἐβασίλευσε τῆς Ταρτησσοῦ. καὶ Ἀγαθώνιος αὔλησις: ἡ μαλακὴ καὶ ἐκλελυμένη· ἢ ἡ μήτε χαλαρὰ, μήτε πικρὰ, ἀλλ’ εὔκρατος καὶ ἡδίστη.

α 126 Ἀγαθοὶ δ’ ἀριδάκρυες ἄνδρες: ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων.

α 127 Ἀγακλειτός: ὁ ἄγαν ἔνδοξος. καὶ Ἀγακλειτή.

α 128

Ἀγάλακτες: ὁμογενεῖς, ὅμαιμοι, ἀδελφοί. ἄλλοι δὲ τοὺς ἱερείων κοινωνοὺς καὶ συγγενεῖς. οἱ δὲ συντρόφους.

α 129 Ἀγαλεών: ὄνομα ὄρους.

α 130 Ἀγάλλει: ποιεῖ, σκευάζει, κοσμεῖ.

α 131 Ἄγαλμα: πᾶν ἐφ’ ᾧ τις ἀγάλλεται. καὶ δίδωσιν ἀργύριον, ἵνα ἐκπονήσῃ τὸ ἄγαλμα ἄκρας τέχνης, προσθεὶς τὸ μέγεθος καὶ προσειπὼν τῆς λίθου τὴν φύσιν.

α 132 Ἄγαλμα Ἀθηνᾶς· ζήτει ἐν τῷ Ἀθηνᾶς· καὶ ζήτει ἄγαλμα βδέλυγμα τῆς ἐρημώσεως ἐν τῷ Ἀντίοχος· καὶ ζήτει ἄγαλμα Ἀπόλλωνος ἐν τῷ Ἀπόλλωνος ἄγαλμα· καὶ ζήτει ἄγαλμα Διονύσου ἐν τῷ Αὐξέντιος.

α 133 Ἀγάλματα: τὰ τῶν θεῶν μιμήματα, καὶ πάντα τὰ κόσμου τινὸς μετέχοντα. Ὅμηρος· βασιλῆϊ δὲ κεῖται ἄγαλμα. καὶ Ἡσίοδος τὸν ὅρμον ἄγαλμα καλεῖ· Πίνδαρος δὲ τὴν ἐπὶ τάφου στήλην οὕτω καλεῖ, Εὐριπίδης τὸν ἐπὶ νεκροῖς κόσμον. καὶ ἐφ’ ᾧ τις ἀγάλλεται. καὶ τὸ εἴδωλον, βρέτας, χάρμα, καλλονὴ, κόσμος, καύχημα, θαλλοὶ, ἀνδριάντες, ἐπιγραφαί. Ἀγάλματα δὲ καὶ τὰς γραφὰς καὶ τοὺς ἀνδριάντας λέγουσιν. Ἀγαλμάτιον δὲ ὑποκοριστικῶς.

α 134 Ἀγάλλομαι· δοτικῇ.

α 135 Ἀγαλματοποιοί: τουτέστι χειρουργοί· οὗτοι ἀκριβεῖς Λύσιππος, Πολύκλειτος, Φειδίας.

α 136 Ἀγαλματοφορούμενος: ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτως Φίλων.

α 137 Ἀγάλλων: ἑαυτὸν σεμνοποιῶν.

α 138 Ἄγαμαι καρδίας: Ἀττικῶς, ἀντὶ τοῦ θαυμάζω. Αἰλιανός· ἐπεὶ καὶ τὴν τοῦ Μενέλεω πρὸς τὸν τοῦ Πριάμου Πάριν οὔτε ἐπαινῶ οὔτε ἄγαμαι. ἐγὼ δὲ ἄγαμαι καὶ τούσδε τοὺς ἄνδρας· τὸν δὲ Ἀκαρνᾶνα μέγιστον καὶ πρὸ τούτων. ἃ γὰρ πεισομένους ἐγίνωσκε, τούτων ἐπεθύμησε τοῖς ἀνδράσι κοινωνῆσαι.

α 139 Ἄγαμαι· κατὰ περιποίησιν γενικῇ· τὸν φίλον ἄγαμαι τῶν τρόπων καὶ τοῦ χρηστοῦ ἤθους ἕκητι· αἰτιατικῇ δέ· οἶμαι δὲ τὸν πόλεμον θεῶν τινα ἀγασθῆναι. ὅταν ἔχῃ τὴν σε αἰτιατικῇ, καὶ ὅταν ἐξακούηται τὸ ἕνεκα γενικῇ συντάσσεται.

α 140 Ἀγαμέμνων· Ἀγαμέμνονος καὶ ὦ Ἀγάμεμνον. καὶ Ἀγαμεμνόνειος οἶκος, καὶ Ἀγαμεμνονεία ναῦς.

α 141 Ἀγάμενος: θαυμάζων. ἀγάμενοι τοῦτον τῆς εὐψυχίας ἐποχοῦσι τῷ ἵππῳ.

α 142 Ἀγαμήδης: ὄνομα κύριον. καὶ θηλυκὸν Ἀγαμήδη.

α 143 Ἄγαν ἐγκεῖσθαι τῷδε: οἷον αἰτιᾶσθαι καὶ ἀποτείνεσθαι.

α 144 Ἀγάννιφον: Ὅμηρος, τὸ ὄρος τὸ λίαν χιονιζόμενον.

α 145 Ἄγανον: προπαροξυτόνως τὸ κατεαγὸς ξύλον. ἢ τὸ φρυγανῶδες καὶ ἕτοιμον πρὸς τὸ κατεαγῆναι. οἱ δὲ τὸ ἀπελέκητον. Ἀγανὸν δὲ ὀξυτόνως καλόν. ἢ ἀγαθὸν ἢ ἱλαρὸν, οἱ δὲ ἀθάνατον. ἔνθεν καὶ ἀγανοφροσύνη. καὶ Ἀγανοῦμεν, ἀντὶ τοῦ κοσμήσομεν. καὶ αὖθις· ὡς ἄν τοι ῥείῃ μὲν ἀγανὸς Ἀτθίδι δέλτῳ κηρὸς, ὑπὸ στεφάνοις δ’ αἰὲν ἔχοις πλοκάμους.

α 146 Ἀγανόφρονος: τό τε τῆς ἀγανόφρονος ἡσυχίας εὐήμερον πρόσωπον. τῆς πράου καὶ προσηνοῦς.

α 147 Ἀγανοφροσύνη: προσήνεια, πραότης.

α 148 Ἀγανώπιδος: πραέα βλεπούσης.

α 149 Ἀγανώτερον: ποθεινότερον, πραότερον.

α 150 Ἀγαπᾶν: ἀποδέχεσθαι. Ἀγαπᾶν· τὸ ἀρκεῖσθαί τινι καὶ μηδὲν πλέον ἐπιζητεῖν. ἐξ οὗ καὶ τὸ ἀγαπῴην ἄν.

α 151 Ἀγαπήνορος: τὴν ἀνδρείαν ἀγαπῶντος.

α 152 Ἀγαπησμός: ἀγαπησμὸν λέγουσι καὶ ἀγάπησιν τὴν φιλοφρόνησιν. Συναριστώσαις Μένανδρος· καὶ τὸν ἐπὶ κακῷ γινόμενον ἀλλήλων ἀγαπησμὸν οἷος ἦν.

α 153 Ἀγαπητὰ ἤθη: τὰ καλὰ καὶ ἀγαθά.

α 154 Ἀγαπητόν: τὸ ἠγαπημένον ἢ τὸ μονογενές. καὶ οὕτω δὲ ἄρα πολὺ τὸ ἀνόητον ἐν τοῖς ἡγεμόσιν αὐτῶν ἦν, ὥστε ἀγαπητῶς εἶδον, εἰ μὴ μετὰ πάντων ἀγωνιοῦνται τῶν συναραμένων τῆς στρατιᾶς.

α 155 Ἡ ἀγάπη οὐ περπερεύεται, ὁ ἀπόστολος Παῦλός φησι· τουτέστιν οὐ προπετεύεται.

α 156 Ἀγαπητός· ἐπίσκοπος Συνάδων, ὃν ἐν ἐπαίνῳ πολλῷ τίθεται Εὐσέβιος ὁ Παμφίλου καὶ θαυμάτων αὐτοῦ ἐξαισίων μνήμην ποιεῖται, ὁρῶν μεταστάσεις καὶ ποταμῶν καὶ νεκρῶν ἐγέρσεις. καὶ ὅτι στρατιώτην ὄντα ἠβουλήθη Μαξιμῖνος ὡς Χριστιανὸν ἀποκτεῖναι, διὰ τὸ πυνθάνεσθαι πολλοὺς τὰ πρὸς αὐτοῦ τελούμενα ὑπεραγαμένους.

α 157 Ἀγάπιος· Ἀθηναῖος φιλόσοφος, μετὰ Πρόκλον ἀποιχόμενον, ὑπὸ Μαρίνῳ. ὃς ἐθαυμάζετο ἐπὶ φιλομαθείᾳ καὶ ἀποριῶν προβολῇ δυσεπιβόλων.

α 158 Ἀγάπιος· οὗτος ἦν Ἀλεξανδρεὺς μὲν τὸ γένος· ἐκ παίδων δὲ λόγοις ἐντραφεὶς ἐλευθερίοις καὶ ἰατρικῶν μαθημάτων ἐξηγητὴς γεγονὼς ἀνελθὼν ἐς τὸ Βυζάντιον διατριβήν τε συνεπήξατο μάλα διαπρεπῆ, φύσεώς τε μεγέθει καὶ δεξιότητι τύχης χρησάμενος, ἔνδοξός τε ἐπὶ τῇ τέχνῃ γέγονε καὶ χρήματα μεγάλα συνείλοχεν.

α 159 Ἀγαπῴην: εὐκτικῶς.

α 160 Ἀγαπῴην: ἐπὶ τοῦ ἀποδέχεσθαι, ἀγαπᾶν καὶ ἀρκεῖσθαι.

α 161 Ἀγαπῶ: τὸ ἀρκοῦμαι δοτικῇ· ἀγαπῶν τοῖς ὑπάρχουσιν αὐτῷ ἀγαθοῖς· αἰτιατικῇ δέ· ἀγαπήσεις τὸν θεὸν ἐξ ὅλης ψυχῆς.

α 162 Ἀγγαρεία· λίαν ἀγγάρων ἡμιόνων. καὶ Ἄγγαρος· ἐργάτης, ὑπηρέτης, ἀχθοφόρος· ὅθεν ἀγγαρείαν ἀνάγκην ἀκούσιον λέγομεν καὶ ἐκ βίας γινομένην ὑπηρεσίαν.

α 163 Ἄγγαρος· καὶ Ἀγγαρεία, ἡ δημοσία καὶ ἀναγκαία δουλεία. ὥσπερ γάρ τι αὐτῷ πάρεργον τὸ ἐσθίειν τῆς φύσεως αὐτὸν ἀγγαρευομένης περὶ τὰ βρώματα ἐφαίνετο εἶναι.

α 164 Ἄγγαρος: οὕτως ἐκάλουν οἱ Πέρσαι τοὺς βασιλέων ἀγγέλους. πέμπει τῶν πιστοτάτων ἄγγαρον παρὰ τὸν Βαβυλώνιον διὰ Παρσώνδην τὸν ἄριστον.

α 165 Ἄγγαροι: οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι. τὰ δὲ ὀνόματα Περσικά. Αἰσχύλος Ἀγαμέμνονι· φρυκτὸς δὲ φρυκτὸν δεῦρο ἀπ’ ἀγγάρου πυρὸς ἔπεμπε. τίθεται τὸ ὄνομα καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ὅλως τῶν ἀναισθήτων καὶ ἀνδραποδωδῶν. καὶ τὸ Ἀγγαροφορεῖν ἐπὶ τοῦ φορτία φέρειν. καὶ Ἀγγαρεύεσθαι καλοῦσιν ὥσπερ ἡμεῖς νῦν τὸ εἰς φορτηγίαν καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι. Μένανδρος καὶ τοῦτο ἐν τῷ Σικυωνίῳ παρίστησιν· ὁ πλέων κατήχθη; κρίνεθ’ οὗτος πολέμιος. ἐὰν ἔχῃ τὶ μαλακὸν, ἀγγαρεύεται.

α 166 Ἀγάσαιτο: θαυμάσειεν. καὶ Ἄγασθαι παρ’ Ὁμήρῳ ἐπὶ τοῦ θαυμάζειν καὶ φθονεῖν.

α 167 Ἀγασθέντος: ἐκπλαγέντος, θαυμάσαντος. τοῦ δὲ ἀγασθέντος ἐπὶ τῇ προαιρέσει. καὶ Ἀγασθείς. ὁ δὲ ἀγασθεὶς ἐπί τε τῇ πόλει καὶ τοῖς ἀνθρώποις ἐπέμενε τρεῖς ἡμέρας.

α 168 Ἀγασθῶ τινι: ἀντὶ τοῦ θαυμάσω τινά. Ξενοφῶν· ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν.

α 169 Ἀγασικλῆς: ὄνομα κύριον. ὃς λέγεται Ἁλιμουσίνοις συνδικάσαι καὶ διὰ τοῦτο ξένος ὢν ἐγγραφῆναι τῇ πολιτείᾳ.

α 170 Ἀγάσματα: σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.

α 171 Ἀγάστονος: πολυστένακτος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 172 Ἀγάστορες: ἀδελφοὶ, ὅμαιμοι, δίδυμοι. οἱ ὁμογάστορες.

α 173 Ἀγαστός: θαυμαστός.

α 174 Ἀγάστου: θανάτου.

α 175 Ἀγαυρίαμα: ἔπαρμα.

α 176 Ἄγαυρος: ὁ κομψός· οἱ δὲ κακός· ὑπὸ Ἰώνων δὲ ἄπορος, ὑπὸ δὲ Ἀττικῶν τρυφερός.

α 177 Ἄγβαρος: ὄνομα κύριον. ὁ τῆς Ἐδέσσης βασιλεύς. ζήτει ἐν τῷ Αὔγαρος.

α 178 Ἀγαίομαι: φθονοῦμαι. καὶ Ἀγαῖος, ὁ ἐπίφθονος.

α 179 Ἀγγαῖος: ὄνομα κύριον.

α 180 Ἄγε δῆτα: φέρε, κόμιζε, δεῦρο. καὶ ἐπίγραμμα εἰς Διογένην τὸν Κύνα· Διόγενες, ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος ἐς Ἄϊδος; ἔλαβέ με κυνὸς ὀδάξ. τὸ δὲ ἐπίγραμμα διὰ βραχέων.

α 181 Ἀγέλαστα: τὰ μὴ γέλωτος ἄξια, ἀλλ' ἀγανακτήσεως.

α 182 Ἀγέλαος: ὄνομα κύριον.

α 183 Ἀγελάρχης: ὁ τῆς ἀγέλης τῶν βοῶν ἄρχων.

α 184 Ἀγελαία σταφυλή: ἡ εὐτελής. καὶ Ἀγελαῖα, τὰ οὐ γενναῖα.

α 185 Ἀγελαίη: ἡ Ἀθηνᾶ.

α 186 Ἀγέλαιος: προπαροξυτόνως μὲν ὁ ἀμαθής· Ἀγελαῖος δὲ ὁ ἐκ τῆς ἀγέλης.

α 187 Ἀγελαῖος: ἰδιώτης. ἢ ὁ ἐν ἀγέλῃ διάγων. καὶ Ἀγελαίων, ἰδιωτῶν, ῥεμβωδῶν. τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι ὁ τοιοῦτος. ἀντὶ τοῦ εὐτελῶν. καὶ Ἀγελαίων, τῶν πολλῶν καὶ τυχόντων. εἴη δ' ἂν ἐκ μεταφορᾶς τῶν ἀγελαίων ζῴων ἢ ἀπὸ τῶν ἰχθύων, οὓς βόσκεσθαι ῥύδην καὶ ἀγεληδόν φασιν.

α 188 Ἀγελαιών: ὁ τόπος τῆς ἀγέλης.

α 189 Ἀγελαῖοι ἰχθύες: οἱ εὐτελεῖς καὶ μικροί.

α 190 Ἀγελείη: ἡ Ἀθηνᾶ. ἀπὸ τοῦ ἄγειν λείαν· τουτέστι στρατιωτική.

α 191 Ἀγεληδόν: ἐπίρρημα.

α 192 Ἀγελήτης βοῦς: ὁ ἐξ ἀγέλης.

α 193 Ἀγέληφιν: ἐκ τῆς ἀγέλης.

α 194 Ἀγγελιαφόρος: πρεσβευτής.

α 195 Ἀγέλιος· οὗτος ἐπὶ Οὐάλεντος ἦν Κωνσταντινουπόλεως ἐπίσκοπος, βίον ἀποστολικὸν βιούς. ἀνυπόδητος γὰρ διόλου διῆγεν, ἑνί τε χιτῶνι ἐκέχρητο, τὸ τοῦ εὐαγγελίου φυλάττων ῥητόν.

α 196 Ἄγγελος· οἱ ἄγγελοι μόνοι τῇ τοῦ νοὸς καταλήψει εἰσὶ περιγραπτοὶ, οὔτε δὲ ἐν τόπῳ, οὐδὲ ἐν σώματι, οὐδὲ ἐν χρόνῳ· πρὸ γὰρ τοῦ ἡλίου ἡ γένεσις αὐτῶν. ἀγγέλους πονηροὺς τοὺς τῆς τιμωρίας ὑπουργοὺς ἡ γραφὴ καλεῖ· ὥσπερ ἡμέραν πονηρὰν τὴν τῆς τιμωρίας. ὀργὴν δὲ καὶ θυμὸν καὶ θλίψιν ἐπὶ Θεοῦ τὰς πικρὰς τιμωρίας καλεῖ. οὐ γὰρ φύσιν οὐδὲ προαίρεσίν φησιν.

α 197 Ἀγένεια: ἡ δυσγένεια.

α 198 Ἀγεννῶς: ἀνάνδρως. καὶ Ἀγεννὲς, ἐπὶ τοῦ ἀσθενοῦς καὶ ἐπὶ δυσγενοῦς. καὶ Ἀγεννία, ἡ ἀνανδρία καὶ ἡ δειλία. ἔθεντο οὖν Ῥωμαῖοι σπονδὰς ἀγεννεῖς διὰ δέος πρὸς Οὔννους.

α 199 Ἀγενής: Ἰσαῖος ἀντὶ τοῦ ἄπαις.

α 200 Ἀγέραστος: ἄτιμος.

α 201 Ἀγέροπτος: ὁ σπανίως ἐρχόμενος.

α 202

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀγερωχία: ὑπερηφανία. ὅτι οἱ Σκύθαι εἰσὶν ὑπεροπτικοὶ καὶ λίαν ἀγέρωχοι. παρὰ τὸ ἄγαν αὐχεῖν ἢ παρὰ τὸ ἄγαν γερουχεῖν. Ἀγέρωχος, ἔντιμος, ἀνδρεῖος. Ἀγαθίας· ἵππου ἐπιβὰς εὐηνιωτάτου τε καὶ ἀγερώχου καὶ οἵου οὐκ ἄτακτα ἐξάλλεσθαι καὶ σκιρτᾶν. καὶ αὖθις· ὡς ἂν ἔσοιτο εὐκλεὴς τοῖς μετέπειτα καὶ ἀγέρωχος. ἢ Ἀγέρωχος, ὁ ἀλαζών.

α 203 Ἄγεστα: πολεμικὸν μηχάνημα ἐκ λίθων καὶ ξύλων καὶ χοῦ ἐγειρόμενον. οἱ δὲ ἄγεστά φασι τὸ τοιοῦτον μηχάνημα. καὶ ζήτει ἐν τῷ ἔγεστα.

α 204 Ἄγεται: μνηστεύεται, ἐπὶ γάμον λαμβάνει. Αἰλιανός· τὴν δὲ ἀδελφὴν αὐτῷ Ἰόβας ὁ Μαυρούσιος ἄγεται.

α 205 Ἄγετε: τὸ ἡγεῖσθε καὶ οἴεσθε.

α 206 Ἄγετος: ὄνομα κύριον.

α 207 Ἄγευστος θοίνης: ἀστείως βίου ἔχων. καὶ Ἄγευστοι, ἄπειροι. Ἄγευστον, τετραχῶς· ἢ γὰρ τὸ ἀχύμωτον μὲν τέως, δυνάμενον δὲ χυμωθῆναι, ὡς τὸ ὕδωρ· ἄποιον γὰρ ὂν δύναται χυμωθῆναι· ἢ τὸ ταῖς ἄλλαις αἰσθήσεσιν ὑποκείμενον, ὡς ὁ ψόφος, ἢ τὸ μικρὰν ἔχον γεῦσιν, ὡς τὰ ὑδαρὰ τῶν ῥοφημάτων, ἢ τὸ κακὴν ἔχον γεῦσιν, ὡς τὰ δηλητήρια. καὶ δῆλον τίνων τούτων ἀντιλαμβάνεται ἡ γεῦσις, καὶ τίνος μή. καὶ ἐπὶ τῶν ἄλλων δὲ αἰσθήσεων τὰ τέσσαρα ταῦτα γινώσκεται σημαινόμενα. ἀρχὰς δὲ τῶν γευστῶν τὸ ποτόν φασι καὶ τὸ ἄποτον. εἰς ταῦτα γὰρ πρώτως διαιρεῖται τὸ γευστόν. καὶ γὰρ ἐν τῷ ὑγρῷ μάλιστα καὶ ὁ χυμὸς ἐκ τῆς ἐπιμιξίας τῶν ξηρῶν προσγενόμενος· καὶ ὥσπερ τὸ ποτὸν πότιμον γίνεται διὰ τὴν ἐπιμιξίαν τοῦ χρηστοῦ χυμοῦ, οὕτω καὶ τὸ ἄποτον διὰ τὴν ἐπιμιξίαν τοῦ ἀπότου χυμοῦ. ἀμφότερα δὲ, τό τε ἄποτον καὶ τὸ ποτὸν, γευστά. γευστὸν δὲ τὸ ἄποτον, οὐχ ὡς τελειωτικὸν, ἀλλ᾽ ὡς φθαρτικὸν τῆς γεύσεως διὰ μοχθηρίαν χυμοῦ. τὸ δὲ ποτὸν ὡς σωστικόν τε καὶ τελειωτικὸν τοῦ κατὰ φύσιν γευστικοῦ. ἄρχει οὖν τῶν γευστῶν κατὰ τοῦτον τὸν λόγον τὸ ποτὸν καὶ τὸ ἄποτον. ἐπεὶ δὲ τὸ ποτὸν ὑγρὸν, τὸ δὲ ὑγρὸν τῇ ἁφῇ ἀντιληπτὸν, ὡς μὲν ὑγρὸν ἁπτὸν, ὡς δὲ τοιόνδε χυμὸν ἔχον γευστόν. τοῦτο οὖν κοινὸν ἁφῆς καὶ γεύσεως, τῆς μὲν ἁφῆς ὡς ἴδιον αὐτῆς αἰσθητὸν, τῆς δὲ γεύσεως ὡς ὕλη καὶ ὄχημα τῶν γευστῶν.

α 208 Ἀγγείδιον: τὸ μικρὸν ἀγγεῖον.

α 209 Ἄγειν καὶ φέρειν: τὸ λῃστεύειν καὶ ἁρπάζειν. ἄγειν δὲ καὶ ἀπάγειν χρήματα καὶ ἐπὶ ἀψύχων καὶ κομίζειν ἀδιαφόρως. ὁ δὲ ἐπεὶ ἐπεραιώθη ἐς τὸ κατ᾽ ἀντικρὺ τοῦ ῥείθρου, παραχρῆμα τάς τε κώμας ἐνεπίμπρα τῶν Σκλαβηνῶν καὶ ἐσίνετο τοὺς ἀγροὺς, ἦγέ τε καὶ ἔφερεν ἅπαντα, οὐδενός πω τῶν ἐκεῖσε βαρβάρων θαρρήσαντός οἱ εἰς χεῖρας ἐλθεῖν, εἰς τὰ λάσια καὶ κατηρεφῆ τῆς ὕλης καταπεφευγότων.

α 210 Ἀγείρας: ὁ χωλός.

α 211 Ἀγείρει: συνάγει. καὶ Ἀγείρουσιν. ὁ γὰρ τρόπος ἱερὸς ἦν καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσιν. καὶ αὖθις· ὁ δὲ λαθεῖν θέλων ξυρεῖται τὴν κεφαλὴν καὶ τὸ γένειον, καὶ στολὴν Αἰγυπτίαν ἀναλαβὼν, ἣν οἱ τῆς Ἴσιδος θεραπευτῆρες ἤσθηνται, καὶ σεῖστρον ἐπισείων καὶ πόλιν ἐκ πόλεως ἀμείβων, καὶ τῇ θεῷ ἀγείρων καὶ ἀναγκαίας τροφὰς, λιμοῦ φάρμακα, ἀγαπητῶς λαμβάνων.

α 212 Ἄγη. ἄκλιτόν ἐστι. θαῦμα, χαρὰ, ἀπιστία, ζῆλος, παρ᾽ Ἡροδότῳ βασκανία, παρ᾽ Ὁμήρῳ ἔκπληξις, πληγὴ, θραῦσις, κλάσις, ἀπώλεια· ἔνιοι, ἱερεῖα. Ἄγη μὲν οὖν παροξυτόνως ἡ ἔκπληξις· Ἀγὴ δὲ ἡ κλάσις τοῦ κύματος.

α 213 Ἀγηγέρατο: συνηθροίζοντο. Ἀγείρω, ὁ μέλλων ἀγερῶ, ὁ παρακείμενος ἤγερκα, ὁ παθητικὸς ἤγερμαι, τὸ τρίτον ἤγερται καὶ τὸ τρίτον τῶν πληθυντικῶν Ἰακῶς ἀγηγέραται· εἶτα ὁ

ὑπερσυντελικὸς ἠγέρμην, τὸ τρίτον ἤγερτο καὶ ἀγήγερτο καὶ τὸ τρίτον τῶν πληθυντικῶν Ἰακῶς ἀγηγέρατο.

α 214 Ἀγηλατεῖν: διώκειν, φυγαδεύειν, ἐπιτάττειν. Ἡρόδοτος, ὑβρίζειν.

α 215 Ἀγηλατεῖν: ὡς ἄγος καὶ ἐναγεῖς τινας ἐλαύνειν. ἐὰν μὲν δασέως, τὸ τὰ ἄγη ἀπελαύνειν· ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ ἀπελάσειν. κλαίων δοκεῖς μοι καὶ σὺ χ᾽ὠ συνθεὶς τάδε ἀγηλατήσειν. καὶ Ἡρόδοτος· ὁ δὲ σὺν μεγάλῃ χειρὶ ἀπικόμενος ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων.

α 216 Ἀγηλατοί: οἱ κεραυνοί. Ἀγηλατοῖ δὲ ῥῆμα, ἄγει, κεραυνοὶ ἢ διώκει.

α 217 Ἀγῆλαι: τιμῆσαι θεὸν ἀγλαΐαις. οὕτως Εὔπολις Δήμοις· ἀναθῶμεν νῦν χἠμεῖς τούτοις τὰς διττὰς εἰρεσιώνας καὶ προσαγήλωμεν ἐπελθόντες. χαίρετε πάντες, δεχόμεσθα. Ἀριστοφάνης Εἰρήνῃ· καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαις ἰδίᾳ πάντες, ὦ πότνι᾽, ἀγαλοῦμεν ἡμεῖς ἀεί. Ἕρμιππος Ἀρτοπώλισι· φέρε νῦν ἀγήλω τοὺς θεοὺς οἵους ἐγὼ καὶ θυμιάσω τοῦ τέκνου σεσωσμένου.

α 218 Ἀγήλειεν: τιμήσειεν. ὅτι Μουκιανὸς ὁ Ῥωμαῖος τιμᾶσθαι ὑφ᾽ ἁπάντων ὑπὲρ πάντας ἤθελε καὶ ἤχθετο, εἰ καὶ ὁστισοῦν οὐχ ὅτι ὑβρίσειεν αὐτὸν, ἀλλ᾽ ὅτι μὴ οὐ μεγάλως ἀγήλειεν.

α 219 Ἄγημα: τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἵππων καὶ πεζῶν. οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως· κραταιὸν ὁπλίσει καὶ σωμάτων εὐεξίᾳ.

α 220 Ἄγημα: τὸ ὅλως τάγμα εὕρηται κατὰ πολὺ παρὰ Ἀρριανῷ.

α 221 Ἀγηνορίη: ἡ αὐθάδεια.

α 222 Ἀγηνόριον: ὄνομα τόπου.

α 223 Ἀγήνωρ: ὁ ἄγαν ἀνδρεῖος, ἢ ἀγαστὸς ἐν ἀνδρείᾳ. σημαίνει δὲ καὶ τὸν ὑπερήφανον καὶ αὐθάδη. ἔστι δὲ καὶ κύριον ὄνομα. παρὰ τὸ ἄγαν τῇ ἠνορέῃ ὅ ἐστι τῇ ἀνδρείᾳ χρῆσθαι.

α 224 Ἀγηοχώς: ἐνέγκας. Ἄγω, ἄξω, ὁ παρακείμενος ἦχα καὶ ὁ Ἀττικὸς ἄγηχα· καὶ ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος θέλει ἔχειν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, πλεονάζει ἡ γο συλλαβὴ καὶ γίνεται ἀγήγοχα, εἶτα πάλιν ἀποβολῇ τοῦ γ ἀγήοχα, ἡ μετοχὴ ὁ ἀγηοχώς.

α 225 Ἀγήραον: ἄφθαρτον.

α 226 Ἀγηρηναῖοι: ὄνομα ἔθνους.

α 227 Ἀγήρω: τὰ μὴ γηρῶντα. καὶ σὺν τῷ ν ἀγήρων. οἱ δὲ ἄνευ τοῦ ν θηλυκόν φασιν εἶναι, οἱ δὲ τὸ μὲν σὺν τῷ ν τὴν αἰτιατικὴν δηλοῦν πτῶσιν, τὸ δ᾽ ἄνευ τούτου, τὴν γενικήν τε καὶ δοτικήν. καὶ Ἀγήρως, ὁ ἄφθαρτος Ἀττικῶς· καὶ οὐδετέρως Ἀγήρων.

α 228 Ἀγησαγόρας: ὄνομα κύριον.

α 229 Ἀγησίλαος: ὄνομα κύριον. ἦν δὲ Λακεδαιμονίων ἐπιφανὴς καὶ γενναῖος βασιλεὺς καὶ ᾄδεται παρὰ πολλοῖς τῶν ῥητόρων.

α 230 Ἀγήτας: ὁ τῶν Αἰτωλῶν στρατηγός.

α 231 Ἀγητός: ὁ θαυμαστός.

α 232 Ἁγιάσατε: προευτρεπίσατε, κηρύξατε.

α 233 Ἁγιάσαι: καρπῶσαι, καῦσαι ἁγίως.

α 234 Ἁγίασμα: ὁ θεῖος νεώς. Δαβίδ· ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ. καὶ Ἁγιαστία, ἡ ἁγιωσύνη. ἁγιστεία δὲ διφθόγγῳ.

α 235 Ἁγίζων: ἁγιάζων. βούθυτον ἑστίαν ἁγίζων ἵκου. καὶ Ἁγιασθέντων, ἀφιερωθέντων. καὶ Ἁγιάζω, αἰτιατικῇ.

α 236 Ἀγιναργεῖος: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 237 Ἀγίνεον: ἔφερον. Ἀγινῶ γὰρ ὁ ἐνεστώς.

α 238 Ἅγιος, ἅγιος, ἅγιος κύριος: ὅτι τοὺς λέγοντας, μυριάκις ἐστὶν ἅγιος ὁ θεὸς, καὶ τοὺς παρερμηνεῦσαι τοῦτο τολμῶντας, λαμπρῶς ἐλέγχει τὸ· ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου, κύριε, ζητήσω, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ. τὴν ἁγίαν ἀνακηρύττει τριάδα. καὶ τὸ, θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ τὰ ἑξῆς. καὶ διὰ τούτων καὶ δι᾽ ἄλλων πολλῶν ἡ παλαιὰ κηρύττει, ὅτι οὐχ ἑνὸς προσώπου σημαίνει δεσποτείαν, ἀλλὰ τριῶν μὲν ὑποστάσεων, μιᾶς δὲ οὐσίας. οἱ δὲ λέγοντες, ἅγιος ὁ σταυρωθείς, ἐπιστομιζέσθωσαν ἀπὸ τοῦ· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα.

α 239 Ἆγις, Ἄγιδος. ὁ Παυσανίου. οὗτος ἐμβαλών ποτε ἐς τὴν Μαντινεικὴν, αὐτοὺς μὲν κατέκλεισε, τὸν δὲ παραρρέοντα ποταμὸν ἐς τὸ τεῖχος παρατρέψας παρέλυσεν· ἦν γὰρ ἐξ ὠμῆς πλίνθου, ἥτις πρὸς μὲν τὰς ἑλεπόλεις ἀσφαλεστέρα ἐστὶ τῆς ὀπτῆς καὶ τῶν λίθων. οἱ μὲν γὰρ κατάγνυνται καὶ ἐκπηδῶσι τῶν ἁρμονίων· ἡ δὲ ὠμὴ πλίνθος οὐχ ὁμοίως πονεῖ. διαλύεται δὲ ὑπὸ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ ἡλίου κηρός.

α 240 Ἁγίσαι καὶ καθαγίσαι: τὸ καρπῶσαι. Ἁγίζω γὰρ ὁ ἐνεστώς.

α 241 Ἁγιστεύειν: ἁγιάζειν. καὶ Ἁγιστεύσαντες, τὰ τῆς θυσίας ἐπιτελέσαντες.

α 242 Ἁγιστείας: ἁγιωσύνης, καθαρότητος, λατρείας.

α 243 Ἀγκαλίδα: μερίδα.

α 244 Ἀγκάσασθαι: ταῖς ἀγκάλαις βαστάσαι.

α 245 Ἄγκεσι: συνδένδροις καὶ ὑλώδεσι τόποις. ἐν Ἐπιγράμμασι· θηροβολεῖ τούτῳ δ᾽ ἄγκεσι θηροτόκοις.

α 246 Ἄγκειν θ᾽ Ἡφαίστοιο: ἀντὶ τοῦ ἀνάκεινται.

α 247 Ἀγκιστρεύει: δελεάζει.

α 248 Ἄγκος: ὑψηλὸς τοῦ ὄρους τόπος. ποσὶ δ᾽ αὖ ἐλθεῖν ἄγκος ἐς ὑψικάρηνον ἐδίζετο.

α 249 Ἀγκών· ἐν τῇ βασιλικῇ αὐλῇ τοῦ Γελίμερος οἴκημα ἦν σκότους ἀνάπλεων, ὃ δὴ Ἀγκῶνα ἐκάλουν οἱ Καρχηδόνιοι· ἔνθα ἐνεβάλλοντο ἅπαντες οἷς ἂν χαλεπαίνοι ὁ τύραννος. ἐνταῦθα ἐπὶ Βελισαρίου πολλοὶ καθειργμένοι ἐτύγχανον τῶν ἑῴων ἐμπόρων, οὓς μέλλοντας κατ᾽ ἐκεῖνο καιροῦ ἀναιρεῖσθαι ὑπὸ τοῦ τυράννου ὁ φύλαξ τοῦ δεσμωτηρίου ἀπέλυσε. καὶ διετίθει τὰς μηχανὰς ᾗ μάλιστα ἐδόκει καίριον, ἀγκῶνας τε καὶ τάφρους ἐβάλετο ἑκατέρωθεν. καὶ Ἀγκῶνες, μέρος τι τῆς οἰκίας. ἀγκῶνες δὲ καὶ πάντα τὰ προσπησσόμενα κατ᾽ ὄναρ τὸ κόσμιον τοῦ βίου σημαίνει. Ἀγκῶνες καὶ αἱ τῶν ποταμῶν ἐξοχαὶ, αἱ παρὰ ταῖς ὄχθαις. οὐ δυνατὸν ἦν πρὸς ἀντίον τὸν ῥοῦν ἀναπλεῖν διὰ τὸ μέγεθος τῶν προσπιπτόντων ἀγκώνων, οὓς ἔδει κάμπτειν παρέλκοντας τὰς ναῦς. καὶ Ἀγκῶνας, τὰς ἄκρας τῶν ὀρῶν. οἱ δὲ σπείρουσιν ἀγκῶνας, οἱ δ᾽ ἀντηλίους ζητεῖτ᾽ ἰόντες τ᾽ ἀνδρὸς ἔξοδον κακήν. καὶ παροιμία· τῷ ἀγκῶνι ἀπομυσσόμενος. Βίων φησὶν ὁ φιλόσοφος· ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος· διεδήλου δὲ τὸν ταριχέμπορον. ζήτει καὶ ἄλλην παροιμίαν, τὸ γλυκὺς ἀγκών.

α 250 Ἀγκράτος ἐλαύνοντα: Ξενοφῶν, ἀντὶ τοῦ πάνυ ἐλαύνοντα.

α 251 Ἀγκύλη: εἶδος ἀκοντίου. καὶ Ἠγκυλωμένος, ἀγκύλην ἔχων. σημαίνει δὲ καὶ ἔργον τι τῆς σκηνῆς τοῦ Μωϋσέος.

α 252 Ἀγκύλια: οἱ κρίκοι τῶν ἁλύσεων.

α 253 Ἀγκυλομήτης καὶ Ἀγκυλομήτεω. καὶ Ἀγκυλομῆται, οἱ σκολιόβουλοι.

α 254 Ἀγκύλον: καμπύλον, ἐπικαμπές.

α 255 Ἀγκυλοχείλης καὶ Ἀγκυλόχειλος: σκολιόχειλος, ἐπίθετον τοῦ ἀετοῦ, ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, ἀγκύλας τὰς χεῖρας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν.

α 256 Ἄγκυρα πλοίου· ζήτει ἐν τῷ ἐμβρύοικος.

α 257 Ἄγκυρα: πόλις· ζήτει ἐν τῷ Γαλάται.

α 258 Ἄγκυραν· ὅτι Ἀνάχαρσις Σκύθης φιλόσοφος εὗρεν ἄγκυραν καὶ τὸν κεραμεικὸν τροχόν. ἦν δὲ ἐπὶ Κροίσου.

α 259 Ἀγκυρανῶν πόλις· ὅτι οἱ νῦν Ἀγκυρανοὶ Ἑλληνογαλάται πάλαι ἐλέγοντο.

α 260 Ἀγκυρηβόλιον: τὸ σιδήριον τοῦ πλοίου.

α 261 Ἀγκύρισμα: εἶδος παλαίσματος. καὶ Ἀγκυρίσας, ἀντὶ τοῦ καταπαλαίσας ἢ τῇ ἀγκύλῃ καταβαλών. ἔστι δὲ ἀγκύρισμα καὶ σκεῦος ἀγρευτικὸν σύκων. Ἀριστοφάνης· διαβαλὼν, ἀγκυρίσας, εἶτ’ ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐκολάβησας. τουτέστι προσέκρουσας.

α 262 Ἀγλαΐα: λαμπρότης. καὶ Ἀγλαΐαις, λαμπρότησιν.

α 263 Ἀγλαϊεῖσθαι: καλλωπίζεσθαι. δοτικῇ. ὁ ἐνεστὼς ἀγλαΐζω. δοτικῇ.

α 264 Ἀγλαόκοιτος: πάνυ τίμιος.

α 265 Ἀγλαομητία: ἡ μεγάλη βουλή.

α 266 Ἀγλαότιμον: λαμπρὸν, τετιμημένον.

α 267 Ἀγλαοφῶν: ὄνομα κύριον.

α 268 Ἄγλαυρος: ἡ θυγάτηρ Κέκροπος. ἔστι δὲ καὶ ἐπώνυμον Ἀθηνᾶς.

α 269 Ἀγλευκές: τὸ ἀηδές. Ξενοφῶν εἴρηκεν ἐν τῷ Οἰκονομικῷ. δοκεῖ δὲ ξενικὸν εἶναι τὸ ὄνομα, Σικελικόν· πολὺ γοῦν ἐστὶ πάλιν παρὰ Ῥίνθωνι. καὶ Ἀγλευκέστερον, ἀντὶ τοῦ ἀηδέστερον. Ξενοφῶν Ἱέρωνι.

α 270 Ἄγλιθες: αἱ κεφαλαὶ τῶν σκορόδων. Ἀριστοφάνης· ὡς ἀρουραῖοι μύες ὀρύσσετε πασσάλῳ τὰς ἄγλιθας.

α 271 Ἀγλωττία: ἡσυχία, σιωπή. καὶ Ἄγλωσσος, ὁ ἄναυδος, ὁ ἄφωνος. νῦν εἰς γᾶν ἄγλωσσος, ἀναύδητός τε πεσοῦσα, κεῖμαι, μιμητὴν ζῆλον ἀνηναμένη.

α 272 Ἄγμασι: κλάσμασι, τροπαῖς. ἄγματα ἀμφορέων ἐς τὰ ἑλώδη τῶν χωρίων λάθρα ἐβεβλήκεσαν.

α 273 Ἀγναπτότατος βάτος αὖος: ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

α 274 Ἁγνεία: καθαρότης· ἐπίτασις σωφροσύνης.

α 275 Ἁγνίας: ὄνομα κύριον.

α 276 Ἁγνίζω· αἰτιατικῇ.

α 277 Ἀγνοεῖ δ’ ἀράχνη παῖδας ὡς παιδεύεται. θρέψασα γὰρ τέθνηκε πρὸς τῶν φιλτάτων: ἐπὶ τῶν καθ’ ἑαυτῶν τι πραγματευομένων.

α 278 Ἀγνόημα· ἀγνόημα τοσοῦτον ἠγνοηκότας, ὅσον οὐδεὶς ἂν ἠγνόησεν, ὀλίγα διαλεκτικῆς ἁψάμενος καὶ ὅσον ἐπαΐειν ὑπὲρ αὐτῆς ἔχων.

α 279 Ἄγνος: φυτὸν, ὃν καὶ λύγον καλοῦσιν. ἔστι δὲ καὶ εἶδος ὀρνέου.

α 280 Ἄγνον: οὐχὶ λύγον καλοῦσιν. καὶ ἀρσενικῶς Χιωνίδης Ἥρωσι· καὶ μὴν μὰ τὸν Δί’ οὐθὲν ἔτι τέ μοι δοκῶ ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότος. Πλάτων· ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλὴ, καὶ τοῦ ἄγνου τε τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον. Ἁγνὸς δὲ ὀξυτόνως, ὁ καθαρός.

α 281

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἁγνότερος πηδαλίου: ἐπὶ τῶν ἁγνῶς βεβιωκότων· παρ’ ὅσον ἐν θαλάττῃ διὰ παντός ἐστι τὸ πηδάλιον.

α 282 Ἀγνούσιος· Ἀγνοῦς δῆμος ἐστὶ φυλῆς τῆς Ἀκαμαντίδος, ἧς ὁ φυλέτης Ἀγνούσιος.

α 283 Ἀγνώμονες: ἐναντιογνώμονες, ἀσύγγνωστοι. Σοφοκλῆς· Φοίβῳ τε κἀμοὶ μὴ γένησθ’ ἀγνώμονες.

α 284 Ἀγνωμόνως: ἀνοήτως, ἢ ἀχαρίστως. λέγονται δὲ παρὰ Πλάτωνι ἀγνώμονες, ἀσύγγνωστοι, οἱ ἀμαθεῖς. καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς ἀντὶ τοῦ ἀλογίστως καὶ ἀβούλως. καὶ ὁ Θεολόγος· ὦ καὶ Ἰουδαίων ἀγνωμονέστερε. ἀντὶ τοῦ ἀνοητότερε.

α 285 Ἀγνώνειος: ὁ τοῦ Ἄγνωνος παῖς. καὶ Ἀγνωνίδης.

α 286 Ἄγνωτα: ἀπὸ τοῦ ἄγνωτος. οὐ γὰρ παρασχηματίζει ἀπὸ τοῦ ἀγνὼς εἰς οὐδέτερον γένος. ῥήματα ἄγνωτα τοῖς θεωμένοις. Ἀριστοφάνης Βατράχοις.

α 287 Ἀγνῶτας: μὴ ἐπιγινωσκομένους. ἀγνῶτα δέ μοι προσεκόμιζεν ἄνθρωπον, ὃς καὶ ἑαυτοῦ ἀγνὼς ἐτύγχανεν ὤν. οἱ δὲ ἄρτι τῆς γεωργίας ἀφέμενοι, ἐς κίνδυνον τοῦ πολέμου κατέστησαν, ἀγνῶτα σφίσι τὰ πρότερα ὄντα. καὶ αὖθις· φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι. φησὶν Αἰλιανὸς ἐν τῷ Περὶ προνοίας. Ἀγνὼς γὰρ ἀγνῶτος, ὁ ἄγνωστος.

α 288 Ἄγνοια· εἴ τις λέγοι ἄγνοιαν εἶναι στέρησιν ἐπιστήμης, ἁμαρτάνει. ἔστι δὲ ἄγνοια ἕξις μοχθηρὰ καὶ ἠπατημένη.

α 289 Ἀγνύθες: οἱ λίθοι τοῦ ἱστοῦ.

α 290 Ἄγνυται: κλᾶται. καὶ Ἄγνυτον, ὁμοίως. καὶ Ἀγνυμενάων, συντριβομένων.

α 291 Ἀγολαῖος: ὄνομα κύριον.

α 292 Ἀγόμενος διὰ φρατέρων κύων μαστιγοῦται.

α 293 Ἀγομένων τῶν ἡμετέρων: ἀντὶ τοῦ ἁρπαζομένων καὶ ληστευομένων. ἄγοντες καὶ φέροντες, διὰ πάσης ἰδέας λεηλατοῦντες καὶ πορθοῦντες τὴν χώραν. καὶ αὖθις· οὐδενὸς ἀμυνομένου κατὰ τὴν πολλὴν ἄδειαν ἄγοντες καὶ φέροντες διετέλεσαν.

α 294 Ἀγόμφωτον: τὸ ἀνήλωτον.

α 295 Ἀγονία: ἀτεκνία, ἀγεννησία. Αἰλιανός· διεφθείρετο ἡ νεολαία, καὶ ἦν ἀγονία καὶ μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος.

α 296 Ἀγωνίσονται· γενικῇ.

α 297 Ἀγόνων χοῶν. διφορεῖται ὁ Θεολόγος φησί· τουτέστι τῶν ἐπὶ τοῖς νεκροῖς χεομένων καὶ διὰ τοῦτο ἀγόνων. καὶ Ἀγονία, ἡ ἀφορία. τὴν Ἄρτεμιν μηνίσαι καὶ μετελθεῖν δικαιοῦσαν αὐτὴν γῆς ἀγονίᾳ.

α 298 Ἀγγοπήνια: τὰ τῶν μελισσῶν κηρία. τουτέστιν ἀγγεῖα ὑφαντά· ὡς τὸ χρυσεοπήνητα.

α 299 Ἀγορά: ἡ ἐκκλησία, ὅθεν ὁ Νέστωρ ἀγορητής· καὶ ὁ τόπος, ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια.

α 300 Ἀγοράζειν: τὸ ὠνεῖσθαί τι καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν. Ἀριστοφάνης ἐν Πλούτῳ ἐπὶ τοῦ συνήθως ἡμῖν ἀντὶ τοῦ ὠνήσασθαι. καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον.

α 301 Ἀγορὰ Κερκώπων· οὗτοι ἐν Ἐφέσῳ ἦσαν, οὓς ἔδησεν Ἡρακλῆς, Ὀμφάλης κελευούσης· οὓς ἀποκτεῖναι ᾐδέσθη, τῆς μητρὸς δεηθείσης. ἡ δὲ παροιμία εἴρηται ἐπὶ τῶν κακοήθων καὶ πονηρῶν ἀνθρώπων.

α 302 Ἀγορανομίας: λογιστίας. εἴρηται δὲ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια. καὶ Ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι τρεῖς τοὺς λαχόντας, τοὺς δ’ ἱμάντας ἐκ λεπρῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τουτέστι λώρους, φραγγέλια. τὸ γὰρ παλαιὸν φραγγέλοις ἔτυπτον οἱ λογισταὶ τῆς ἀγορᾶς. λεπρῶν δὲ οἱ μὲν ἀπὸ τοῦ λέπειν, ὅ ἐστι τύπτειν· οἱ δὲ ἀπὸ Λεπρέου πολίσματος τῆς Πελοποννήσου, ἧς μέμνηται καὶ Καλλίμαχος ἐν Ὕμνοις· Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται. οἱ δὲ ἐκ λεπρῶν βοῶν, διὰ τὸ τὰ ἐκ λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ ὅτι οἱ Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς σπένδεται. ἄμεινον δὲ λέγειν, ὅτι τόπος ἔξω τοῦ ἄστεος Λεπροὶ καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν Ὄρνισι μέμνηται· τί δ' οὖν τὸν ἥλιον Λέπρεον οἰκίζετε. καὶ Ἀγορανομῶ· γενικῇ.

α 303 Ἀγοράς: Ὑπερίδης ἀντὶ τοῦ συνόδους. λέγει γὰρ ἐν τῷ κατὰ Πολυεύκτου· οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται. δηλοῖ δὲ καὶ ἄλλα τοὔνομα.

α 304 Ἀγοράσαι: Ὑπερίδης τὸ ὠνήσασθαι. Ἀγοράσω λέγουσι, τὸ δ' ἀγορῶ βάρβαρον· παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δ' ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος· ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν, ὡς ἀγοράσω ἁπαξάπανθ' ὅσα κελεύεις, ὦ γύναι. καὶ Ἀγοράσματα αὐτὰ τὰ ἠγορασμένα.

α 305 Ἀγοράσω: ἀντὶ τοῦ ἐν ἀγορᾷ διατρίψω. Ἀριστοφάνης· ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτονι. ἀντὶ τοῦ ἐν τῇ ἀγορᾷ διατρίψω μετὰ Ἀριστογείτονος, ἐγγὺς Ἀριστογείτονος. τουτέστιν ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορέσομεν, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον.

α 306 Ἀγορᾶς ὥραν: οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ' ἀγορὰν ἕωθεν, ἢ καὶ πρὶν ἀγορὰν πεπληθέναι. Φερεκράτης· πίνειν ἀεὶ καὶ μεθύειν πρὶν ἀγορὰν πεπληθέναι.

α 307 Ἀγοραίαν δίκην: τὴν δικαιολογίαν.

α 308 Ἀγοραῖος νοῦς: ὁ πανευτελὴς καὶ συρφετώδης καὶ οὐκ ἀπόρρητος οὐδὲ πεφροντισμένος. καὶ Ἀγοραῖος Ἑρμῆς· Ἀριστοφάνης. νὴ τὸν Ἑρμῆν τὸν Ἀγοραῖον κἀπιορκῶ γε βλέπων. τουτέστιν ὁ ἐν ἀγορᾷ τιμώμενος.

α 309 Ἀγοραῖοι: προπερισπωμένως· οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι ἄνθρωποι. Δαμάσκιος· ὁ δὲ παρίστατο καὶ ἐξῄτει τοῖς ἀποστεροῦσι μέχρι καὶ δικαστῶν ἀγοραίων. προπαροξυτόνως δὲ Ἀγόραιος, ἡ ἡμέρα ἐν ᾗ ἡ ἀγορὰ τελεῖται.

α 310 Ἀγορεύω· δοτικῇ.

α 311 Ἀγορῆθεν: ἐκ τῆς ἀγορᾶς.

α 312 Ἀγορήν: ἐκκλησίαν.

α 313 Ἀγορηταί: σύμβουλοι, φρόνιμοι.

α 314 Ἄγος: μίασμα, ἢ ἀγκών. λέγεται δὲ ἄγος καὶ τὸ τίμιον καὶ ἄξιον σεβάσματος, ἐξ οὗ καὶ αἱ ἱέρειαι παναγεῖς, καὶ ἄλλα τινά. Θουκυδίδης· πέμψαντες οἱ Λακεδαιμόνιοι πρέσβεις ἐκέλευον τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ. ἦν δὲ τὸ κατὰ Κύλωνα τὸν Ὀλυμπιονίκην τὸν Ἀθηναῖον τὸν πάλαι. καὶ ἤλασαν τοὺς ἐναγεῖς. Ἀγὸς δὲ ὀξυτόνως ὁ ἡγεμών.

α 315 Ἀγοστῷ: τῷ ἀγκῶνι. ἐν Ἐπιγράμμασι· οὐκ ἔλαθες χάριτας, οὐδ' Ἀκαδημίαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.

α 316 Ἄγουσαν: ἰσοσταθμοῦσαν. διόπερ κατασκευάσας Νίκην χρυσῆν, ἄγουσαν ὁλκὴν χρυσίων μυρίων, ἐξαπέστειλε πρεσβευτὰς εἰς τὴν Ῥώμην τοὺς ταύτην κομιοῦντας τῷ δήμῳ.

α 317 Ἄγουσιν ἑορτὴν οἱ κλέπται: χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαισμένη κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ τοὺς ἀδεῶς κλέπτοντας.

α 318 Ἄγω· αἰτιατικῇ.

α 319 Ἀγωγεύς: ὁ ἐνάγων τὴν δίκην, ὁ διώκων. καὶ Ἀγωγεὺς, ὁ λῶρος. καὶ Ἀγωγεῖ, ἱμάντι, ᾧ ἄγεται ὁ ἵππος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 320 Ἀγωγή: φορὰ τινῶν, ὃ καὶ παρακομίζειν λέγεται, ὡς λέγεται σίτου ἀγωγὴ ἢ οἴνου.

α 321 Ἀγωγή: ἀναστροφὴ, τρόπος· ἢ ἡ κομιδή. καὶ τὸ ἀγόμενον βάρος. Ἀγωγὴ λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις, ὡς λέγεται παίδων ἀγωγή· καὶ ἡ μεταβολή· ἐφ’ οὗ σημαινομένου ὁ ὁριζόμενος οὕτως τὴν γένεσιν κέχρηται τῷ τῆς ἀγωγῆς ὀνόματι. Πολύβιος· ἤγαγε δὲ ὁ ξενολόγος καὶ Λακεδαιμόνιον ἄνδρα τῆς Λακωνικῆς ἀγωγῆς μετεσχηκότα καὶ τριβὴν ἐν τοῖς πολεμικοῖς ἔχοντα σύμμετρον.

α 322 Ἀγώγιον: τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτως Ξενοφῶν.

α 323 Ἀγώγιμον καὶ Ἀγώγιμος: ἄγων, ἀγόμενος. φερόμενος. καὶ Ἀγωγίμων, φορτίων ἐμπορικῶν. αὐτοὺς μὲν τοὺς ἐμπόρους ἀπαθεῖς κακῶν ἀποσῶσαι, τὰ δὲ ἀγώγιμά σφισιν ἀνασώσασθαι.

α 324 Ἀγωγόν: ἐπακτικόν. καὶ Πισίδης· πρὸς τοὺς ἀγωγοὺς ἐτράπη τοῦ Τίγριδος. περὶ Χοσρόου ὁ λόγος. καὶ Ἀγωγοὺς, προπομπούς.

α 325 Ἀγωαῖος· ἐν Ἐπιγράμμασι· ἀγωαῖόν τε κυνάγχαν.

α 326 Ἀγώμενος: θαυμαζόμενος. Ἀγόμενος δὲ φερόμενος.

α 327 Ἀγών: ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις. Ἀγῶνα· καὶ Ὅμηρος τὸν τόπον αὐτὸν ἐν ᾧ ἀγωνίζονται. Θουκυδίδης πέμπτῃ· προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον.

α 328 Ἀγωνάρχαι· Σοφοκλῆς· καὶ τἀμὰ τεύχη μήτ’ ἀγωνάρχαι τινὲς θήσους’ Ἀχαιοῖς μήθ’ ὁ λυμεὼν ἐμός. καὶ παροιμία· Ἀγὼν οὐ δέχεται σκήψεις. τάττεται ἐπὶ τῶν μηδὲν ὀνιναμένων εἰ σκήψαιντο. καὶ Ἀγὼν πρόφασιν οὐκ ἀναμένει. ἡ παροιμία ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν· ἢ ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων.

α 329 Ἄγγωνες: ἐπιχώρια δόρατα παρὰ Φράγγοις.

α 330 Ἀγωνίᾳ: Ξενοφῶν ἀντὶ τοῦ ἀγῶνι.

α 331 Ἀγωνιᾶν· Ἰσοκράτης ἀντὶ τοῦ ἀγωνίζεσθαι.

α 332 Ἀγώνιος: ὁ ἐν ἀγῶνι. καὶ θηλυκὸν Ἀγωνία, ὁ φόβος. Ἀγονία δὲ διὰ τοῦ ο μικροῦ, ἡ στείρωσις.

α 333 Ἀγωνιούμενοι: εἰς ἀγῶνας ἐμβαλοῦντες. τοὺς πολεμίους ἀγωνιούμενοι ἀποτράποιντο ἀμαχεί.

α 334 Ἀγωνιῶ: κινδυνεύω· καὶ τὸ φοβοῦμαι. Πολύβιος· πολλαὶ δὲ πόλεις προσετίθεντο τῶν μεσογαίων τοῖς Ῥωμαίοις, ἀγωνιῶσαι τὰς πεζικὰς δυνάμεις. καὶ Ἀγωνιῶν, δεδιώς. ἀγωνιῶν δὲ τὴν ἀθεσίαν τῶν Κελτῶν καὶ τὰς ἐπιβουλὰς τὰς περὶ τὸ σῶμα. ἠγωνία δὲ τοὺς στρατιώτας, μὴ ἐπιλείπῃ τὰ ὀψώνια. καὶ Ἀγωνιῶντες, ἀντὶ τοῦ ἀγωνιζόμενοι. Ἰσοκράτης.

α 335 Ἀγωνίς: ὄνομα ἑταίρας.

α 336 Ἀγώνισμα: σπουδήν, ἐπιμέλειαν. ἀγώνισμα τίθεται συλλαβεῖν αὐτόν. Ἀριστοφάνης· ἐγὼ δ’ εὐξαίμην ἂν ἐντυχεῖν τινι (λείπει θηρίῳ) λαβεῖν τ’ ἀγώνισμ’ ἄξιόν τι τῆς ὁδοῦ. ἔπαθλον.

α 337 Ἀγώνων χοῶν· διφορεῖται· ἀγώνων δὲ ἐπιταφίων.

α 338 Ἀγωνοθέτης: ὁ ἐν τοῖς σκηνικοῖς, Ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς.

α 339 Ἄγρα: Δήμητρος ἱερὸν ἔξω τῆς πόλεως πρὸς τῷ Ἰλισσῷ.

α 340 Ἀγναπτότατος βάτος αὖος: ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

α 341 Ἄγραυλοι: οἱ ἐν ἀγρῷ διανυκτερεύοντες ἢ αὐλιζόμενοι.

α 342 Ἄγραφα ἀδικήματα: οἱονεὶ ὑπὲρ ὧν νόμος οὐ γέγραπται.

α 343 Ἀγραφίου: εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ τοῦτο ἐγγραφέντων, πρινὴ δὲ ἐκτίσαι ἐξαλειφθέντων. οὕτως Δημοσθένης καὶ Δείναρχος καὶ Λυκοῦργος.

α 344 Ἀγραφίου δίκη: τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δημοσίῳ γράφουσι τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων διοικοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα. ὅταν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδιδῷ ἕκαστος, ἐξαλείφεται τῆς σανίδος τὸ ἐπίγραμμα. ἐὰν οὖν τις ἀναγραφῇ μὲν ὠφληκέναι, δόξῃ δὲ μὴ ἀποδεδωκέναι, καὶ τὸ ὄνομα αὐτοῦ ἐξηλειμμένον ᾖ ἐκ τῆς σανίδος, συγκεχώρηται τῷ βουλομένῳ τῶν ἀστῶν εἰσάγειν κατ’ αὐτοῦ δίκην ἀγραφίου.

α 345 Ἀγράφου μετάλλου δίκη: οἱ τὰ ἀργύρεια μέταλλα ἐργαζόμενοι ὅπου βούλοιντο καινοῦ ἔργου ἄρξασθαι, φανερὸν ἐποιοῦντο τοῖς ἐπ’ ἐκείνοις τεταγμένοις ὑπὸ τοῦ δήμου καὶ ἀπεγράφοντο τοῦ τελεῖν ἕνεκα τῷ δήμῳ εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου. εἴ τις οὖν ἐδόκει λάθρα ἐργάζεσθαι μέταλλον, τὸν μὴ ἀπογραψάμενον ἐξῆν τῷ βουλομένῳ γράφεσθαι καὶ ἐλέγχειν.

α 346 Ἀγρέμιος: ὁ ἀπὸ τῆς ἄγρας. ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος.

α 347 Ἀγρεσία: ἡ ἄγρα. ἐν Ἐπιγράμμασι· οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι, ἀγρότα Πὰν, ἄλλης ἄλλος ἀπ’ ἀγρεσίης.

α 348 Ἀγρεύς: ὁ ἐπὶ τῆς θήρας.

α 349 Ἄγρει: ἄγε δή.

α 350 Ἀγρεία ἀοιδή: ἡ ἀγροικική. τὸ σκύτος ἀγρείης τ’ εἶνε κατὰ πλατάνου. ἐν Ἐπιγράμμασι. καὶ Ἀγρεῖος, ὁ ἄγροικος, ὁ ἀμαθής. ἢ ὁ ἀπὸ τοῦ ἀγροῦ. Ἀριστοφάνης Νεφέλαις· ἀγρεῖος εἶ καὶ σκαιός. ὁ ἄγροικος καὶ μέγαν πώγωνα ἔχων. καὶ αὖθις· ἄλλως τ’ ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν ἀγρεῖον ὄντα καὶ δασύν.

α 351 Ἀγρεῖφνα: γεωργικὸν ἐργαλεῖον, δι’ οὗ συνάγουσι τὸν χόρτον. ἄλκιμος ἀγρεῖφναν κενοδόντιδα καὶ φιλοδούπου φάρσος ἅμα στελεοῦ χῆρον ἐλαϊνέου.

α 352 Ἀγρία μέλιττα: ἐπὶ τῶν σφόδρα πονηρῶν τε καὶ ὠμῶν.

α 353 Ἀγρία συκῆ· ζήτει ἐν τῷ ἀνερίναστος.

α 354 Ἀγριᾶνες: τάξις στρατιωτική.

α 355 Ἀγρίδιον.

α 356 Ἀγριόθυμος: ἄγριος τῇ ψυχῇ.

α 357 Ἄγριον ὑποβλέπει με: μᾶλλον χρηστέον ἢ ὑποβλέπεται. οἱ δὲ ἐλέφαντες ἀνέτρεχον καὶ ἐβόων ἀγριαίνοντες. καὶ ἄγριον ὑποβλέποντες. καὶ αὖθις· ὁ δὲ τὸ θηριῶδες καὶ ἄγριον ὑπεκίνει καὶ διηρέθιζεν, εἴ που κύριος γένηται τοῦ χωρίου.

α 358 Ἀγριοποιόν. καὶ ἄνθρωπος ἀγριοποιός. ἀγρίους εἰσάγοντα τοὺς ἥρωας. Ἀριστοφάνης περὶ Αἰσχύλου· ἐγᾦδα τοῦτον κἀξεπίσταμαι καὶ διέσκεμμαι πάλαι, ἄνθρωπον ἀγριοποιὸν, αὐθαδόστομον, ἔχοντ’ ἀχάλινον ἀκρατὲς ἀθύρωτον στόμα, ἀπεριλάλητον, κομποφακελορρήμονα.

α 359 Ἄγριος: ὄνομα κύριον. καὶ Ἄγριος, ἄμικτος, ἀνήμερος. λέγεται δὲ καὶ ἐπὶ κακίας ὑπερβολῇ. Αἰλιανός· ἀποστείλας τοὺς ἀγριωτάτους τῶν δορυφόρων ἐξήρπασε τὴν γυναῖκα καὶ πρὸς βίαν ᾔσχυνε ποτνιωμένην καὶ θρηνοῦσαν. καὶ, ὁ Ἅιδης, δημιουργὸς ἄγριος.

α 360 Ἀγρίους: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ οὕτως ὠνόμασε. καὶ Μένανδρος δὲ ἄγριον εἶπε κυβευτὴν τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα. ἀγρίους καὶ κολλοποδιώκτας ἐκάλουν οἱ παλαιοὶ τοὺς παιδεραστάς. ὅτι ἐκωμῳδοῦντο οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί· καὶ ζήτει ἐν τῷ δραχαρνεῦ.

α 361 Ἀγριότης: ὁρμή. θαυμαστὴ γάρ τις κίνησις, ὡς ἔοικε, τἀνθρώπου πρὸς τοῦτο τὸ μέρος ... ἀγριότης. ἐπὶ φιλαργυρίας. καὶ Ἀγριώτατος, ὁ ἀνήμερος.

α 362 Ἀγριωπός· τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην. λέγει δὲ τὴν ἁμαρτίαν. ἐκ τοῦ ὤψ ὠπός, ὃ σημαίνει τὸν ὀφθαλμὸν, τουτέστιν ἡ ἀναιδὴς καὶ ἄγριος.

α 363 Ἀγρίππας: ὄνομα κύριον.

α 364 Ἄγριππος: ἡ ἀγρία ἐλαία. καὶ παροιμία· ἀκαρπότερος ἀγρίππου.

α 365 Ἀγρίφη: δίκελλα, σκεῦος γεωργικὸν πολύγομφον.

α 366 Ἀγρολέτειρα: ἡ Ἄρτεμις.

α 367 Ἀγρόμενοι: συναθροίζοντες. ἀγρόμενοι πᾶς δῆμος. σύνταξις πρὸς σχῆμα· ὁ δῆμος ἀγρόμενοι· ἐπεὶ ὁ δῆμος πλῆθος σημαίνει.

α 368 Ἀγρονόμοι: οἱ ἐν ἀγροῖς διάγοντες. ἠχήεις τέττιξ δροσεραῖς σταγόνεσι μεθυσθεὶς, ἀγρόνομον μέλπεις μοῦσαν ἐρημολάλον. ἐν Ἐπιγράμμασι.

α 369 Ἀγρότας: ἀγροίκους. καὶ Ἀγρότης· ὁ ἐν ἀγρῷ διαιτώμενος. ἀλλ' ὡς πάροινος ἀγρότης ἀνεκλίθης. καὶ ἐν Ἐπιγράμμασι· οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι ἀγρότα Πὰν, ἄλλος ἄλλης ἀπ' ἀγρεσίης. θηλυκὸν δὲ Ἀγρότις. ἐν Ἐπιγράμμασι· ἄνθετο δέρμα λέοντος Τεῦκρος Ἄραψ, καὐτὴν ἀγρότιν αἰγανέαν.

α 370 Ἀγροτέρας: ἀγρίου. ἐν Ἐπιγράμμασι· τοῦτό σοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης θῆκε ῥόπαλον.

α 371 Ἀγροῦ πυγή: ἐπὶ τῶν λιπαρῶν καὶ ἐπιμόνως ᾠτινιοῦν ἔργῳ προσκαθημένων.

α 372 Ἀγρωνίδης: ὁ Ἄγρωνος παῖς.

α 373 Ἀγρώσσω: τὸ ἀγρεύω. καὶ Ἀγρῶσται, οἱ κυνηγέται, ἀπὸ τοῦ ἀγρώσσω ῥήματος. Ὅμηρος· ἰχθῦς ἀγρώσσων.

α 374 Ἄγρωστις: εἶδος βοτάνης.

α 375 Ἀγροικίζω. καὶ Ἄγροικος, ἄφρων, δύσκολος· σκληρὸς καὶ ἀπαίδευτος, ἢ ὁ ἐν ἀγρῷ κατοικῶν. κατὰ μεταφορὰν δὲ ὁρίζονταί τινες τὴν ἀγροικίαν σκληρότητα ἤθους· ἡ γὰρ σκληρότης κυρίως ἐπὶ σωμάτων.

α 376 Ἄγροικος ἐξ ἄστεος: οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο· οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν διὰ τούτου λεληθότως τὴν εὐπορίαν παρίστησι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. ἀδοξεῖν γὰρ εἰώθαμεν ἐπὶ τοῖς ἀγροίκοις. ἔπειτα δὲ κἀκείνην θεραπεύει τὴν ἀντίθεσιν τὸ ὑποτετάχθαι αὐτὸν τῇ γυναικί· δεσπόζειν γὰρ εἰώθασιν οἱ ἄνδρες τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας ἄγροικον αὐτὸν εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους διὰ τὴν ἐπὶ τῆς ἀγροικίας διαίταν γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.

α 377 Ἄγροικος ὀργήν: φιλόδικος, ἀκρόχολος, εἰς ὀργὴν εὔκολος. Ἀριστοφάνης· νῶιν γάρ ἐστι δεσπότης ἄγροικος ὀργήν. καὶ Ἀγροίτης, ὁ ἀγρός.

α 378 Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.

α 379 Ἀγροιλῆθεν: Ἀγροίλη δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθεΐδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο Ἀγροιλεύς.

α 380 Ἀγροιώτης: ὁ γεωργικὸς λεὼς, ὁ ἐν ἀγρῷ. ἀγροιώτᾳ τῷδε μονοστόρθυγγι Πριήπῳ. στόρθυγξ γὰρ τὸ ἄκρον τοῦ δόρατος ἢ τὸ τοῦ βέλους σιδήριον. θηλυκῶς δὲ Ἀγροιῶτις διὰ τοῦ ι.

α 381 Ἄγοι: πολλὰ σημαίνει. Ἰσαῖος δὲ ἀντὶ τοῦ φέρειν καὶ ἐνάγειν καὶ ἕλκειν ἔλαβεν· ἔβλαψε γάρ με, φησί, Ξενοκλῆς ἀφελόμενος Εὐμάθην εἰς ἐλευθερίαν, ἄγοντος ἐμοῦ εἰς δουλείαν. Ἀντιφῶν δὲ τὸ ἄγοι ἀντὶ τοῦ ἡγεῖτο παρείληφε· φησὶ γὰρ ἐν τῷ περὶ ἀληθείας· τοὺς νόμους μεγάλους ἄγοι.

α 382 Ἀγυιάν: τὸν στενωπὸν Ξενοφῶν. καὶ ὅλως πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ.

α 383

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀγυιαί: ἄμφοδα, ῥύμαι, ἢ ἐπιμήκεις ὁδοί· παρὰ γὰρ τὸ μὴ ἔχειν πως γυῖα καὶ μέλη καὶ κάμψεις. τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους καὶ ταύτῃ διαφέρουσιν. Ἀγυιᾶς δὲ ἔνιοι μὲν ὀξύνουσι θηλυκῶς χρώμενοι, οἷον τὰς ὁδούς· βέλτιον δὲ περισπᾶν, ὡς ἀπὸ τοῦ ἀγυιέας. ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίους δέ φασιν αὐτοὺς εἶναι Ἀπόλλωνος, οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν. ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεύς, καὶ τὴν αἰτιατικὴν ἀγυιέας, ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ’ ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοὶ, ὡς Σοφοκλῆς μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν φησί· λάμπει δ’ ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμοὺς, βαρβάρους εὐοσμίας. καὶ Ἀγυιεὺς, ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλοις· ὦ δέσποτα Ἀγυιεῦ, ταῦτα σὺ μέμνησό μου.

α 384 Ἀγύλαιος: ὄνομα κύριον.

α 385 Ἀγύρριος: ὄνομα κύριον. ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο ὡς καὶ πέρδεσθαι αὐτόν. Ἀριστοφάνης Πλούτῳ. ἐκωμῳδεῖτο δὲ καὶ εἰς θρασύτητα. καὶ Ἀγύρριος, δημαγωγὸς Ἀθηναίων οὐκ ἀφανής. Ἀγύρριος τὸν Προνόμου πώγων’ ἔχων λέληθεν. ὁ Ἀγύρριος στρατηγὸς θηλυδριώδης, ἄρξας ἐν Λήμνῳ, ὃς τὸν μισθὸν τῶν ποιητῶν συνέτεμεν. ὁ δὲ Πρόνομος αὐλητὴς ἦν μέγαν πώγωνα ἔχων.

α 386 Ἄγυρις: ἄθροισις. καὶ Ἀγυρισμός. ὁ δὲ ἐσπούδασεν εἰς τὸ δυνατὸν πρὸς ἀγυρισμὸν τῆς ἀπορρήτου τῶν θείων θεραπείας. καὶ Ἀγυρμός, ἐκκλησία, συναγωγή.

α 387 Ἀγυρτεία: ὁμιλίαν, οἵαν ἐκεῖνος ἐθηρᾶτο, πρὸς ἀγυρτείαν τινὰ θρασυνομένην.

α 388 Ἀγύρτης: πτωχὸς, ὀχλαγωγός. ἐπαίτης, φιλοκερδής. ἢ συρφετώδης. ἔστι δὲ καὶ βόλος κυβευτικὸς καὶ Γάλλος καὶ μάντις, ὡς Ἀπίων. ἐν Ἐπιγράμμασι· κειράμενος γονίμην τις ἀπὸ φλέβα Μητρὸς ἀγύρτης. καὶ αὖθις· δόλιον ἀγύρτην, ὃς ἐν τοῖς κέρδεσι μόνον δέδορκε. καὶ αὖθις· ἦν γὰρ αὐτὸς ἀγύρτης τῷ ὄντι καὶ φιλομαντευτής.

α 389 Ἀγύρτης: ὁ ἀλαζὼν καὶ ἀπατεών. τὸ δὲ ἀγείρειν καὶ τὸ περιαγείρειν, τὸ περιϊέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἤ τινι ἑτέρῳ τοιούτῳ σεμνύνειν. ὁ δὲ ἀγύρτης καὶ κυβευτικοῦ βόλου ὄνομά ἐστιν. ἐμέμφετο αὐτοῦ τὸ περὶ τὰς μαντείας ἐπτοημένον καὶ βουλόμενον ἀεὶ τοῖς ἀγύρταις ἐπιτρέπειν τὰ οἰκεῖα πράγματα. καὶ Ἀγυρτικὰ, χυδαῖα ψεύσματα. καὶ Ἀγυρτώδη, συρφετώδη.

α 390 Ἄγχαυρος: ὁ παχνώδης ὄρθρος, παρὰ τὸ πλησίον ἔχειν τὴν αὔραν. Ὅμηρος· αὔρη δὲ ψυχρὴ πνέει ἠῶθι πρό.

α 391 Ἀγχεῖος: ὁ πλησίον.

α 392 Ἀγχείσιος: ὁ τοῦ Ἀγχείσου.

α 393 Ἀγχηστῖναι: πυκναί. καὶ Ἀγχηστῖνος, ἡ εὐθεῖα.

α 394 Ἄγχι: ἐγγύς.

α 395 Ἀγχιάλεια: πόλις. καὶ Ἀγχίαλος, ἡ ἐγγὺς τῆς θαλάσσης. οὐ πάντως δὲ αἱ ἀγχίαλοι καὶ ἀμφίαλοι εἰσίν. οἷά ἐστιν ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ· αἱ δὲ νῆσοι καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. Σοφοκλῆς· Τελαμώνιε παῖ τῆς ἀμφιρρύτου Σαλαμῖνος. καὶ αὖθις· θεῖον Ὅμηρον κλεινὸς ἐπ’ ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.

α 396 Ἀγχιάλη: πόλις, ἣν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ Σαρδανάπαλος ὁ τῶν Ἀσσυρίων βασιλεύς. ὁμοίως ἔκτισε καὶ τὴν Ταρσὸν ὁ αὐτός.

α 397 Ἀγχιβαθής: ὁ ἐγγύβαθος.

α 398 Ἀγχιβατεῖν: Ἴωνες τὸ ἀμφισβητεῖν. καὶ Ἀγχισβασίην Ἡράκλειτος.

α 399

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀγχίθυρος: πλησιαίτατος. γείτων. ἀγχίθυροί τε καὶ γείτονες ἀλλήλων αἱ δυνάμεις ἐγίνοντο.

α 400 Ἀγχίμαχος: ἐγγύθεν μαχόμενος.

α 401 Ἀγχίμολον: ἐγγὺς ἐλθόν.

α 402 Ἀγχίνους: συνετὸς, ὀξὺς τὸν νοῦν. δημηγορήσαντος τοῦ βασιλέως τοῦ τε ἱεροῦ ξυλλόγου τὸ ἀγχίνουν τε καὶ βουλευτικὸν τοῦ βασιλέως ἐπαινέσαντος. ὅτι τρία μέρη εὐμαθείας, ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι τήρησις, ὧν ἔμαθέ τις· ὀξύτης δὲ ἡ ταχύτης τῆς διανοίας· ἀγχίνοια δὲ τὸ ἐξ ὧν ἔμαθε θηρεύειν καὶ ἃ μὴ ἔμαθεν.

α 403 Ἀγχίνοια: σύνεσις. ἢ ἕξις εὑρετικὴ τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα. ἢ εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ. καὶ Ἀγχίνουν· Δαμάσκιος· ὀξεῖαν δὲ καὶ ἀγχίνουν φύσεως δύναμιν ἐπὶ πολλὰ δι’ ὀλίγου φέρεσθαι δυναμένην ἑτοιμοτάτην συνιέναι καὶ γνωρίζειν τὰ ἴχνη τῶν θηραμάτων. περὶ Ἰσιδώρου ὁ λόγος.

α 404 Ἀγχίσης: Ἀγχίσου. καὶ Ἀγχισίδης.

α 405 Ἀγχίσποροι: ἐγγὺς γένους. Δαμάσκιος· ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου.

α 406 Ἄγχιστα: ἔγγιστα.

α 407 Ἀγχιστεύς. καὶ Ἀγχιστεία, συγγένεια. καὶ Ἀγχιστεῖς, οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων, συγγενεῖς μόνον. οἱ δὲ κατ’ ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται.

α 408 Ἀγχιστεία: ἡ μετουσία τῆς οὐσίας. παρὰ Ἀριστοφάνει· νόθῳ μὴ εἶναι ἀγχιστείαν. καὶ Ἀγχιστεύω ῥῆμα, γενικῇ.

α 409 Ἀγχιστίνδην: τὸ κατὰ ἀγχιστείαν, ὡς ἀριστίνδην καὶ πλουτίνδην.

α 410 Ἀγχίστροφοι: συστραφέντες, ἢ ταχὺ ἐπιστρεφόμενοι. Προκόπιος· ἥ τε μάχη καρτερὰ ἐγεγόνει καὶ ἐκ χειρὸς ἦν, ἀγχιστρόφους τε τὰς διώξεις ἐποιοῦντο ἐς ἀλλήλους ἑκάτεροι. καὶ αὖθις· εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες ἀγχίστροφοι γενόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκουσι. καὶ αὖθις· τῷ ἀγχιστρόφῳ τῆς τύχης. καὶ ὁ Θηραμένης ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοῖς καιροῖς πρὸς τὸ κρεῖττον ἀεὶ διδοὺς ἑαυτόν.

α 411 Ἀγχιτέρμων: ὁ γείτων.

α 412 Ἀγχόνη: ὁ βρόχος, τὸ σχοινίον, παροξυτόνως, Ἀγχονὴ δὲ τὸ πρᾶγμα ὀξυτόνως. ἡ ἐνέργεια. καὶ Ἀγχονήσας: πνίξας. Ἀπαγχονίσας δέ.

α 413 Ἀγχότερος: ἐγγύτερος. Ἡρόδοτος· στεινοτέρη ἐφαίνετο καὶ ἀγχοτέρη ἡ εἰσβολή.

α 414 Ἀγχοῦ: ἐγγύς.

α 415 Ἀγχούροις: πλησιοχώροις. παρὰ τὸ ἄγχι τοὺς ὅρους εἶναι.

α 416 Ἄγχουσα: εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρὰ, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. ἡ ἄγχους’ ὀδυνήσει καὶ τὸ σὸν ψιμμύθιον.

α 417 Ἄγχω· αἰτιατικῇ.

α 418 Ἀγχώμαλον. καὶ Ἀγχωμάλου, ἴσης, ἐγγὺς τοῦ ὁμαλοῦ. συμμίξαντες καὶ ἀγχώμαλα ἀγωνισάμενοι καὶ μήτε ζωγρήσαντές τινα μήτε ἐς τὸ πλέον ἔτι προχωρήσαντες διελύθησαν. καὶ αὖθις· ἱππομαχία γίνεται καρτερὰ καὶ πλήθει τῶν ἀγωνιζομένων ἀγχώμαλος καὶ ἀρεταῖς ἐμφερής.

α 419 Ἄγχων: περισφίγγων, θλίβων. ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν καὶ περιάγων περιαιρεῖται τὸ ξίφος.

α 420 Ἀδαήμονες: ἄπειροι. ὁ δὲ τὴν τῶν Αἰγυπτίων σοφίαν ἦν ἀδαημονέστερος. ὁ Ἀσκληπιόδοτος.

α 421

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀδαϊστί: ἀπείρως.

α 422 Ἄδακρυς πόλεμος: ἐπὶ τῶν ἔξω παντὸς κινδύνου καὶ ῥᾷστα καὶ παρ' ἐλπίδας τὰ πράγματα κατορθούντων.

α 423 Ἀδακρυτί: ἀκλαυστί.

α 424 Ἀδαλίδης: ὄνομα κύριον.

α 425 Ἀδάμ: ὁ πρῶτος ἄνθρωπος, ὁ χειρὶ θεοῦ πλασθεὶς καὶ κατὰ τὴν εἰκόνα καὶ ὁμοίωσιν μορφωθεὶς τοῦ δημιουργοῦ τε καὶ κτίσαντος, ὁ καὶ τιμηθεὶς τὴν εἰς παράδεισον οἴκησιν. οὗτος δικαίως ἂν πρῶτος καλοῖτο σοφὸς ὡς πρωτόκτιστον ἄγαλμα καὶ εἰκὼν οὖσα θεόγραφος, ὡς τῶν χαρίτων ὅλων ὑπάρχων ἀνάπλεως καὶ πάντα καθαρὰ καὶ ἀκίβδηλα περιφέρων τὰ ψυχῆς τε καὶ σώματος αἰσθητήρια. μαρμαρυγαὶ γάρ τινες, ὡς εἰπεῖν, ἐκ τῆς ἐκείνου ψυχῆς ἀπαστράπτουσαι καὶ θείων ἐννοιῶν τε καὶ ἐνεργειῶν πλήθουσαι κατὰ πᾶσαν εἰσέτρεχον φύσιν εὐστόχως καὶ ἀναμαρτήτως τὸ οἰκεῖον ἑκάστης πλεονέκτημα φθάνουσαι. ὃς οὐ παρὰ ἀνθρώπων ἐδοκιμάσθη τῶν τὰς κρίσεις πολλάκις ἐπισφαλῶς ποιουμένων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ τοῦ πᾶσαν γνῶσιν καὶ κρίσιν ὀρθῶς ποιουμένου καὶ πρὸ τοῦ τὰς ἐννοίας κινηθῆναι παρὰ τῆς ὠδινούσης τὰ τοιαῦτα ψυχῆς καὶ ἀποτικτούσης νοήματα. καὶ ᾗ φησιν ἡ γραφή· ἐποίησεν ὁ θεὸς πάντα τὰ κτήνη καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ πετεινὰ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν, τί καλέσει αὐτά. καὶ ὃ ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. τί τῆς φωνῆς ταύτης καὶ μαρτυρίας ἀριδηλότερον; τί τῆς σοφίας ταύτης καὶ διαγνώσεως ὑψηλότερον; ἐκάλεσεν ὀνόματα τὴν φύσιν αὐτὴν καὶ τὴν ὑπόστασιν ἑκάστου ζῴου ὥσπερ ὑπογραφόμενος, οὐ μελετήσας, οὐ προσκεψάμενος, οὐδέν τι προπεπονθὼς τῶν ὅσα μεταμανθάνουσιν ἄνθρωποι. καὶ πολλῶν καὶ ἀναρίθμων γενεῶν παραδραμουσῶν οὐκ ἴσχυσεν οὐδεὶς ὑπαλλάξαι κἂν τοῦ τυχόντος ζῴου τὸ ὄνομα, οὐδὲ τῆς ἐκείνου δράξασθαι μεγαλονοίας καὶ διαγνώσεως. μᾶλλον μὲν οὖν μένουσιν ἅπαντες οἱ κατὰ πᾶσαν ἐσπαρμένοι τὴν γῆν ἄνθρωποι τοῖς ἐκείνου στοιχοῦντες ἀμεταθέτοις θεσπίσμασι. καὶ οὐδὲ μέχρι τούτων ἔστη τοῦ πρωτογόνου ἀνθρώπου τὸ ὑπερβάλλον ἐν πᾶσιν ἀξίωμα, ἀλλὰ καὶ σπερμάτων καὶ φυτῶν διαφορὰς ῥιζῶν τε καὶ βοτανῶν δυνάμεις, καὶ ὅσα εἰς ἀντίληψιν καὶ θεραπείαν ἡ φύσις ἑκάστῳ προσαρμόττει τῶν ζῴων, διέκρινέ τε καὶ ἐσάφησεν. οὗτος καὶ τὴν γυναῖκα πρῶτος ἰδὼν οὐχ ὥσπερ ἐκ στόματος ἀνθρωπίνου περὶ ταύτης ἐφθέγξατο, ἀλλ' ὡς ἔκ τινος θείας ὀμφῆς ἐνηχούμενος εὐστόχως τὸ πολυύμνητον ἐκεῖνο καὶ θαυμαστὸν ἀπεφοίβασε λόγιον· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. οὗτος τοίνυν ἐστὶν ὁ δοκιμάσας ἕκαστα καὶ πᾶσι κανόνας καὶ στάθμας ἀκριβεῖς καὶ ὅρους ἀναντιρρήτους ἐναρμοσάμενος. τούτου τέχναι καὶ γράμματα, τούτου ἐπιστῆμαι λογικαί τε καὶ ἄλογοι, τούτου προφητεῖαι, ἱερουργίαι καὶ καθαρισμοὶ καὶ νόμοι γραπτοί τε καὶ ἄγραφοι, τούτου πάντα εὑρήματα καὶ διδάγματα, καὶ ὅσαι κατὰ τὸν βίον ἀναγκαῖαι χρεῖαί τε καὶ δίαιται. οὗτός ἐστιν ὁ πρῶτος ἀνδριὰς, τὸ θεόκλητον ἄγαλμα, ἀφ' οὗπερ ἀπευθύνονται πᾶσαι ἀνθρώπων ἀγαλματουργίαι, κἂν πρὸς τὸ ἧττον μᾶλλον καὶ μᾶλλον ἐκπίπτωσιν ἐκείνου τοῦ μακαρίου καὶ θεοειδοῦς ἀπεικάσματος μηδεμίαν ἔχοντος ἀφορμὴν, ἧς ἂν ἐπιλάβοιτο ὁ μετ' ἐκεῖνον διαπλαττόμενος ἢ ζῳγραφούμενος, ἕως ὁ παλαμναῖος καὶ ἀποστάτης καὶ πλάνος διάβολος τοῦτον ἐξεκύλισεν ἐκ τῆς οἰκείας ἱδρύσεώς τε καὶ στάσεως καὶ κατὰ τοῦ πρανοῦς εἴασε φέρεσθαι πρὸς βαραθρώδεις τινὰς καὶ ἀλαμπεῖς χώρους καὶ μέχρι τῶν ἀμειδήτων τοῦ ᾅδου κευθμώνων ἐγγίζοντας. κἀντεῦθεν ἤρξατο φύσις ἡ τῶν ἀνθρώπων παραχαράττεσθαι καὶ διακιβδηλεύεσθαι καὶ τυποῦσθαι τοῖς τοῦ τυράννου μορφώμασί τε καὶ σχήμασιν. ἐντεῦθεν ἡ νόθος σοφία τὰς ἀφορμὰς ἔλαβε, τῆς θείας δραπετευσάσης καὶ πρὸς οὐρανὸν ἀναπτάσης, ὅθεν τὸ πρότερον ἦν ἀφορμήσασα. ὅθεν ὁ πλάνος τὸ τοῦ θεοῦ σφετερισάμενος ὄνομα εἰς πολλὰ κατεμέρισε, Κρόνους τε καὶ Ζῆνας καὶ Ποσειδῶνας ἑαυτὸν μετακαλῶν· καὶ τὸ δὴ πάντων ἀνοσιώτατον, εἰς

ὀνόματα θήλεά τε καὶ ἄσεμνα τὴν μακαρίαν καὶ ἄρρητον συγκατασπάσαι φύσιν ὁ ἀλιτήριος κατετόλμησεν, εἴς τε τὰς Ῥέας ἐκείνας καὶ Ἀφροδίτας καὶ Ἀθηνᾶς καὶ εἰς ἄλλας μυρίας καὶ ἀλλοκότους ἀλόγων ἰδέας τε καὶ μορφάς, ἃς ὁ κακίας δημιουργὸς καὶ τὴν ἀποστασίαν νοσήσας ἐπέχρωσέ τε καὶ διεχάραξεν. ἐντεῦθεν Αἰγυπτίων τὰ περὶ Ὄσιριν καὶ Τυφῶνα καὶ Ἶσιν μοχθηρὰ διηγήματα καὶ Περσῶν μαγικὰ μαγγανεύματα καὶ Βραχμάνων γυμνοσοφιστίαι καὶ ἄκαιροι φαντασίαι καὶ ἡ θαυμαζομένη Σκυθῶν ῥῆσις καὶ τὰ Θρᾳκῶν ὄργια καὶ οἱ Φρυγῶν αὐλοὶ καὶ Κορύβαντες. ἐντεῦθεν ἡ Χαλδαίων ἀστρονομία ἡ σφαλερά τε καὶ πολυώδυνος. ἐντεῦθεν ἡ τοῦ ψεύδους λοχεύτρια ποίησις, ἡ τῶν Ἑλληνικῶν ληρημάτων σεμνομυθία. ἐντεῦθεν Ὀρφεύς τε καὶ Ὅμηρος καὶ ὁ τῶν ἀθεμίτων γονῶν ζῳγράφος Ἡσίοδος. ἐντεῦθεν ἡ Θάλητος δόξα καὶ ὁ κλεινὸς Πυθαγόρας καὶ ὁ σοφὸς Σωκράτης καὶ Πλάτων, τὸ τῆς Ἀθηναίων Ἀκαδημίας πολυθρύλητον σεμνολόγημα. ἐντεῦθεν οἱ Παρμενίδαι καὶ Πρωταγόραι καὶ Ζήνωνες. ἐντεῦθεν αἱ Στοαὶ καὶ οἱ Ἄρειοι πάγοι καὶ Ἐπικούρειοι. ἐντεῦθεν οἱ τραγῳδῶν θρῆνοι καὶ κοπετοὶ καὶ τὰ κωμικῶν παίγνια καὶ τωθάσματα. ἐντεῦθεν τὰ δολερὰ τοῦ Λοξίου καὶ ψευδηγόρου θεσπίσματα καὶ ἡ λοιπὴ τῶν Ἑλληνικῶν κομψευμάτων ἐρεσχελία καὶ τερατεία. καὶ ἵνα μὴ μακρὸν ἀποτείνω τὸν λόγον εἰς σαπρούς τε καὶ ὀδωδότας μύθους ἐνασχολούμενος, πᾶσαν εἰς ἑαυτὸν τὴν κτίσιν ὁ πλάνος ἐμφορτισάμενος καὶ λαβὼν ὑπὸ χεῖρα τὸν ἄνθρωπον ὡς ἀνδράποδον καὶ διερχόμενος τὴν ὑπ' οὐρανὸν καὶ περιπατῶν τὴν γῆν καὶ ὡς ᾠὰ πάντα κατέχων, ὡς αὐτός πού φησιν ἀλαζονευόμενος, ᾤετο δεῖν τὸν ἑαυτοῦ θρόνον θήσειν ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ ἔσεσθαι ὅμοιος τῷ Ὑψίστῳ. ἀλλ' ὁ τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ λόγος ὁ προαιώνιος οἰκτείρας τὸν ἄνθρωπον ὡς ἠπατημένον ὑπὸ τοῦ δράκοντος ἐκ τῶν τοῦ πατρὸς κόλπων ἑαυτὸν ἐκένωσε καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας, καὶ διὰ τοῦ τιμίου σταυροῦ καὶ τοῦ πάθους αὐτοῦ καταβαλὼν τὸν ἀντίπαλον καὶ καταβὰς εἰς τὰ κατώτατα μέρη τῆς γῆς ἐκεῖθεν εἵλκυσε τὸν παραπεσόντα πρωτόπλαστον, ἀποδοὺς τῇ εἰκόνι τὸ πρῶτον κάλλος καὶ τῇ φύσει τὸ ἀρχαῖον ἀξίωμα. κἀντεῦθεν ἠφάνισται πᾶσα ἡ τοῦ τυράννου δυναστεία καὶ συμμορφία τοῦ τῆς εὐσεβείας φωτὸς διαυγάσαντος πάσῃ τῇ κτίσει τῶν ἡλιακῶν μαρμαρυγῶν τηλαυγέστερον. ἐκ τούτου τοῦ φωτὸς ἡ κατὰ θεὸν σοφία πάλιν διέλαμψε καὶ γλώσσας ἁλιέων ἐστόμωσε καὶ τῶν σοφῶν διδασκάλους τοὺς ἀσόφους εἰργάσατο ἐντεῦθεν ὁ τῆς βροντῆς γόνος, τὸ· ἐν ἀρχῇ ἦν ὁ λόγος, ἐξ οὐρανίων νεφελῶν ἀπαστράψας ἐβρόντησε, καὶ πᾶσαν τὴν οἰκουμένην ἐλάμπρυνε. κἀκ τούτου τοῦ φωτὸς Παῦλος εἰς τρίτον οὐρανὸν ἀναφέρεται καὶ θεᾶται τὰ ἀθέατα καὶ τῶν ἀρρήτων ὑπακούει λογίων καὶ διατρέχει πᾶσαν τὴν γῆν ὡς πτηνὸς καὶ ἀέριος τὸν Ἰησοῦν εὐαγγελιζόμενος. ἐντεῦθεν ὁ Πέτρος τὸν Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος ὠνόμασε καὶ τὰς κλεῖς τῆς τῶν οὐρανῶν πιστεύεται βασιλείας, ἵνα ἀνοίγῃ μὲν τοῖς πιστοῖς, ἀποκλείῃ δὲ τοῖς ἀπίστοις τῶν θείων ἀνακτόρων τὴν εἴσοδον. ἐντεῦθεν ἀγέλαι μαρτύρων καταβάλλουσιν εἴδωλα καὶ τρέχουσιν ἕτοιμοι πρὸς τὸν θάνατον, ὡς στεφάνους τὰς πληγὰς καὶ ὡς πορφύρας τὰ ἑαυτῶν αἵματα περιφέροντες οἱ καλλίνικοι. ἔστω γοῦν ὁ πρωτόπλαστος ἀρχηγὸς τοῦδε τοῦ γράμματος, κατά γε τὸν ἐμὸν ὅρον καὶ λόγον, ὡς ποταμὸς πηγή τε καὶ θάλαττα καὶ ῥίζα καὶ κλάδοι καὶ ὅρπηκες καὶ πάσης ὑπάρχων τῆς ἀνθρωπίνης φύσεως ἀπαρχὴ καὶ πρωτόλειον. ὅτι ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ͵βσμβʹ. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη φκεʹ. ἀπὸ δὲ τῆς πυργοποιΐας ἕως τοῦ Ἀβραὰμ υκεʹ. ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου υλʹ. ἀπὸ δὲ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομωντείου ναοῦ ἔτη ψνζʹ. ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἕως τῆς αἰχμαλωσίας τοῦ Ἰσραὴλ υκεʹ. ὁμοῦ ἔτη ͵δωπʹ. ἀπὸ δὲ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου βασιλέως τιηʹ. ἀπὸ δὲ Ἀλεξάνδρου ἕως Χριστοῦ τοῦ θεοῦ ἡμῶν τγʹ. ὁμοῦ ἔτη ͵εφʹ. ἀπὸ δὲ Χριστοῦ ἕως τοῦ μεγάλου Κωνσταντίνου τιηʹ. ἀπὸ δὲ Κωνσταντίνου μέχρι Μιχαὴλ υἱοῦ Θεοφίλου φνεʹ. ὁμοῦ τὰ πάντα ἔτη ͵ϛτοεʹ. ἀπὸ δὲ Μιχαὴλ ἕως Ῥωμανοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

υἱοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἔτη ... ἀπὸ δὲ τοῦ Πορφυρογεννήτου ἕως τῆς τελευτῆς Ἰωάννου τοῦ Τζιμισκῆ ἔτη ... καὶ Ἀδαμιαῖος, ἀπὸ Ἀδάμ.

α 426 Ἀδαμάντινα: στερρά. ὁ δὲ Ἀπολλώνιος ὥσπερ ἑαυτῷ διελέγετο, οἶδα, ἔλεγε, καὶ δοκεῖ μοι· καὶ ποῖ φέρεσθε; καὶ χρὴ εἰδέναι. καὶ δόξαι βραχεῖαι καὶ ἀδαμάντιναι.

α 427 Ἀδαμαστί: ἐπίρρημα.

α 428 Ἀδάμαστος: παρθένος, ἄζυξ. Σοφοκλῆς· νῦν δ’ ἡ Διὸς γοργῶπις παρθένος θεὰ ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσῳ.

α 429 Ἀδαμίθειος.

α 430 Ἀδαξῆσαι: τὸ κνῆσαι, οὐκ ἐν τῷ 〈ο〉 ὀδαξῆσαι. καὶ Ἀδαχεῖν. τὸ κνήθειν. ἀδαχεῖ γὰρ αὑτοῦ τὸν ἄχορα ἐκλέγει τ’ ἀεί· Ἀριστοφάνης.

α 431 Ἀδαῖον: ἄκαυστον. καὶ Ἀδαῖος: ὄνομα κύριον.

α 432 Ἄδαιτρον: ἀμέριστον.

α 433 Ἄδεν: ἤρεσκεν. ἐν Μύθοις· οὐδέ οἱ οὐδ’ αἴθων ἅδε πόρδαλις, οὕνεκα θυμοῦ ἔμπλείη.

α 434 Ἀδεές: ἀσφαλὲς, οὐ φοβερόν. ὡς ἡ παροιμία· ἀδεὲς δέδοικας δέος. λεγόμενόν τί ἐστιν ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.

α 435 Ἀδέητος: ὁ μηδενὸς δεόμενος καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α′ Ἀληθείας· διὰ τοῦτο οὐδενὸς δεῖται, οὔτε προσδέχεται οὐδενός τι, ἀλλ’ ἄπειρος καὶ ἀδέητος.

α 436 Ἀδεκάστως: ἀμερίστως, δικαίως, ἀδωροδοκήτως, ὀρθῶς.

α 437 Ἀδεκατεύτους: Ἀριστοφάνης ἀτελωνήτους· τὰς γὰρ δεκάτας τῶν κοιλιῶν τῶν θυομένων ἐδίδοσαν τὴν δεκάτην μοῖραν ἐν τῷ πρυτανείῳ.

α 438 Ἀδεκτώ: ὄνομα δαίμονος.

α 439 Ἀδελφά: οἰκεῖα, ἁρμόζοντα, πρέποντα.

α 440 Ἀδέλφιος: ὄνομα κύριον.

α 441 Ἀδελφειός: ὁ ἀδελφός· Ἀδελφιδοῦς δὲ ὁ ἀνεψιός. καὶ τὸν ἀδελφιδοῦν. καὶ Ἀδελφίζειν, ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. οὕτως Ἰσοκράτης καὶ ὁ Μιλήσιος Ἑκαταῖος καὶ Ἀπολλοφάνης ἐχρήσαντο. καὶ τὸ θηλυκὸν τὴν ἀδελφιδῆν, ἡ ἀδελφιδῆ, τῆς ἀδελφιδῆς. ὅτι Ἀλυάττης ὁ τῶν Λυδῶν βασιλεὺς ᾔσχυνε τὴν ἑαυτοῦ ἀδελφήν.

α 442 Ἀδελφὸς παρείη: ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν ἐν καιρῷ περιστάσεως.

α 443 Ἀδένη: ἡ φλύαρος, ἡ δεῖνα.

α 444 Ἀδερβός: ὄνομα κύριον.

α 445 Ἀδέρκτως: οὐ προσβλέποντες ἀλλ’ ἢ καταμύοντες· παραμειβόμεσθ’ ἀδέρκτως.

α 446 Ἀδέψητον: τὸ ὠμόν.

α 447 Ἄδεια: ἄνεσις, ἀφοβία. Ἰώσηπος· οἱ δὲ στασιασταὶ τοὺς Ῥωμαίους ὁρῶντες κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν; τί παθόντες ἀνέσχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν ἀναφρασσόμενα τείχη καὶ τοῦ πολέμου μετ’ ἀδείας ἀντιπολεμίζοντος ἑαυτόν.

α 448 Ἄδεια: ἡ ἀφοβία. ἐκέλευον αὐτὸν λέγειν ὅ τι χρῄζοι μετ’ ἀδείας· ὁ δὲ τῆς μὲν ἀδείας χάριν ὡμολόγει, τὸ δὲ ἑαυτοῦ πάθος ἐπὶ μέγα ἐξάρας Ῥωμαίοις ἐμέμφετο.

α 449 Ἄδερ· ὁ ἀλιτήριος, ὁ ἐπαναστὰς Σολομῶντι. παῖς οὗτος ἦν, Ἰδουμαῖος γένος, ἐκ βασιλικῶν σπερμάτων. καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαβὶδ στρατηγοῦ καὶ πάντας τοὺς ἐν ἀκμῇ καὶ φέρειν ὅπλα δυναμένους διαφθείραντος μησὶν ἓξ, φυγὼν οὗτος ἧκε πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φαραὼ τὸν Αἰγύπτου βασιλέα. ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος οἶκόν τε αὐτῷ δίδωσι καὶ χώραν εἰς διατροφὴν καὶ γενόμενον ἐν ἡλικίᾳ λίαν ἠγάπα, ὡς καὶ τῆς αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφὴν, ὄνομα Θαφίνην, ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. ἀκούσας οὖν τὸν Δαβὶδ θάνατον ἐν Αἰγύπτῳ καὶ τὸν Ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ Φαραῶ ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. τοῦ δὲ βασιλέως ἀνακρίνοντος, τίνος ἐνδεὴς ὢν ἢ τί παθὼν ἐσπούδακε καταλείπειν αὐτὸν, τότε μὲν οὐκ ἀφείθη, ὕστερον δὲ καθ' ὃν ἤδη καιρὸν Σολομῶνι τὰ πράγματα κακῶς εἶχε διὰ τὰς προειρημένας αἰτίας καὶ παρανομίας καὶ τὴν ὀργὴν τὴν ἐπ' αὐτοῖς, τοῦ θεοῦ συγχωρήσαντος τῷ Φαραῶνι ὁ Ἄδερος ἧκεν εἰς τὴν Ἰδουμαίαν. ὃς τῆς Συρίας βασιλεύσας κατέτρεχε τὴν τῶν Ἰσραηλιτῶν χώραν, ἐπιτίθεται δὲ Σολομῶνι.

α 450 Ἀδειάς: εἶδος ἐσχάρας.

α 451 Ἀδειής: ἄφοβος. καὶ Ἄδειος, ὁμοίως.

α 452 Ἀδείμαντα: ἄφοβα. καὶ Ἄδειμος, ὁ ἄφοβος.

α 453 Ἀδείμαντος· Κορινθίων στρατηγὸς, ὃς ἄπολιν εἶπε τὸν Θεμιστοκλέα. ὁ δὲ, τίς, εἶπεν, ἄπολις, ἔχων σ' τριήρεις. τούτου καὶ Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ. ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων. ἐκωμῳδοῦντο δὲ ἐπὶ πονηρίᾳ Κλέων, Μύρμηξ καὶ Νικόμαχος καὶ Ἀρχέμορος μετ' Ἀδειμάντου τοῦ Λευκολόφου.

α 454 Ἄιδειν κελεύονθ' ὡσπερεὶ τέττιγα ἑστιῶντα: διότι πολύλαλόν ἐστι τὸ ζῷον. Ἀδεῖν δὲ ἀρέσαι.

α 455 Ἄιδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδοῦντος.

α 456 Ἀδηκότες: ταλαιπωρήσαντες.

α 457 Ἀδήλητος: ἀσινὴς, ἀβλαβής. Ἀγαθίας· καὶ ἐπεδείκνυντο σῶοί τε καὶ ἀδήλητοι. δηλῶ γὰρ τὸ βλάπτω.

α 458 Ἀδηλία: ἀοριστία, ἀπειρία. τῷ δὲ ὑπερηφανίᾳ χρωμένῳ καὶ τὴν τοῦ πολέμου ἀδηλίαν ἥκιστα βαλλομένῳ εἰς νοῦν ἠλπίζε ῥᾳδίως αἱρήσειν τὸ βάρβαρον. Ἀδηλία δὲ καὶ ἡ κρυφιότης.

α 459 Ἀδημονῶ: τὸ λίαν λυποῦμαι. ὁ δὲ τὸ μὲν πρῶτον ἠδημόνει καὶ ἡσυχίαν εἶχεν ὑπὸ τοῦ παρόντος κακοῦ. καὶ Ἀδημονούσης, ἀπορούσης.

α 460 Ἀδηλώσας: ἀγνώριστον ποιήσας. ὁ δὲ ἀδηλώσας ἑαυτὸν πιναρᾷ στολῇ καὶ λαβὼν δρέπανον ὡς ἂν γῆς ἐργάτης.

α 461 Ἀδημονία: ἡ φροντίς.

α 462 Ἀδημονῶν: ἀγωνιῶν, ἀκηδιῶν. καὶ Ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. ὢν δὲ τοῦ προσήκοντος ἀδημονέστερος ἀντεῖχε τούτω.

α 463 Ἄδην: ἅλις ἢ εἰς κόρον, ἱκανῶς, ἀρκούντως. ἢ λάβρως, κατακόρως. ἐν Χαρμίδῃ· ἐπεὶ δὲ τῶν τοιούτων ἄδην ἔχομεν. καὶ Ἡρόδοτος· ὡς δὲ ἄδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον. ἐπινεμομένου τε ἄδην τοῦ πυρὸς τὰς ἀγχοῦ τειχῶν οἰκίας, ταραχῆς ἐπλήσθη ἡ πόλις. καὶ αὖθις· οἱ δὲ οἴνῳ ἄδην ἐχρῶντο ἑσπέριοι καὶ ἐς νύκτα τελευτῶντες. καὶ αὖθις· οἱ δὲ ἄδην καὶ ἀπείρως σπῶσι τοῦ οἴνου καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαστοι εἰκῆ. καὶ αὖθις· τοῦ δὲ οἴνου καὶ τῶν ἄλλων ἄδην ἐνεπίμπλαντο οἱ Κελτοὶ τήν τε φύσιν ὄντες ἀκρατεῖς καὶ χώραν ἔχοντες, ὅτι μὴ πρὸς Δημητριακοὺς καρποὺς, τῶν ἄλλων ἄγονον καὶ ἀφυᾶ. τά τε σώματα αὐτοῖς μεγάλα ὄντα καὶ τρυφηλὰ καὶ σαρκῶν ὑγρῶν μεστὰ, καὶ ὑπὸ τῆς ἀδηφαγίας καὶ μέθης ἐς ὄγκον καὶ βάρος ἐξεχεῖτο· ἐς δρόμους δὲ καὶ πόνους ἀδύνατα πάμπαν. καὶ ὑπὸ ἱδρῶτος καὶ ἄσθματος ὅπου τι δέοι ἐξελύοντο ταχέως. καὶ αὖθις· οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν Συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν.

α 464 Ἀδηνέως: ἁπλῶς καὶ ἀταλαιπώρως, κατὰ στέρησιν τῶν δηνέων καὶ μεριμνῶν.

α 465 Ἀδήωτον: ἀπόρθητον, ἀπραίδευτον. οἱ δὲ τὴν γῆν ἀδήωτον ἔχειν ἐθέλοντες ὡμολόγησαν ἀργυρίου σταθμὰ δισχίλια δώσειν.

α 466 Ἀδήριτος: ἀνίκητος, ἄμαχος, ἀκαταπόνητος. τὴν λείαν τῶν πολεμίων ἤλπισεν ἀδήριτον περιαιρεῖν. ἀντὶ τοῦ ἄμαχον. καὶ Ἀδηρίτως, ἀφιλονείκως.

α 467 Ἅιδης· Ἅιδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίραν ἥρπασας; ἦ καὶ σὴν Κύπρις ἔμηνε φρένα;

α 468 Ἀδήσεις: ἀρέσεις.

α 469 Ἀδηφαγία: ἡ ἀπληστία. καὶ Ἀδηφάγος, ἀθρόως ἐσθίων, πολυφάγος, γαστρίμαργος. Ἀδηφάγοι τριήρεις λέγοιντ’ ἂν αἱ ἐντελόμισθοι καὶ πολλὰ ἀναλίσκουσαι, ἐκ μεταφορᾶς τῶν τελείων καὶ ἀγωνιστῶν ἵππων. Ἀλκαῖος δὲ ἐν τῇ Κωμῳδοτραγῳδίᾳ τοὺς πότας λύχνους ἀδηφάγους εἶπεν.

α 470 Ἀδιαβηνή· αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας ὡς ἐπὶ ἀνατολὴν πέραν τοῦ Τίγρητος. ἐν αὐτῇ δέ ἐστι καὶ ἄσφαλτος ἡ λεγομένη νάφθα. λέγεται δὲ Ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείους ποταμοὺς ἐν αὐτῇ καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. ἐκεῖ ἐστι καὶ ἡ Νινευί. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δέ ἐστι καὶ τὸ Ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῷον, πᾶν δὲ πτηνὸν ἀποφθείρειν καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσαιτο. καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη ὁ χῶρος, ἀλλὰ κατ’ εὐθεῖαν ἄνεισι καὶ ὀλίγον ἀνερχόμενον πάλιν ἀντανακλᾶται. καὶ ἐκ τούτου τά τε ἐν ὑψηλοτέρῳ πετόμενα σῴζεται, καὶ τὰ πέριξ νεμόμενα. καὶ Ἀδιαβηνός.

α 471 Ἀδιάδραστον: ἄφυκτον. καταπλαγείη δ’ ἄν τις τὸ ἀδιάδραστον τῆς δίκης ἐκ τῆς συμβάσης τούτῳ τιμωρίας.

α 472 Ἀδιάκριτος: ἀδιαχώριστος. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα ἢ ἀφρόνως φλυαρούντων.

α 473 Ἀδιάλειπτον.

α 474 Ἀδιαλώβητον: ἀβλαβές.

α 475 Ἀδιάρθρωτον: ἄσημον, ἀτράνωτον.

α 476 Ἀδιάσκευον: ἀκόσμητον, ἀνεπιμέλητον. ὁ δὲ λαβὼν ἵππον ἀδιάσκευον καὶ καθοπλισμὸν ἀνεπίφαντον, βάδην προσήλαυνεν πρὸς τοὺς πολεμίους.

α 477 Ἀδιάστατον: τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον. Ἀντιφῶν εἶπεν.

α 478 Ἀδιαφορία: ἀμέλεια χωρὶς παρατηρήσεως. τὸ δὲ ἀδιάφορον διχῶς λέγεται· ἅπαξ μὲν τὸ μήτε πρὸς εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦν, ὡς ἔχει πλοῦτος, δόξα, ὑγεία, ἰσχὺς καὶ τὰ ὅμοια· ἐνδέχεται γὰρ καὶ χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρήσεως εὐδαιμονικῆς οὔσης ἢ κακοδαιμονικῆς. ἄλλως δὲ λέγεται ἀδιάφορον τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικὸν, ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς, ἢ ἐκτεῖναι τὸν δάκτυλον ἢ συστεῖλαι, τῶν προτέρων ἀδιαφόρων καὶ οὐκέθ’ οὕτως λεγομένων· ὁρμῆς γάρ ἐστιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά. διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, τῶν δὲ ἑτέρων ἐπ’ ἴσης ἐχόντων πρὸς αἵρεσιν καὶ φυγήν. τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγούμενα, τὰ δὲ ἀποπροηγούμενα. προηγούμενα μὲν τὰ ἔχοντα ἀξίαν, ἀποπροηγούμενα δὲ τὰ ἔχοντα ἀναξίαν. ἀξίαν δὲ τὴν μέν τινα σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συλλαμβανομένην πρὸς τὸν κατὰ φύσιν βίον ὅμοιον εἰπεῖν, ἥντινα εἰσφέρεται εἰς τὸν κατὰ φύσιν βίον πλοῦτος, ὑγεία· τὴν δὲ εὐεξίαν ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ, ὅμοιον εἰπεῖν ἀμείβεσθαι πυροὺς πρὸς τὰς σὺν ἡμιόνῳ κριθάς. προηγούμενα μὲν οὖν εἶναι, ἃ καὶ ἀξίαν ἔχειν· οἷον ἐπὶ μὲν τῶν ψυχικῶν εὐφυΐαν, τέχνην, προκοπὴν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν ζωὴν, ὑγείαν, ῥώμην, εὐεξίαν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρτιότητα, κάλλος· ἐπὶ δὲ τῶν ἐκτὸς πλοῦτον, δόξαν, εὐγένειαν καὶ τὰ ὅμοια. ἀποπροηγούμενα δὲ ἐπὶ μὲν τῶν ψυχικῶν ἀφυΐαν, ἀτεχνίαν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν, πήρωσιν, αἶσχος καὶ τὰ ὅμοια ἐπὶ δὲ τῶν ἐκτὸς πενίαν, ἀδοξίαν, δυσμένειαν καὶ τὰ παραπλήσια· οὔτε δὲ προήχθη οὔτε ἀποπροήχθη τὰ μηδετέρως ἔχοντα. ἔτι τῶν προηγουμένων τὰ μὲν δι' αὑτὰ προῆκται, τὰ δὲ δι' ἕτερα, τὰ δὲ καὶ δι' αὑτὰ καὶ δι' ἕτερα. δι' αὑτὰ μὲν εὐφυΐα, προκοπὴ καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ πλοῦτος, εὐγένεια καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ καὶ δι' αὑτὰ ἰσχὺς, εὐαισθησία, ἀρτιότης. δι' αὑτὰ μὲν, ὅτι κατὰ φύσιν ἐστί· δι' ἕτερα δὲ, ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. ὁμοίως δὲ ἔχει καὶ τὸ προηγούμενον κατὰ τὸν ἐναντίον λόγον.

α 479 Ἀδιαίτητος: ἀλλότριος, ἀήθης.

α 480 Ἀδιεξίτητον: ἀδιεξέλευστον.

α 481 Ἀδιή: λύπη.

α 482 Ἀδιήγητον: τὸ μὴ δυνάμενον δι' ὑπερβολὴν κακοῦ διηγηθῆναι. ὥστ' ἀδιήγητον κακὸν γενέσθαι.

α 483 Ἀδικεῖν. αἰτιατικῇ. τὸ βλάπτειν ἑκόντα. τὸ δὲ μὴ ἀδικεῖσθαι θεὸν, ἔνδοξον καὶ ἐναργές· ὑπ' οὐδενὸς γὰρ θεὸς ἀδικηθήσεται.

α 484 Ἀδικία: παρὰ τῷ ἀποστόλῳ ἡ τῶν εἰδώλων ἀπάτη. ἐκεῖνοι οὖν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν, ὅσοι τὸ σέβας τοῦ θεοῦ παραπέμπουσιν εἰδώλοις. τὸ δὲ κατεχόντων, ἀντὶ τοῦ φυλαττόντων.

α 485 Ἀδικία· Πλάτων φησὶ τὴν ἀδικίαν νόσον ψυχῆς εἶναι. μηδεμία δὲ νόσος ψυχῆς ὠφέλιμός ἐστι. καὶ οὕτως πᾶσα κακία βλαβερά ἐστι τῷ ἔχοντι αὐτήν· ἡ δὲ ἀδικία κακία· οὐκοῦν βλαβερόν. ἡ γὰρ ἀδικία καὶ τὴν φύσιν αὐτὴν ἀδικεῖ, παρ' ὅσον αὕτη σφετερίζεται. ἔστι δὲ καὶ φθαρτική, τοῦτο μὲν τῆς ἐν πόλει κοινωνίας, τοῦτο δὲ πάσης συναλλαγῆς· ἐναντία δὲ καὶ παρὰ φύσιν τοῖς ἀνθρώποις· οἱ γὰρ ἄνθρωποι φύσει κοινωνικοί.

α 486 Ἀδικίου: οἷον ἀδικήματος. ἔστι δὲ ὄνομα δίκης. ἀποτίννυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἐνάτης πρυτανείας ἀποδοθῇ· εἰ δὲ μὴ, διπλοῦν καταβάλλεται.

α 487 Ἀδικοδοξία: παράλογος λοιδορία. ὁ δὲ στρατηγὸς οὐ δυνάμενος ἐνεγκεῖν τὴν ἀδικοδοξίαν τῶν ταῦτα λεγόντων.

α 488 Ἀδινά: ἀντὶ τοῦ ἀθρόοι, πάντες. ἢ Ἀδινῶς, οἰκτρῶς. καὶ Ἀδινὸν, τὸ ἀθρόον ἢ γοερόν.

α 489 Ἄδιον: τὸ πλάγιον.

α 490 Ἀδιόριστον: τὸ ἀδιαχώριστον.

α 491 Ἀδμήτης: ὁ ἀδάμαστος. Ἀδμῆτις δὲ γυνὴ, διὰ τοῦ ἰῶτα.

α 492 Ἄδμητος: ὄνομα κύριον.

α 493 Ἀδμήτου μέλος καὶ Ἁρμοδίου: ἐπὶ τῶν ῥᾳδίων καὶ εὐκόλων· τοιαῦτα γὰρ καὶ τὰ σκολιὰ λεγόμενα.

α 494 Ἀδμισουνάλιος: ὁ τῶν Σιλεντιαρίων πρῶτος.

α 495 Ἀδμωλία: ἡ ἄγνοια παρὰ Καλλιμάχῳ. καὶ Ἀδμωλεί, χωρὶς δόλου. καὶ Ἀδμωλῶ, τὸ ἀκηδιῶ.

α 496 Ἄδμωνι τῷ Μιτυληναίῳ.

α 497 Ἀδνούμιον: ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ Ἀννουμῖνος, τὸ ἀδνούμιον.

α 498 Ἀδόκητον: διεψευσμένον. δεδιὼς μὴ ἀφυλάκτοις αὐτοῖς ἐπιπέσοιεν· ὃ δὴ οὐκ ἀδόκητον ἐγεγόνει, ἐπεὶ καὶ λῃστήριον αὐτῶν προέβαινε. καὶ Ἀδόκητος, ἀπροσδόκητος.

α 499

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀδοκίμαστος: δοκιμασθῆναι λέγεται τὸ εἰς ἄνδρας ἐγγραφῆναι· ἀδοκίμαστος δὲ ὁ μήπω ἐγγεγραμμένος. Λυσίας οὕτως.

α 500 Ἀδόκιμος: ἀδοκίμαστος.

α 501 Ἀδολεσχία: ἀκαιρία, φλυαρία, συνέχεια. Ἀττικοὶ ἐκτείνουσι τὸ α. Ἀδολεσχία δὲ παρὰ τῇ Γραφῇ, ἡ συνεχὴς μελέτη. καὶ γενικῇ. Ἀδολεσχήσω, ἀντὶ τοῦ διηνεκῶς μελετήσω.

α 502 Ἀδόλως: ἁπλῶς, ἀληθῶς. τὸ δὲ ψεῦδος περιπεπλεγμένον καὶ δόλου μεστόν.

α 503 Ἀδόνητον: ἀσάλευτον.

α 504 Ἀδοξεῖται: οὐ τιμᾶται, οὐκ ἀπόδεκτόν ἐστι. τὸ νικᾶν παρὰ Ῥωμαίοις ἄνευ παραγγέλματος· ἀδοξεῖται γάρ.

α 505 Ἀδοξότατα: τὰ παράδοξα, τὰ ἀδύνατα παρὰ Ἀριστοτέλει· ἔστι δὲ παράδοξα τὰ τοῖς ἐνδόξοις ἐναντία, ἃ οὐ πάντως ἤδη καὶ ἀδύνατά ἐστιν.

α 506 Ἀδορατία: ἡ ἀστρατεία. κυρίως δὲ ἡ ἀργία.

α 507 Ἀδωρότατος: ὁ μὴ δωρολήπτης ὤν.

α 508 Ἀδορεί: ἀνεκδαρτί.

α 509 Ἄδορος: κώρυκος. καὶ Ἄδορον, τὸ ἀνέκδαρτον. καὶ Ἀδόροις, ἀνεκδάρτοις.

α 510 Ἅιδου κυνῆν· ζήτει ἐν τῷ κυνῆ.

α 511 Ἀδδώ: ὄνομα κύριον. Ἄιδω δὲ ῥῆμα, δοτικῇ.

α 512 Ἀδωναΐ: Ἑβραϊστί.

α 513 Ἀδωναῖος: ὑπὸ τὸν ᾅδην.

α 514 Ἀδώνειοι καρποί: λέγονται οἱ μετέωροι κῆποι.

α 515 Ἀδωνία: συνεσταλμένως. Ἀδωνίαν ἄγομεν καὶ τὸν Ἄδωνιν κλάομεν. Φερεκράτης. καλοῦσι δὲ καὶ τὸ εἴδωλον τοῦ Ἀδώνιδος οὕτως Ἀδώνιον. καὶ Ἀδωνίδειος καρπὸς, τοῦ Ἀδώνιδος.

α 516 Ἄδωνις, Ἀδώνιδος: ὄνομα κύριον. καὶ πένθος ἦν ἱερόν, οἷον ἐν Λιβάνῳ τὸ ἐπ’ Ἀδώνιδι καὶ Βύβλῳ.

α 517 Ἀδώνιδος κῆποι: ἐκ θριδάκων καὶ μαράθρων, ἅπερ κατέσπειρον ἐν ὀστράκοις. χρῶνται δ’ ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων τῇ παροιμίᾳ. Ἀδώνιδος κῆποι: ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων.

α 518 Ἄδων τὴν σπιθαμὴν τοῦ βίου πρὸς ἄνηθον: ἐπὶ τῶν γλίσχρων καὶ μικροψύχων.

α 519 Ἄδωρα: κακόδωρα, τὰ ἐπὶ κακῷ διδόμενα. Σοφοκλῆς· ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα. ὁ δὲ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο ἔχειν, τῶν δὲ φίλων καὶ τὰ ἐλάχιστα. καὶ Αἰλιανός· λαβόντες ἑκάτερος τῆς κόρης τὴν ἄδωρον μοῖραν τῷ ἑαυτῶν λάχει, τραγικὸς ἂν εἶπε ποιητὴς, ἑαυτοὺς κατέσφαξαν.

α 520 Ἀδωρεός: πόλις.

α 521 Ἀδραμύτειον· οὕτως Εὔπολις. καὶ Ἀδραμυτηνὸς δέ· καὶ Θουκυδίδης Ἀτραμύττειον.

α 522 Ἀδρανές: ἀσθενές. καὶ Ἀδρανία, ἡ ἀδυναμία, ἀσθένεια. ἐν Ἐπιγράμμασι· ἄνθετο δειμαίνων γήραος ἀδρανίην. καὶ αὖθις· ἐπεὶ παρενήξατο τὸ πλεῦν ἥβης, ἐκ γήρως δ’ ἀδρανίῃ δέδεται. σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ. Ἀδρανεία δὲ δίφθογγον ἀπὸ τοῦ ἀδρανής ἀρσενικοῦ.

α 523 Ἀδράστεια Νέμεσις: ἣν οὐκ ἄν τις ἀποδράσειεν. Ἀδραστείας αὐτῷ Νέμεσις τιμωρὸς ὑπερόγκων καὶ ἀχαλίνων λόγων ἠκολούθησεν. Ἀδράστεια οὖν Νέμεσις, ἀπὸ Ἀδράστου. ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων· τῶν γὰρ ἀπογόνων Θηβαίοις ἐπιστρατευσάντων, μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 524 Ἀδράστεια: οἱ μὲν ταὐτὸν τῇ Νεμέσει λέγουσι, λαβεῖν δὲ τοὔνομα παρὰ Ἀδράστου τινὸς βασιλέως. ἢ ἀπὸ Ἀδράστου τοῦ παλαιοῦ, νεμεσηθέντος ἐφ' οἷς τῶν Θηβαίων κατηλαζονεύσατο, ἱδρυσαμένων ἱερὸν Νεμέσεως, ὃ μετὰ ταῦτα προσηγορεύθη Ἀδραστεία. Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν ἀπὸ Ἀδράστου τινὸς ἱδρυμένην. ὁ δὲ Ἀντίμαχος λέγει· ἔστι τις Νέμεσις μεγάλη θεὸς, ἣ τάδε πάντα πρὸς μακάρων ἔλαχε, βωμὸν δὲ οἱ εἴσατο πρῶτος Ἄδρηστος ποταμοῖο παρὰ ῥόον. ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτῇ τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος.

α 525 Ἀδραστίδης: ὄνομα κύριον.

α 526 Ἀδρηστίνη: ἡ τοῦ Ἀδράστου θυγάτηρ.

α 527 Ἀδριανός· βασιλεὺς Ῥωμαίων. ἦν δὲ τὸ γένος βουλευτοῦ πατρὸς ἐστρατηγηκότος Ἄφρου· οὕτω γὰρ ὠνομάζετο· φύσιν δὲ φιλολόγος ἐν ἑκατέρᾳ τῇ γλώσσῃ· καί τινα πεζὰ καὶ ἐν ἔπεσι ποιήματα παντοδαπὰ κατέλιπε. φιλοτιμίᾳ τε γὰρ ἀπλήστως ἐχρῆτο καὶ κατὰ τοῦτο καὶ τἄλλα πάντα καὶ τὰ βραχύτατα ἐπετήδευε· καὶ γὰρ ἔπλασσε καὶ ἔγραφε καὶ οὐδὲν ὅ τι οὐ καὶ εἰρηνικὸν καὶ πολεμικὸν καὶ βασιλικὸν καὶ ἰδιωτικὸν εἰδέναι ἔλεγε. καὶ τοῦτο μὲν οὐδέν που τοὺς ἀνθρώπους ἔβλαπτεν· ὁ δὲ δὴ φθόνος αὐτῷ δεινότατος ἐς πάντας τούς τινι προέχοντας ὢν πολλοὺς μὲν καθεῖλε, συχνοὺς δὲ ἀπώλεσε. βουλόμενος γὰρ πάντων ἐν πᾶσι περιεῖναι ἐμίσει τοὺς ἔν τινι ὑπεραίροντας. κἀκ τούτου καὶ τὸν Φαβωρῖνον Γαλάτην τόν τε Διονύσιον τὸν Μιλήσιον τοὺς σοφιστὰς καταλύειν ἐπεχείρει τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ τοὺς ἀνταγωνιστὰς σφῶν ἐξαίρειν, τοὺς μὲν μηδενὸς, τοὺς δὲ βραχυτάτου τινὸς ἀξίους ὄντας. οὗτος ἐν ἐπιστολῇ ἔγραψε τά τε ἄλλα μεγαλοφρονησάμενος, καὶ ἐπομόσας μήτε τι τῶν δημοσίῳ συμφερόντων ποιήσειν μήτε βουλευτήν τινα ἀποσφάξειν, καὶ ἐξώλειαν ἑαυτῷ, ἂν καὶ ὁτιοῦν αὐτῶν ἐκβῇ, προσεπαρασάμενος· ἀλλ' ὅμως διεβλήθη εἰς πολλά. οὗτος ἦν ἡδὺς μὲν ἐντυχεῖν καὶ ἐπήνθει τις αὐτῷ χάρις, τῇ τε Λατίνων καὶ Ἑλλήνων γλώττῃ ἄριστα χρώμενος· οὐ μὴν ἐπὶ πραότητι τρόπων ἄγαν ἐθαυμάζετο, περί τε τὴν τῶν δημοσίων χρημάτων ἐσπουδακὼς ἄθροισιν. οὗτος φύσει τοιοῦτος ἦν ὥστε μὴ μόνον τοῖς ζῶσιν ἀλλὰ καὶ τοῖς τετελευτηκόσι φθονεῖν· τὸν γοῦν Ὅμηρον καταλύων Ἀντίμαχον ἀντ' αὐτοῦ ἐσῆγεν, οὗ μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον ἠπίσταντο. ᾐτιῶντο μὲν δὴ ταῦτά τε αὐτοῦ καὶ τὸ πάνυ ἀκριβὲς τό τε περίεργον καὶ πολύπραγμον· ἐθεράπευε δὲ αὐτὰ καὶ ἀνελάμβανε τῇ τε ἄλλῃ ἐπιμελείᾳ καὶ προνοίᾳ καὶ μεγαλοπρεπείᾳ καὶ δεξιότητι, καὶ τῷ μήτε τινὰ πόλεμον ταράξαι καὶ τοὺς ὄντας παῦσαι, μήτε τινὰ χρήματα ἀδίκως ἀφελέσθαι, καὶ πολλοῖς πολλὰ καὶ δήμοις καὶ ἰδιώταις χαρίσασθαι. ἦν δὲ περιεργότατος καὶ μαντείαις καὶ μαγγανείαις παντοδαπαῖς ἐχρῆτο. παιδικά τε αὐτοῦ ἐγεγόνει Ἀντίνοός τις· ἔκτισε δὲ πόλιν καὶ συνῴκισεν ἀπ' αὐτοῦ τε ὠνόμασε. καί τινα ὁρῶντα Ἀντίνοον λέγειν. οὗτος ἐς Παννονίαν ἀφίκετο καὶ τὸν Ἴστρον μετὰ τῶν ὅπλων διενήξατο. καὶ τοῦτο οἱ παρόντες βάρβαροι ἐξεπλάγησαν.

α 528 Ἀδριανός, σοφιστὴς, μαθητὴς Ἡρώδου, ἀκμάσας δὲ ἐπὶ Μάρκου Ἀντωνίνου, ἀντισχολαστὴς Ἀριστείδου τοῦ ῥήτορος ἐν Ἀθήναις γενόμενος· ἐσοφίστευσε δὲ καὶ κατὰ τὴν Ῥώμην καὶ ἀντιγραφεὺς τῶν ἐπιστολῶν ὑπὸ Κομόδου ἐγένετο. Μελέτας, καὶ Μεταμορφώσεις ἐν βιβλίοις ζ', Περὶ ἰδεῶν λόγου ἐν βιβλίοις ε', Περὶ τῶν ἐν ταῖς στάσεσιν ἰδιωμάτων ἐν βιβλίοις τρισὶν, ἐπιστολὰς καὶ λόγους ἐπιδεικτικοὺς, Φάλαριν, Παραμυθητικὸν εἰς Κέλερα.

α 529 Ἀδριανοί: πόλις Μυσίας, τῆς νῦν Βιθυνίας.

α 530 Ἀδριάς: πέλαγος. καὶ ζήτει ἐν τῷ Ἀρέθουσα.

α 531 Ἀδρίας: πέλαγος· Ἀδριατικὸν πέλαγος.

α 532 Ἀδρίας: Σικελικὸν πέλαγος, ὃ διαδύνων ὁ Ἀλφειὸς ἀπὸ Ἀρκαδίας τῇ Σικελικῇ πηγῇ Ἀρεθούσῃ μίγνυται εἰλικρινέστατος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 533 Ἁδρόν: πολύ. μέγα, δαψιλὲς, πλούσιον. καὶ Ἁδρότης, ἡ ὑψηλότης. ἁδροῖς μισθοῖς προαγαγὼν εἰς τὸ τόλμημα, τοῦτον ἀναιρεῖ. καὶ Αἰλιανός· τινὰς παραλαβὼν ἁδροῦ μισθοῦ ἐς Βυζάντιον ἐλθεῖν πείθει. καὶ αὖθις· ἑκάστου τὴν τέχνην ἐπιδεικνυμένου ἐπὶ μισθοῖς ἁδροῖς.

α 534 Ἅδρησις: ἡ ἁδρόασις, ἡ ἀπραξία.

α 535 Ἁδρύνοιτο: αὐξάνοιτο.

α 536 Ἁδύ: τὸ ἡδύ. Θεόκριτος· ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

α 537 Ἀδύνατα εἶναι: ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δ’ ἐπὶ ταύτης τῆς λέξεως. ἀδύνατον δέ ἐστιν, ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι· οἷον ἡ γῆ ἵπταται. ἀδύνατα ἔχοντος τοῦ στρατηγοῦ κύβον ἀναρρίψαι πολέμου τοσοῦτον.

α 538 Ἀδύνατα θηρᾷς: ἐπὶ τῶν ἐγχειρούντων μείζοσιν ἢ καθ’ ἑαυτούς.

α 539 Ἀδυναστί: ἀδυνάτως.

α 540 Ἀδύνατοι: οἱ πεπηρωμένοι τὸ σῶμα· ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς, οἱ μέν φασιν, ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Φιλόχορος δέ φησιν ἐννέα δραχμὰς κατὰ μῆνα.

α 541 Ἀδυσώπητον: ἀπροσωπόληπτον.

α 542 Ἄδυτον: σπήλαιον, ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ.

α 543 Ἀεκήλια: οὐχ ἥσυχα, οὐδ’ εἰρηναῖα, ἀλλὰ ταραχώδη. πρὸς τὴν συναλοιφὴν ἐκληπτέον κατὰ ἀπόφασιν τοῦ ἑκήλου· ἐφ’ οἷς οὐχ οἷόν τε ἡσυχάζειν, ἀλλὰ τοὐναντίον ταράσσεσθαι· ἢ ἀεκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. ἢ ἀεικέλια, οἷον ἀπεοικότα. Ὅμηρος· ἀεκήλια ἔργα.

α 544 Ἀέκητι: τῇ ἀβουλίᾳ.

α 545 Ἄελλα: ἀνέμων συστροφή.

α 546 Ἀελλάδες ἵπποι: αἱ ταχεῖαι. καὶ τοῦτο τραγικόν.

α 547 Ἀελλόπους: ταχεῖα τοὺς πόδας.

α 548 Ἀελπέων: οὐκ ἐλπίζων.

α 549 Ἀελπτέοντες: ἀνελπιστοῦντες. Ἡρόδοτος· ἀελπτέοντες τοὺς Ἕλληνας ὑπερβαλέσθαι.

α 550 Ἄελπτον· Σοφοκλῆς· οὐκ ἔστ’ ἄελπτον οὐδὲν, ἀλλ’ ἁλίσκεται χὠ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες. Αἴας λέγει. Ἄελπτον δὲ ἀνέλπιστον. ἢ σκληρὸν, δυσχερές.

α 551 Ἄελπτα: ἀνέλπιστα, ἀπροσδόκητα. Ἀριστοφάνης· ἦ πόλλ’ ἄελπτ’ ἐστὶν ἐν τῷ μακρῷ βίῳ.

α 552 Ἀένναον: τὸ ἄπαυστον.

α 553 Ἀένναος: ὁ ἀεὶ νάων, ὅ ἐστι ῥέων. ὁ δὲ Ἰουστινιανὸς, ὥσπερ ποταμὸς ἀένναος, ἐς ἡμέραν ἑκάστην ἐδῄου τε καὶ ἐληΐζετο τοὺς ὑπηκόους.

α 554 Ἀέρα δαίρειν.

α 555 Ἀέξετο: ηὐξάνετο.

α 556 Ἀερέθονται: λίαν παροξύνονται.

α 557 Ἀεργηλή: ἀργὴ, ἄπρακτος. ἐν Ἐπιγράμμασι· τρομερῷ γήραϊ κάμνων χειρὸς ἀεργηλᾶς ἀνέθηκε κορύναν.

α 558 Ἀεργός: ὁ ἀργός.

α 559 Ἀέριον ὕδωρ: τὸ ἐν τῷ ἀέρι. καὶ Ἀέριος, ὁ ἐν τῷ ἀέρι.

α 560 Ἀέρκτον: ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν ὁρώμενον. Λυσίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 561 Ἀεροβατεῖν: εἰς τὸν ἀέρα περιπατεῖν. τῷ ἀέρι ἐπιβαίνειν. καὶ ὁ Σωκράτης ἔφη· ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ’ ἐς τὰ κάρδαμα.

α 562 Ἀερόεν: τὸ μέγα.

α 563 Ἀερονηχεῖς: τὰς ἐν τῷ ἀέρι νηχομένας νεφέλας. Ἀριστοφάνης.

α 564 Ἀερόπη: ὄνομα κύριον.

α 565 Ἀέροψ, Ἀέροπος κλίνεται.

α 566 Ἀερσίπους: ὁ εἰς ὕψος αἴρων τοὺς πόδας.

α 567 Ἄεσις: πόνος τις.

α 568 Ἀετασία: λύπη.

α 569 Ἀέτειον πτερὸν καὶ κρέας.

α 570 Ἀετιδεῖς: οἱ ἀετοῦ παῖδες. Αἰλιανός. καὶ πελαργιδεῖς, πελαργῶν παῖδες.

α 571 Ἀέτιος· ἐξ Ἀντιοχείας τῆς Συρίας, διδάσκαλος Εὐνομίου, ἀπὸ πενιχρῶν καὶ εὐτελῶν γονέων τυγχάνων. ὁ δὲ πατὴρ αὐτῷ τῶν ἐν στρατιᾷ δυσπραγέστερον ἐνηνεγμένων γενόμενος, ἐτεθνήκει κομιδῇ παῖδα τοῦτον ἀφείς. αὐτὸς δὲ εἰς ἔσχατον ἀπορίας ἥκων, ἐπὶ χρυσοχοΐαν ἐχώρησεν ἀκρότατός τε ἐγένετο. ἐπεὶ δὲ ἡ φύσις αὐτῷ μειζόνων ὠρέγετο μαθημάτων, πρὸς λογικὰς θεωρίας ἐτράπετο. καὶ δῆτα συγγίνεται Παυλίνῳ ἀρτίως ἀπὸ τῆς Τύρου εἰς Ἀντιόχειαν ἀφικομένῳ· ἔτι κατὰ τοὺς Κωνσταντίνου χρόνους τούτου ἠκροᾶτο, πολλὴν ἐπιεικῶς φαίνων τῆς ἀσεβείας τὴν ῥώμην εἰς τὰς πρὸς τοὺς διαφερομένους ζητήσεις· καὶ οὐχ ὑπόστατος ἤδη τοῖς πολλοῖς ἦν. ἐπεὶ δὲ Παυλῖνος ἐτεθνήκει, Εὐλαλίου τρίτου καὶ εἰκοστοῦ ἀπὸ τῶν ἀποστόλων ἔχοντος τὸν θρόνον, πολλοὶ τῶν ὑπὸ τοῦ Ἀετίου ἐλεγχομένων δεινὸν ποιησάμενοι πρὸς ἀνδρὸς δημιουργοῦ καὶ νέου κατὰ κράτος ἐλαύνεσθαι, συστάντες ἐξήλασαν αὐτὸν τῆς Ἀντιοχείας. ἐξελαθεὶς δὲ εἰς τὴν Ἀνάζαρβον ἀφικνεῖται. ὁ δὲ ἤδη τάχιστα δυνάμεως πάσης πιμπλάμενος μείζους ἀεὶ τῶν δεδομένων ἀφορμῶν εἰσέφερε τοὺς καρπούς. ὁ δὲ οὐδὲν ἐπαύετο τοὺς μὲν διελέγχων, φαύλως δὲ ἀμπισχόμενος καὶ ὡς ἔτυχε ζῶν. οὗτος αἱρεσιάρχης ἦν, ὃς καὶ ἄθεος ἐπεκλήθη ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου. τὰ αὐτὰ μὲν οὖν ἐφρόνει Ἀρείῳ καὶ τὴν αὐτὴν συνεκρότει δόξαν· πρὸς δὲ ἀρειανίζοντας διεκρίνετο. ἦν δὲ καὶ πρότερον αἱρετικὸς ἄνθρωπος Ἀέτιος καὶ τῷ Ἀρείου δόγματι διαπύρως συνηγορεῖν ἔσπευδεν· ἐν γὰρ τῇ Ἀλεξανδρείᾳ μικρὰ παιδευθεὶς ἀναζεύγνυσι. καὶ καταλαβὼν τὴν ἐν Συρίᾳ Ἀντιόχειαν, ἐντεῦθεν γὰρ ἦν, ὑπὸ Λεοντίου τοῦ τότε τῆς Ἀντιοχείας ἐπισκόπου χειροτονεῖται διάκονος. εὐθὺς οὖν συνεξεφώνει τοὺς ἐντυγχάνοντας ἐκ τῶν Ἀριστοτέλους κατηγοριῶν διαλεγόμενος, τοὺς ἐριστικοὺς κατωρθωκὼς λόγους. ἐπιστολάς τε συνεκάττυε πρὸς βασιλέα Κωνστάντιον. ἀλλ’ εἰ τὰ αὐτὰ τοῖς ἀρειανίζουσιν ἔλεγεν, ὅμως ὑπὸ τῶν οἰκείων οὐ δυναμένων συνιέναι τὸ περισκελὲς τῶν λογισμῶν ὡς αἱρετικὸς ὁ ὁμόφρων αὐτοῖς ἐνομίζετο. καὶ διὰ τοῦτο ἐκδιωχθεὶς τῆς αὐτῶν ἐκκλησίας ἔδοξεν αὐτὸς μὴ βούλεσθαι κοινωνεῖν αὐτοῖς. καὶ νῦν εἰσιν ἐξ ἐκείνου οἱ τότε μὲν Ἀετιανοὶ νῦν δὲ Εὐνομιανοὶ λεγόμενοι. Εὐνόμιος γὰρ ταχυγράφος ὢν ἐκείνου καὶ ὑπ’ αὐτῷ παιδευθεὶς τὴν αἱρετικὴν λέξιν τοῦ στίφους τούτου προέστη.

α 572 Ἀετίτης καὶ ἀχάτης καὶ λυχνίτης: εἶδος λίθου.

α 573 Ἀετὸν ἵπτασθαι διδάσκεις: ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

α 574 Ἀετὸν κάνθαρος μαιεύσομαι: ἐπὶ τῶν τιμωρουμένων τοὺς μείζονας προκατάρξαντας κακοῦ. λέγεται γὰρ τὰ ὠὰ τοῦ ἀετοῦ ἀφανίζειν ὁ κάνθαρος.

α 575 Ἀετὸς ἐν νεφέλαις: ἐπὶ τῶν δυσαλώτων· παρόσον ἀετὸς ἐν νεφέλαις ὢν οὐχ ἁλίσκεται.

α 576

Ἀετὸς τῶν οἰκοδομημάτων: τὸ κατὰ τὸν ὄροφον, ὅ τινες ἀέτωμα καλοῦσιν.

α 577 Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γηράσκων ὁ ἀετὸς ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

α 578 Ἀετώματα· τὰ τῶν ἱερῶν στεγάσματα πτέρυγας καὶ ἀετοὺς καλοῦσιν. Ἀριστοφάνης· τὰς οἰκίας ἐρέψομεν πρὸς ἀετόν. ἀντὶ τοῦ στεγάσομεν.

α 579 Ἀζαλέας δρῦς: πρὸς τὸ σημαινόμενον. πότερον ὅτι φυλλορροεῖ κατ’ αὐτὴν τὴν ὥραν ξηραινόμενα τὰ δένδρα ἐκ ῥιζῶν ἀναβαλλόμενα ὑπὸ τῶν χειμάρρων, ἢ ὅτι δρυτόμοι εἰς τὰς ποταμίους ἐμβάλλουσι διώρυγας κόπτοντες, ἵνα συγκαταφέρηται τῷ ὄμβρῳ· ὅπερ ὑγιές.

α 580 Ἀζαλέη: ξηρά.

α 581 Ἀζαρίας: ὄνομα κύριον.

α 582 Ἀζαίνεσθαι: ξηραίνεσθαι.

α 583 Ἀζέμιλκος: ὄνομα κύριον.

α 584 Ἀζειάδης: παρ’ Ὁμήρῳ. ὄνομα κύριον. καὶ πατρωνυμικῶς Ἀζείδαο.

α 585 Ἀζείδης: ὄνομα κύριον.

α 586 Ἀζειῶται: Τρωϊκὸν ἔθνος.

α 587 Ἀζείρει: τὸ ζέει. Ἀζηρεῖ δὲ τὸ ξηραίνει.

α 588 Ἀζήϊος: ὄνομα κύριον.

α 589 Ἀζηλόεν: τὸ μέλαν.

α 590 Ἄζηλον: ὃ οὐκ ἄν τις ζηλώσει. ἄζηλον οὕτως ἔργον ἐργάσθαι με φῄς. καὶ Ἄζηλος βίος, ὁ εὐτελής. ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον, χωροῦσι πρὸς σέ.

α 591 Ἀζήμιθρον: ἀζήμιον.

α 592 Ἀζήμιος: ἀβλαβής. κυρίως δὲ ζημία ἡ τῆς ζωῆς μείωσις, ἢ τὸ ἐν ζωῇ μιαρόν. Ἀριστοφάνης Πλούτῳ· μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι ἀζήμιος; ἢ ὁ ἀληθὴς ἀζήμιος, ὁ μὴ ὑπέχων ζημίαν τοῦ πάθους.

α 593 Ἀζηνᾶς: ὄνομα κύριον. καὶ Ἀζηνεύς.

α 594 Ἀζηνιεύς· Ἀζηνία δῆμος ἐστὶ φυλῆς τῆς Ἱπποθοωντίδος, ἀφ’ ἧς ὁ φυλέτης Ἀζηνιεύς. καὶ Ἀζηνιεῖς καὶ Ἐρχιεῖς καὶ Ἁλιεῖς καὶ πάντα τὰ ὅμοια δασέως φασὶ φθέγγεσθαι τοὺς Ἀττικοὺς τοὺς παλαιοὺς Πολέμων ἐν τοῖς πρὸς Ἀδαῖον καὶ Ἀντίγονον.

α 595 Ἄζηρος: ὁ μὴ ξηρός.

α 596 Ἀζηρεῖ: τὸ ξηραίνει. Ἀζείρει δὲ τὸ ζέει.

α 597 Ἀζησία: ἡ κόρη, Ἀμαία δὲ ἡ Δημήτηρ. καὶ παροιμία· ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν. ἐπὶ τῶν πολυχρονίως ζητήσεσι χρωμένων.

α 598 Ἀζήτητον: τὸ ζήτησιν καὶ κατηγορίαν ἔχειν κεκωλυμένον. οὕτως Αἰσχίνης.

α 599 Ἀζητός: ὁ σεβαστός.

α 600 Ἀζηχές: ἀδιαλείπτως.

α 601 Ἀζμώθ: ὄνομα κύριον.

α 602 Ἀζούρωστις.

α 603 Ἄζωρος: ὄνομα κύριον. σημαίνει δὲ καὶ τὸν εὔκρατον οἶνον.

α 604 Ἄζυξ: ὁ μὴ συνεζευγμένος γάμῳ. καὶ ὁ κέλης ἵππος.

α 605 Ἄει: πνέει. Ἀεὶ δὲ ἀντὶ τοῦ ἕως καὶ ἀντὶ τοῦ μέχρι.

α 606

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀεί· εἰώθασι τὸ ἀεὶ καὶ ἐπ’ ὀλίγου χρόνου τάττειν, ὡς καὶ Ὅμηρος· ἔχων κότον ἐμμενὲς αἰεί. καὶ Σοφοκλῆς· ὡς λελοιπότα κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίστασο. τουτέστι τὸ μακρὸν γῆρας, τὴν ζωήν.

α 607 Ἀεί· τούτου ια′ φωναί. ἀεὶ δὲ χρὴ τὸν σοφὸν εἶναι ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις. οἷος ἦν Ἀπολλώνιος ὁ Τυανεύς. καὶ παροιμία· ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. ὁμοία ἀξίως τῇ Ἀεὶ ἓξ πίπτουσιν οἱ Διὸς κύβοι. ἐπὶ τῶν ἀξίως καὶ εἰς πάντα εὐδαιμονούντων. οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρουμένων.

α 608 Ἀεὶ γεωργὸς ἐς νέωτα πλούσιος: ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

α 609 Ἀειγλήνῃσιν.

α 610 Ἀειγυβένς: τουτέστιν ἀκούσατε Ῥωμαϊστί. τὸ ἀεί σημαίνει ἀκούσατε, τὸ δὲ βὲνς πάντες.

α 611 Ἀειδάμνα: ὄνομα κύριον.

α 612 Ἄειδε: ᾆδε, λέγε.

α 613 Ἀείδελον: ἀόρατον. καὶ Ἀειδὲς, λυπηρόν. καὶ Ἀειδέστερον, ἄμορφον. τὸν χαλκὸν ἄμορφον παραλαβόντες καὶ ἀειδέστερον εἰς μορφὴν ἐντείνουσι καὶ κατασχηματίζουσι.

α 614 Ἀειδὴς ψυχή. καὶ Ἀειδία, ἡ ἀμορφία.

α 615 Ἀειδής: ὁ ἀφανής.

α 616 Ἀειδίνητος: ὁ πάντοτε στρεφόμενος.

α 617 Ἀειδώνιος: ὄνομα κύριον.

α 618 Ἀεὶ ἔστω: Ἀντιφῶν τὴν ἀϊδιότητα καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι. ὥσπερ καὶ εὐεστὼ ἡ εὐδαιμονία καλεῖται. ἡ λέξις Διογενιανὸς ἐν Ἀληθείᾳ δευτέρῳ.

α 619 Ἀειθαλής: ἀεὶ θάλλων.

α 620 Ἀεικέλιος: ὁ εὐκαταφρόνητος.

α 621 Ἄεικες: τὸ ἀνόμοιον· Ἀεικὲς δὲ τὸ ἀπρεπές. ἐν Ἐπιγράμμασι· οὔ τοι ἀεικές. καὶ αὖθις· εἰς ἄτας ἐμπίπτεις οὕτως ἀεικῶς.

α 622 Ἀεικέστερος: ἀπρεπέστερος.

α 623 Ἀείκεια: ἡ ἀπρέπεια.

α 624 Ἀεικήλιον: τὸ ἀπρεπές.

α 625 Ἀεικίας: τὰς ὕβρεις. σημαίνει καὶ ὄνομα κύριον.

α 626 Ἀεικίσσουσιν: ὑβρίσουσιν.

α 627 Ἀεικῶς: ἀπρεπῶς, ἀσυνήθως. οὕτως ἀεικῶς οἰκτρῶς τε θανόντος. οἰκτρῶς μὲν διὰ τὸ βίᾳ καὶ ἐπιβουλευθέντα, ἀεικῶς δὲ διότι πελέκει αὐτὸν μεθ’ ὕβρεως ἐτίσαντο.

α 628 Ἀειλογεῖς: ἀεὶ λαλεῖς. καὶ Ἀειλογία, πολυλογία ἢ ταυτολογία ἢ τὸ διὰ παντὸς ἐξεῖναι λέγειν. Ἀειλογία: τὸ ἀεὶ λόγον καὶ εὐθύνας ὑπέχειν. οὕτως Δημοσθένης καὶ Ἰσαῖος.

α 629 Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν: ἐπὶ τῶν ἀνάνδρων καὶ μηδενὸς λόγου ἀξίων.

α 630 Ἀείμνηστος.

α 631 Ἀεινόν: τὸ ἀένναον.

α 632 Ἀεὶ παρθένους: τὰς Ἐριννῦς. μυθικὸν δέ ἐστι τοῦτο. ὑπονοεῖν δὲ χρὴ τὰς ἀδωροδοκήτους καὶ οὐχὶ χρανθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων. Σοφοκλῆς· καλῶ δ’ ἀρωγοὺς τὰς ἀεί τε παρθένους σεμνὰς Ἐριννῦς τανύποδας.

α 633

Ἀείπλανα: πεπλανημένα, φλύαρα, πλήρη φλυαρίας. ἀείπλανα χείλεα γρηός.

α 634 Ἀείρακος: ἡ ἔλαφος παρὰ Κρήταις.

α 635 Ἄειρε: πρόσφερε. Ὅμηρος· μή μοι οἶνον ἄειρε μελίφρονα.

α 636 Ἄειρεν: ἔβαλε. καὶ ἴπνια λύματ’ ἄειρεν.

α 637 Ἄειρος: ὁ ἄπειρος.

α 638 Ἀείρω: τὸ ἐπαίρω καὶ κουφίζω.

α 639 Ἀείρων: ἀθώπευτος.

α 640 Ἀείρρυτος: ὁ ἀεὶ ῥέων.

α 641 Ἀείτης: ὁ ἑταῖρος.

α 642 Ἀεί τις ἐν Κύδωνος: ἐπὶ τῶν φιλοξένων καὶ πρὸς ὑποδοχὴν ἑτοίμων· παρόσον Κύδων Κορίνθιος φιλοξενότατος ἐγένετο.

α 643 Ἀεὶ τοῖς ἐρῶσιν σύνεσμεν· Ἀριστοφάνης περὶ ὀρνίθων. διὰ τὸ τοὺς ἐραστὰς ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. καὶ ἡ σίττη δὲ καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς τοὺς ἔρωτας φαίνεται. ἐγὼ μὲν, ὦ Λευκίππη, δεξιὰ σίττη. ἡ νῦν οἶμαι λεγομένη σιτάρις.

α 644 Ἀείϋπνος: ὁ ἀεὶ κοιμώμενος.

α 645 Ἀείφρουρος.

α 646 Ἀειφυγία: ἡ εἰς ἀεὶ φυγή. χωρήσειν δ’ αὐτοῖς ἅπαντα κατὰ νοῦν, εἰ τὸν αὐτόχειρα ἐλάσουσι τοῦ στρατοῦ ἀειφυγίᾳ. τουτέστιν ἐξορία.

α 647 Ἀηδής: ὁ ἀνεύφραντος, ὁ δυσειδής. καὶ Ἀηδὲς, τὸ ἀνέραστον.

α 648 Ἀηδία: ἡ ἀνορεξία. Ἀειδία δὲ ἡ ἀμορφία.

α 649 Ἀηδίζομαι: οὐκ εὐφραίνομαι.

α 650 Ἀηδόνειος ᾠδή καὶ Ἀηδόνειον μέλος.

α 651 Ἀηδών. καὶ ἀηδοῦς· ὡς Σαπφὼ κατὰ Μιτυληναίους. Σοφοκλῆς· οὐδ’ οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς ᾄσει δύσμορος· ἀλλ’ ὀξυτόνους ᾠδὰς θρηνήσει, χερόπληκτοι δὲ στέρνοις πεσοῦνται δοῦποι. καὶ αὖθις· Οὐδ’ ὅσον ἀηδόνες ὑπνώουσιν. ἐπὶ τῶν ἀγρυπνούντων. καὶ αὖθις· ἀλλ’ ἐμέ γ’ ἁ στονόεσς’ ἄραρε φρένας ἃ Ἴτυν αἰὲν ὀλοφύρεται ὄρνις ἀτυζομένα Διὸς ἄγγελος. Ἀττικῶς ἄραρέ με. αὕτη ἴση μοι ταῖς φρεσίν, ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. οἷον ἥρμοσταί μου ταῖς φρεσί, τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀξίως τὸν Ἴτυν στενάζουσαν. Διὸς δὲ ἄγγελος ἡ ἀηδὼν, ὅτι τὸ ἔαρ σημαίνει ἢ ὅτι τὴν ἡμέραν. καὶ Ὅμηρος· χλωρηῒς ἀηδών. ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ καὶ τὴν θρυλουμένην ἀγγελίαν καὶ τὸ πάθος. ἢ ἄγγελος οἷον τέρας τὸ παρ’ αὐτοῦ γινόμενον εἰς τερατείαν τῆς φύσεως. καὶ Σαπφώ· ἦρος ἄγγελος ἡμερόφωνος ἀηδών. Ἀηδὼν δὲ ἀηδόνος, συστέλλει.

α 652 Ἀηδῶς: ἀνωφελῶς.

α 653 Ἀήθεσσον: ἀήθεις ἦσαν. καὶ Ἀηθέσσουσιν, ἀσυνήθεις εἰσίν. Ἀηθέσσω ὁ ἐνεστὼς, ἀηδίζομαι, ἀΐω, ἄω, οὐ τρέπουσι τὸ α εἰς η κατὰ τὸν παρατατικόν. καὶ τὸ μὲν ἀήθεσσον καὶ ἀηδιζόμην, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ η. τὸ δὲ ἄω, τὸ πνέω, καὶ ἀΐω, τὸ ἀκούω, ἵνα μὴ συνεμπέσωσιν ἑτέρῳ σημαινομένῳ. τὸ γὰρ ἀΐω συνέπεται τῷ ἤϊε, τῷ ἐπορεύετο· τὸ δὲ ἄω, τῷ ἦε, τῷ ὑπῆρχεν.

α 654 Ἄηκες: τὸ ἠκονημένον ξίφος.

α 655 Ἄημα: ἡ πνοὴ τοῦ ἀνέμου. δεινόν τ’ ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον· ὁ δὲ παγκρατὴς ὕπνος λύει πεδήσας, οὐδ’ ἀεὶ λαχὼν ἔχει. ἡμεῖς δὲ πῶς οὐ γνωσόμεθα σωφρονεῖν; ἐγὼ δ’ ἐπίσταμαι γὰρ ἀρτίως, ὅτι ὅτ’ ἐχθρὸς ἥμην ἐς τοσόνδ’ ἐχθραντέος ὡς καὶ φιλήσων αὖθις,

ἔς τε τὸν φίλον τοσαῦθ’ ὑπουργῶν ὠφελεῖν βουλήσομαι, ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ βροτῶν ἄπιστός ἐσθ’ ἑταιρείας λιμήν.

α 656 Ἄημαι· ἐν Ἐπιγράμμασιν· ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνωρος ἄημαι νηῷ ὑπορροφίας Παλλάδος. ἀντὶ τοῦ ἀνάκειμαι.

α 657 Ἀήμεναι: πνεῦσαι.

α 658 Ἀηνές: τὸ ἀΐδιον, τὸ λαμπρόν.

α 659 Ἀηνόβαρβος: ὁ χαλκοπώγων.

α 660 Ἀήπιον: τὸ μὴ πρᾶον.

α 661 Ἀέσσατος: ἀήττητος. ἔμμι δ’ ἀήσσατος πάμπαν ἀφ’ οὗ γενόμαν.

α 662 Ἀήσυλον: τὸ ἄδικον.

α 663 Ἀήσυρον: τὸ λεπτὸν, τὸ μετέωρον καὶ κοῦφον, τὸ ἐλαφρόν, παρὰ τὸ ἀέρι σύρεσθαι. ἐπὶ ὀρνέων. ἀήσυρον γόνυ κάμψοι.

α 664 Ἀήτης: ὁ ἄνεμος. καὶ ὥσπερ ἡγήσω, ἡγητής· ποιήσω, ποιητής· οὕτως ἔδει ἄω, ἀήσω, ἀητής. ἀλλ’ ἡμάρτηται. Καρπαθίην ὅτε νυκτὸς ἅλα στρέψαντος ἀήτου.

α 665 Ἀήττητος: ὁ ἀκαταπόνητος.

α 666 Ἄητον: τὸ καταπνεόμενον.

α 667 Ἄητος: ὁ ἀκόρεστος.

α 668 Ἀϊδάας: ὁ δεσπότης.

α 669 Ἀΐδας: ὁ τάφος.

α 670 Ἀϊδές: τὸ ἀκατάληπτον.

α 671 Ἀΐδηλον πῦρ: τὸ ἀφανιστικόν. καὶ Ἀϊδήλως, ἀφανιστικῶς.

α 672 Ἀΐδης: ὁ Ἅιδης, κατὰ διάλυσιν. καὶ Ἀϊδωνεῖ, καὶ Ἀϊδωνῆϊ, τῷ Ἅιδῃ.

α 673 Ἀΐδιος: ὁ αἰώνιος.

α 674 Ἀϊδνής: ὁ μὴ βλεπόμενος.

α 675 Ἄϊδος κυνῆ: παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαύτη γὰρ ἡ τοῦ Ἅιδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν.

α 676 Ἄϊδος κυνῆ· Ἀριστοφάνης· λάβε δ’ ἐμοῦ γ’ ἕνεκα παρ’ Ἱερωνύμου σκοτοδασυπυκνότριχα τὴν Ἄϊδος κυνῆν. ἐπὶ τῶν ἀφανῶν εἴρηται ἡ παροιμία. νῦν δὲ ἐπὶ τῶν ἄγαν κομώντων. οὗτος γὰρ ὁ Ἱερώνυμος μελῶν ἦν ποιητὴς καὶ τραγῳδὸς ἀνώμαλος καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις καὶ φοβεροῖς προσωπείοις χρῆσθαι· ἐδόκει κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν· διόπερ Ἄϊδος κυνῆν ἔφη αὐτὸν κωμῳδικῶς, ὡς κουρειῶντα.

α 677 Ἀϊδρείη: ἡ ἀπειρία.

α 678 Ἄϊδρις: ἀμαθὴς, ἄπειρος. ἐγὼ δ’ ὁ πάντα κωφὸς, ὁ πάντ’ ἄϊδρις, κατημέλησα. ἀντὶ τοῦ ὁ ἀναίσθητος. ἴδρις γὰρ ὁ ἔμπειρος. ὁ Θεολόγος· γέρων μέν εἰμι καὶ πολλῶν κακῶν ἴδρις.

α 679 Ἀϊδρόν: τὸ διαφανές.

α 680 Ἀΐδυλος: ὁ θρασύς.

α 681 Ἄϊεν: ἐξέπνεεν.

α 682 Ἀΐειν: ἀκούειν, αἰσθάνεσθαι.

α 683 Ἄϊθες: ἐθνικόν.

α 684 Ἄϊκες: αἱ ὁρμαί.

α 685 Ἄϊνες: ἐθνικόν.

α 686 Ἀΐω: ἀκούω.

α 687 Ἀΐξας: ὁρμήσας. ἀΐξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς νόσφισεν ὠδίνων τετραέλικτος ὄφις.

α 688 Ἄϊρος: ὄνομα κύριον.

α 689 Ἄϊς: ὁ μὴ βλεπόμενος.

α 690 Ἀΐσθων: ἐκπνέων.

α 691 Ἀΐσσουσιν: ὁρμῶσι, φοιτῶσι. Πολύβιος· ἐν γὰρ τῇ Ῥώμῃ Μάρκον Πόρκιον ἀκούσαντα τὰς ἀριστείας Σκιπίωνος εἰπεῖν πάλιν ἄλλον πρὸς ἐκεῖνον· τί ἀκήκοας; εἰπεῖν οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.

α 692 Ἀϊστί: ἀφανῶς.

α 693 Ἄϊστος: ἀνιστόρητος, ἀφανής.

α 694 Ἀϊστωθείη: ἀφανισθείη.

α 695 Ἀΐστωρ: ἄπειρος, ἀμαθής.

α 696 Ἀϊστῶσαι: ἀφανίσαι.

α 697 Ἀΐτης: ὁ ὁρμητικός.

α 698 Ἀϊτία: ἡ χορδή.

α 699 Ἄϊτος: ὄνομα κύριον.

α 700 Ἀϊχθήτην: ὡρμήθησαν.

α 701 Ἀθαμαντίδης: πατρωνυμικόν.

α 702 Ἀθάμας: ὄνομα κύριον. εἰσάγεται ὁ Ἀθάμας ἐστεφανωμένος ὥσπερ ἱερεῖον σφαγιασθησόμενος διὰ Φρίξον, καὶ ῥύεται αὐτὸν Ἡρακλῆς εἰπὼν ζῆν τὸν Φρίξον. παραδείγματι οὖν χρώμενος ὁ Ἀριστοφάνης δεδιέναι φησὶ τῷ Ἀθάμαντι παραπλήσια μέλλοντι θύεσθαι.

α 703 Ἀθαμβής: ἄφοβος.

α 704 Ἀθανάριχος· ὃς ἐβασάνισε τὸν ἅγιον Νικήταν καὶ μέγαν μάρτυρα τοῦ Χριστοῦ πεποίηκεν.

α 705 Ἀθάνατος: τὸ ἀθάνατος ἐπὶ ἐμψύχων, τὸ δὲ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσιν. ὅτι ὁ Πλάτων ἀθάνατον εἶναι λέγων τὴν ψυχὴν ἀθανάτοις ὁμώνυμον εἶναι ἐπιφέρει. διότι τὸ μὲν κυρίως ἀθάνατον καὶ κατ’ οὐσίαν καὶ κατ’ ἐνέργειάν ἐστιν ἀμετάβλητον· τὴν δὲ ψυχὴν κατ’ οὐσίαν μὲν οἶδεν ἀθάνατον, οὐκέτι δὲ καὶ κατ’ ἐνέργειαν. οὕτως δ’ ἂν εἴποις καὶ τὰ οὐράνια ἀθανάτοις ὁμώνυμα· μεταβάλλει γὰρ καὶ αὐτά, εἰ καὶ μὴ κατ’ οὐσίαν ἀλλὰ κατὰ τόπον. ὅτι δὲ πάθος τῆς ζωῆς ἡ ἀθανασία καὶ σύμπτωμά τι· ἐπὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι, οὐ μεταλήψει ἄλλης ζωῆς τὸ θνητὸν ἀθάνατον γίγνεσθαι. ἐγράφη ἐν τῷ Πῖ στοιχείῳ περὶ πάθους. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου ἁμαρτάνει. οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ’ ἐν ἕξει καὶ διαθέσει.

α 706 Ἀθᾶνες: ὄνομα ἔθνους.

α 707 Ἀθάνατοι: μύριοι Περσῶν ἐπίλεκτοι. οὓς Ἀρδαβούριος ἐπὶ Θεοδοσίου βασιλέως διέφθειρε καὶ ἠφάνισεν. οὓς εἶχε Ξέρξης ὁ Δαρείου.

α 708 Ἀθάρα: ἄλευρον ἡψημένον. κλίνεται δὲ παρὰ μὲν Ἀττικοῖς διὰ τοῦ η ἀθάρης, ἡ δὲ κοινὴ διὰ τοῦ α ἀθάρας. Ἀριστοφάνης Πλούτῳ· ἀλλά με ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γρᾳδίου. Ἀθάρην, οὐκ ἀθαρὴν τὴν ἐρεικτὴν καλοῦσι. Κράτης Ἥρωσιν· οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν καὶ τῆς ἀθάρης.

α 709 Ἀθαυμαστί: χωρὶς θαύματος.

α 710 Ἆθε: εὐχῆς σημαντικὸν, ἀντὶ τοῦ εἴθε.

α 711 Ἀθέατος: μὴ τεθεαμένος. ὢν γὰρ εἰς τέλος ἀθέατος τῆς Ἑλλάδος διὰ τοὺς ἐν Ἰβηρίᾳ πολέμους κατὰ τοὺς ἐν Λιγυστικοῖς, προῆγεν ἐπὶ τὴν Ἑλλάδα.

α 712 Ἀθεεί: χωρὶς θεοῦ.

α 713 Ἀθέλιμνος: ὁ κακός.

α 714 Ἀθέμιστα: ἄδικα. καὶ Ἀθέμιστος, ἄνομος. λέγεται δὲ καὶ Ἄθεσμος, ὁ παράνομος. ἠράσθη Πίασος Θετταλὸς Λαρίσσης τῆς ἑαυτοῦ θυγατρὸς ἔρωτα ἄθεσμόν τε καὶ δυστυχῆ.

α 715 Ἀθέμιτον: τὸ ἄδικον. καὶ Ἀθεμιτότατον· διφορεῖται.

α 716 Ἄθεον· ἄθεόν ἐστι τὸ μὴ τὴν ἀθανασίαν τῆς ψυχῆς διασῴζειν καὶ ἀνάγειν εἰς τὸ θεοειδὲς καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον ἀρρήκτοις καὶ ἀλύτοις δεσμοῖς, ἢ τἀναντία τούτων, τὸ κατασπᾶν καὶ καθέλκειν τὸ ἐν ἡμῖν θεῖον εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον, καὶ γιγαντῶδες ἢ τιτανικὸν δεσμωτήριον.

α 717 Ἀθεωρητί: χωρὶς θεωρίας. καὶ Ἀθεώρητος, ἀθέατος.

α 718 Ἀθεραπευσία: ἡ παντελὴς καταφρόνησις. τὸ δὲ στρατόπεδον ταῖς τῶν σωμάτων ἀθεραπευσίαις κακῶς ἀπήλλαττεν.

α 719 Ἀθέρες: εἶδος σπέρματος.

α 720 Ἀθέρισον: ἀποδοκίμασον.

α 721 Ἀθερώσσει: ἀγρυπνεῖ.

α 722 Ἀθεσίαν: παραβασίαν. ἀγωνιῶν γὰρ τὴν ἀθεσίαν τῶν Κελτῶν, καὶ τὰς ἐπιβουλὰς τὰς καὶ ἐπισειομένας. οἱ δὲ Ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν Γαλατῶν ἀθεσίαν. καὶ αὖθις Πολύβιος· ἐπικρύπτειν ἅπασι τὴν ἀθεσίαν αὐτῶν καὶ τὴν ἀβεβαιότητα.

α 723 Ἀθέσμιον: τὸ ἄδικον.

α 724 Ἀθέτησις: ἐκβολή. καὶ Ἀθετῶ αἰτιατικῇ. γενικῇ δὲ ὡς τὸ, κατάρχων μὲν καὶ ἀθετῶν τοῦ τολμήματος.

α 725 Ἀθήλυντον: ἀδάμαστον, σκληρόν.

α 726 Ἀθηνᾷ τὸν αἴλουρον: ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται· ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλλοι. ὅτι Ἀθηνᾶ καὶ Ποσειδῶν ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς· ζήτει ἐν τῷ γεραίτερος.

α 727 Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ· διὰ τὸ σταθερὸν καὶ ἀνδρεῖον· ὁμοίως καὶ ἀσπίδα παρὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι· ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον· καὶ ἐλαίαν, ὡς καθαρωτάτης οὐσίας οὔσης· φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ γοργόνην διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ διὰ τὸ ταχὺ τοῦ νοῦ.

α 728 Ἀθηναία: ἡ θεά, ἡ δὲ γυνὴ ἀστή.

α 729 Ἀθηναίας· ὁ Μετακλείδης οὔ φησι καλεῖσθαι τὰς γυναῖκας ἀλλ' Ἀττικὰς ἐν τοῖς περὶ Ὁμήρου, ἅμα καὶ τὴν αἰτίαν ἀποδιδούς· μόνους γάρ, φησι, τοὺς ἐκεῖθεν ἄνδρας μὲν Ἀθηναίους ὀνομάζουσι, γυναῖκας δὲ Ἀττικάς, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν. ἀλλὰ ἰδοὺ Φερεκράτης ἐν Γραυσί φησιν· Ἀθηναίαις αὐταῖς τε καὶ ταῖς συμμάχοις. καὶ Κάνθαρος Τηρεῖ· γυναῖκα Ἀθηναίαν καλήν τε καὶ ἀγαθήν. καὶ Φιλήμων Πτέρυγι· τὰς Ἱππονίκας τάσδε καὶ Λυσιστράτας καὶ Ναυσινίκας τὰς Ἀθηναίας λέγω. οἱ δὲ μὴ δεῖν φάσκοντες Ἀθηναίας λέγεσθαι τὰς Ἀττικὰς καὶ τὴν ὁμωνυμίαν αἰτιῶνται, ἣν ἐπιδέχονται πρὸς τὴν θεόν· Ἀθηναία γὰρ καὶ ἡ θεὸς καλεῖται· ἀλλ' ἀντὶ τοῦ Ἀθηναίας αὐτάς φασι λέγεσθαι καὶ Ἀττικάς. πλὴν πολλή γε ἡ χρῆσις τῆς φωνῆς ἐπὶ τῶν γυναικῶν παρὰ τοῖς ἀρχαίοις, ὡς οἵ τε

προειρημένοι ποιηταὶ μαρτυροῦσι καὶ Δίφιλος ἐν Ἀμάστριδι. καὶ γὰρ καὶ τὴν Θεμιστοκλέους θυγατέρα Ἀθηναίαν ξένην φησίν· καὶ Πίνδαρος ἐν σχολίοις. ὁ μέντοι Φρύνιχος ἀνάττικόν φησιν εἶναι τὴν φωνὴν 〈καὶ〉 θαυμάζει, πῶς ὁ Φερεκράτης ἀττικώτατος ὢν χρῆται τῇ λέξει.

α 730 Ἀθήναιον· ὅτι Ἀπολλώνιον βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτως καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος, ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς, καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς· τὸ δὲ Ποσειδάνειον, δῆλον ὅτι Δωριαῖον.

α 731 Ἀθήναιος, Ναυκρατίτης, γραμματικὸς, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου. ἔγραψε βιβλίον ὄνομα Δειπνοσοφισταί· ἐν ᾧ μνημονεύει, ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἑστιᾶν. ὁ μέγας Ἀλέξανδρος κἀκείνην νικήσας ναυμαχίαν Λακεδαιμονίους καὶ τειχίσας τὸν Πειραιᾶ καὶ ἑκατόμβην θύσας πάντας εἱστίασεν Ἀθηναίους. καὶ Ἀλκιβιάδης Ὀλύμπια νικήσας τὴν πανήγυριν ἅπασαν εἱστίασε. τὸ αὐτὸ καὶ Λεόφρων Ὀλυμπιάσι. καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος, Ὀλύμπια νικήσας, ἐκ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν πολυτελῶν ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν πανήγυριν ἀπαντήσασι. καὶ ὁ Χῖος Ἴων τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον. καὶ ὁ Ἀκραγαντῖνος Τελλίας φιλόξενος ὢν καταλύσασί ποτε φʹ ἱππεῦσιν ὥρᾳ χειμῶνος, ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον. ὅτι Χάρμος ὁ Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. Κλέαρχος δὲ ὁ Σολεὺς δειπνολογίαν καλεῖ τὸ ποίημα, ἄλλοι ὀψολογίαν, Χρύσιππος γαστρονομίαν, ἄλλοι ἡδυπάθειαν. ὅτι ἐν τῷ συμποσίῳ Πλάτωνος κηʹ ἦσαν δαιτυμόνες.

α 732 Ἀθηναίων δυσβουλία: ἐπὶ τῶν παρ’ ἐλπίδας καὶ ἀναξίως εὐτυχούντων. τὸ γὰρ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο· τὴν δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς· καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. καὶ Εὔπολις· ὡς εὐτυχεῖν μᾶλλον ἢ καλῶς φρονεῖν. καὶ Ἀριστοφάνης Νεφέλαις· φασὶ γὰρ δυσβουλίαν τῇδε τῇ πόλει προσεῖναι. ταῦτα μέντοι τοὺς θεοὺς ἅττ’ ἂν ὑμεῖς ἐξαμάρτητε, ἐπὶ τὸ βέλτιον τρέπειν. ὅτι αὐτόχθονες οἱ Ἀθηναῖοι ἐλέγοντο καὶ Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι, ἢ ἐπεὶ τὴν χθόνα, ἤτοι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας.

α 733 Ἀθήνησιν: ἐν ταῖς Ἀθήναις. Ἀθήνη γὰρ πόλις τῆς Λακωνικῆς.

α 734 Ἀθηνόδωρος· οὗτος ἦν στρατιώτης Ἀθηναῖος. ἔστι δὲ καὶ ἕτερος, μαθητὴς Διονυσίου τοῦ Ἀρεοπαγίτου. ἔγραψε δὲ διάφορα. καὶ ἕτερος σοφιστὴς, ἀδελφὸς Γρηγορίου τοῦ Θαυματουργοῦ.

α 735 Ἀθηνόδωρος· Στωϊκὸς φιλόσοφος, ἐπὶ Ὀκταουϊανοῦ βασιλέως Ῥωμαίων· ἐφ’ οὗ πᾶσα ἀνάγκη κοινὸν εἶναι δυστύχημα τὴν τοῦ κράτους ἄλογον ἐξουσίαν, ἐξ οὗ δὴ μάλιστα ταῖς Ἀθηνοδώρου τούτου συμβουλίαις ἐπείσθη. καὶ διαδέχεται Τιβέριος τὴν βασιλείαν. τότε γὰρ οἱ κόλακες παρὰ τοῦ βασιλέως δωρεῶν καὶ τιμῶν ἀξιούμενοι μεγίστων ἀρχῶν ἐπέβαινον, οἵ τε ἐπιεικεῖς καὶ ἀπράγμονες μὴ τὸν αὐτὸν ἐκείνοις αἱρούμενοι βίον εἰκότως ἐσχετλίαζον, οὐ τῶν αὐτῶν ἀπολαύοντες. ὥστε ἐκ τούτου τὰς μὲν πόλεις στάσεων πληροῦσθαι καὶ ταραχῶν τὰ δὲ πολιτικὰ κέρδους ἥττοσιν ἄρχουσιν ἐκδιδόμενα, τὸν μὲν ἐν εἰρήνῃ βίον λυπηρὸν καὶ ὀδυνηρὸν τοῖς χαριεστέροις ἐποίουν, τὴν δὲ ἐν τοῖς πολέμοις προθυμίαν ἐξέλυον. κατὰ δὲ τοὺς καιροὺς ἐκείνους καὶ ἡ παντόμιμος ὄρχησις εἰσήχθη οὔπω πρότερον οὖσα· καὶ προσέτι γε ἕτερα πολλῶν κακῶν αἴτια γεγονότα. ὅτι τῷ Ἀθηνοδώρῳ πάντα παρεσκεύαστο πρὸς φιλοσοφίαν τά τε ἀπὸ τῆς φύσεως καὶ τὰ ἀπὸ τῆς ἐπιεικοῦς προαιρέσεως, ὅτε Πρόκλος ἔζη. καὶ διαφανῶς ἐξηγεῖτο τοῖς πλησιάζουσιν. ὃν ὁ Σαλούστιος θαυμάζων ἐπὶ σπουδῆς ἔλεγεν, ὅτι πυρὶ ἄρα ἐῴκει ὁ ἄνθρωπος ἐξάπτοντι πάντα τὰ παρακείμενα. ἀλλ’ ὅμως ἔπεισεν Ἀθηνόδωρον μὴ φιλοσοφῆσαι.

α 736 Ἀθηρηλοιγός: τὸ πτύον τὸ τοὺς ἀθέρας ὀλοθρεῦον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 737 Ἄθηρον: τὸ ἀθήρατον.

α 738 Ἀθησαύριστον: ἀνεπιτήδειον εἰς ἀπόθεσιν.

α 739 Ἀθιμών.

α 740 Ἀθλητάς: ἀγωνιστὰς, ἀσκητάς. Αἰλιανός· τοιγαροῦν οὐ μόνον ταῦτ᾿ ἔχειν αὐτοὺς παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς παρεσκεύαζεν. τί γὰρ τῶν αἰσχρῶν καὶ δεινῶν αὐτοῖς οὐ προσῆν; ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν;

α 741 Ἀθλητής: ὁ τοὺς ἄθλους ἐξησκηκώς. οἱ δὲ Ῥωμαῖοι ἄνδρα πολέμων ἀθλητὴν ὡς τὸν Ἀννίβαν ἐκπέμπουσιν.

α 742 Ἆθλον: ἀγώνισμα, ἡ τιμὴ, ὁ μισθὸς, τὸ τοῦ ἀγῶνος βραβεῖον. καὶ Ἆθλος ἀρσενικῶς, τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον. διαφέρει δὲ τοῦτο τοῦ οὐδετέρου, ὅτι τὸ μὲν οὐδέτερον δηλοῖ κυρίως τὸ ἔπαθλον, τοῦτο δὲ τὸν ἀγῶνα.

α 743 Ἀθμωνεύς: Ἀθμωνία δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος, ἀφ᾿ οὗ ὁ δημότης Ἀθμωνεύς. καὶ Ἀθμωνίς, ὄνομα κύριον. τὸν Πειραῖα κάρηνα τὰ ἄκρα τρύβλιον.

α 744 Ἀθόλωτος: ὁ ἀτάραχος.

α 745 Ἄθων: τὸ ὄρος. σὺν τῷ ν λέγουσιν.

α 746 Ἀθωνίς: πόλις.

α 747 Ἀθῷος: ἀζήμιος. ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου. ἀντὶ τοῦ ἀθῷον ἐμαυτὸν ἐτήρησα, οὐκ ἐκοινώνησα τοῦ κακοῦ. Ἀθῷος οὖν ἀναίτιος. ἀντὶ τοῦ περιάγων, λάλος.

α 748 Ἀθώπευτον: ἀκολάκευτον, ἄσπλαγχνον. θηρὸς ἀθωπεύτου Πανὶ καθῆψε δέρας. περὶ κάπρου φησί. τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω.

α 749 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός: παροιμία ἐπὶ τῶν τινας λυπούντων ἢ βλαπτόντων· ἐπειδὴ τὴν βοῦν τὴν ἐν Λήμνῳ λευκοῦ λίθου πεποιημένην ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει.

α 750 Ἄθραυστον: ἰσχυρὸν, ἄκλαστον.

α 751 Ἄθρει: ὅρα, βλέπε. καὶ Ἀθρείοντες, ἰδεῖν ἐπιθυμοῦντες.

α 752 Ἀθρεῖν: τὸ περισκοπεῖν καὶ μετ᾿ ἐπιτάσεως ὁρᾶν. παραδειγμάτων δὲ πάντα μεστά.

α 753 Ἀθρήνη: εἶδος μελίσσης.

α 754 Ἀθρηνί: χωρὶς θρήνου.

α 755 Ἀθρήνιον: ὁ Μουσῶν τόπος.

α 756 Ἀθρήσειεν: ἀπίδοι.

α 757 Ἀθριβίς: πόλις Αἰγύπτου.

α 758 Ἀθρόως: ταχέως. Ἀθρόους· καὶ Ἄθρους λέγουσι δισυλλάβως.

α 759 Ἄθρους: εἰς ἅπαν συνηγμένους ὁμοῦ, ἢ ἀθρόως. τοιαῦτα μὲν ἐποίκιλλεν ἄθρους δεδισσόμενος.

α 760 Ἀθροίζει: συνάγει. τούτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν. Ἰώσηπος.

α 761 Ἀθροίζω: ἀπὸ τοῦ θροῦς, θροὸς, θροΐζω, θροίζω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀθροίζω.

α 762 Ἄθροι καταρρέοντες: ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς. καταρρέοντες δὲ ἀντὶ τοῦ ἀθρόως κατερχόμενοι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. Ὅμηρος· τὰ δ᾿ ἐπέρρεεν ἔθνεα πεζῶν.

α 763 Ἄθροισμα: τὸ σώρευμα.

α 764 Ἄθρυπτος: ἀνδρώδης, μὴ βλακεύουσα, μηδὲ μαλακιζομένη, μηδὲ χαυνουμένη. Δαμάσκιος· τὴν δὲ τροφὴν ἐκληρώσαντο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ

πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικὴν καὶ τὸν Δώριον τρόπον ὡς ἀληθῶς ἡρμοσμένην.

α 765 Ἄθυμος: ἀντὶ τοῦ ἀθυμήτης. Πλάτων Πολιτείας ε′. ἤγουν ὁ λελυπημένος. οἱ δὲ στρατιῶται καίτοι ἄθυμοι δοκοῦντες καὶ τὰ σώματα πονηθέντες ἐν τῇ προτέρᾳ μάχῃ παρεβάλοντο καὶ ἐνίκησαν. ἀντὶ τοῦ τὴν ψυχὴν κακοί.

α 766 Ἀθυμότερος: ἀψυχότερος, κακοψυχότερος.

α 767 Ἄθυρμα: παίγνιον. Ἰώσηπος. ὃς ἦν τοῦ βασιλέως ἄθυρμα καὶ πρὸς τὰ σκώμματα καὶ τοὺς ἐν τοῖς πότοις γέλωτας ἐπεδείκνυτο. καὶ αὖθις· οὐκ ἔστιν ἀνδρῶν ἀθύρμασιν ἐμφιλοχωρεῖν παιδίων. καὶ ἐν Ἐπιγράμμασι· Πανὶ δέ μιν ξέσσαντες ὁδῷ ἔπι καλὸν ἄθυρμα κάτθεσαν. ἀντὶ τοῦ ἄγαλμα. Κρατῖνος Ὀδυσσεῦσι· νεοχμὸν παρῆχθαι ἄθυρμα.

α 768 Ἀθύρειν: τὸ παίζειν. Πλάτων Νόμοις· ἡ δ’ αὖ παρ’ ἡμῖν Κόρη καὶ Δέσποινα εὐφρανθεῖσα τῇ τῆς χορείας παιδιᾷ, κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν ἀθῦραι. Ἀθύρω, ὁ ἐνεστώς.

α 769 Ἀθύρμιον: παίγνιον.

α 770 Ἀθυρογλωττία: ἡ ἀχαλίνωτος γλῶσσα.

α 771 Ἄθυρος: ὄνομα κύριον.

α 772 Ἀθύρωτον στόμα: οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστοφάνης ἐν Βατράχοις. καὶ Φρύνιχος. οἱ δὲ γράφοντες ἀπύλωτον ἀντὶ τοῦ ἠνεῳγμένον καὶ πύλην μὴ ἔχον, τουτέστι μὴ χαλιναγωγούμενον μηδὲ κρατούμενον.

α 773 Ἀθύτους: ἄνευ θυσιῶν. καὶ γήμας ἀθύτους τε καὶ ἀγάμους γάμους ἐκεῖνος, ἐφ’ οἷς οἶδα καὶ τὸν θεὸν σείσαντα, καὶ διοσημίας ἄλλας κατενόησα ὧν ὑφ’ ἡλίῳ ἔτι καὶ τυραννῶν. ἐδεῖτο μὲν οἱ τὸ σῶμα κρεοφαγίας, ἀθύτου δὲ οὐκ ἠνέσχετο μεταλαβεῖν. Δαμάσκιός φησιν.

α 774 Ἀκαδημία: γυμνάσιον ἐν Ἀθήναις, προάστειον ἀλσῶδες ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἑκαδήμου τινὸς ἥρωος ὀνομασθέν. πρότερον δὲ διὰ τοῦ ε Ἑκαδημία ἐκαλεῖτο. Ἀριστοφάνης Νεφέλαις· ἀλλ’ εἰς Ἑκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου, μίλακος ὄζων καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλοβολούσης, ἦρος ἐν ὥρᾳ χαίρων, ὁπότ’ ἂν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

α 775 Ἀκαδημία· τρία ὑπῆρχον γυμνάσια, Λύκειον, Κυνόσαργες, Ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὸ Ἀκαδήμου. καὶ οὐδετέρως Ἀκαδήμεον. λέγεται δὲ Ἀκαδημία ἡ τῶν φίλων διατριβή.

α 776 Ἀκάθαρτος: ἁμαρτητική. ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὅ γε κακός, καθαρὸς δὲ ὁ ἐναντίος.

α 777 Ἀκαθαίρετος: ἀκατάβλητος. πύργος ἀκαθαίρετος.

α 778 Ἀκάθεκτος: ἀκατάσχετος. ἦν γὰρ ἀκάθεκτος ὁρμὴ περὶ αὐτὸν διὰ τὰς τῶν πυρσῶν ἐπάρσεις.

α 779 Ἀκαθοσίωτον: ἄνομον, ἄκοσμον, ἀπόβλητον.

α 780 Ἀκακήσιον: ὄνομα ὄρους.

α 781 Ἀκάκητος: ὁ Ἑρμῆς.

α 782 Ἀκακία: ἡ ἀγαθωσύνη.

α 783 Ἀκάκιος· ὁ πατριάρχης Κωνσταντινουπόλεως, αἰδέσιμος ἦν ὡς οὐκ ἄλλος τις. ὀρφανοτρόφος γὰρ γεγονὼς καὶ καλῶς τὰ τῶν ὀρφανῶν διοικῶν πᾶσιν ἐφαίνετο καθ’ ἡδονήν. καὶ δὴ καὶ τῷ βασιλεῖ Λέοντι συνήθης γεγονὼς ὑπερφυῶς ἤρεσκε καὶ τούτῳ πρώτῳ ἀεὶ πάντα ἀνεκοινοῦτο τά τε κοινὰ καὶ τὰ ἴδια. καὶ ὅτε τὴν βουλὴν ἤθροιζε, συνεκάλει καὶ τοῦτον καὶ τῆς σκέψεως ἀρχὴν ἐξ αὐτοῦ πάσης ἐτίθετο. ὃς Ἀκάκιος τὴν τοῦ Λέοντος τοῦ Μακέλλη ὠμότητα συνιδὼν πρὸς τούς τι λυπήσαντας καὶ τὸ ἦθος ἀκριβῶς τὸ ἐκείνου φωράσας, ὅτι τοῖς ἐπαινοῦσι μόνον

ὑπάρχει εὐάλωτον, ἐπετήδευε πάντα τὰ ἐκείνου θαυμάζειν. τοιγαροῦν πειθήνιον αὐτὸν εἶχεν ἑτοίμως τόν τε θυμὸν αὐτοῦ ῥᾳδίως κατέστελλε καὶ πολλοῖς προσκεκρουκόσι τὴν σωτηρίαν ἐπραγματεύετο καὶ τοὺς ἐξορίαν ἀΐδιον ἔχοντας ἀνεκαλεῖτο πρὸς τὴν πατρίδα. οὗτος μετὰ θάνατον Γενναδίου, πατριάρχου Κωνσταντινουπόλεως, σπουδῇ Ζήνωνος ἱερᾶσθαι προεβλήθη. ὃς ὢν ἀρχικὸς καὶ πάσας τὰς ἐκκλησίας ὑφ' ἑαυτὸν ποιήσας πεφροντισμένως τῶν ἐν αὐταῖς κεκληρωμένων ἐποιεῖτο τὴν κηδεμονίαν, οἳ εὐχαριστοῦντες ἐν γραφαῖς ἀνέθηκαν αὐτὸν κατὰ τοὺς εὐκτηρίους οἴκους. ἐπείπερ οὖν ἀθρόον ἐν πάσαις ταῖς ἐκκλησίαις ἐδείχθησαν αὐτοῦ εἰκόνες, ᾠήθησάν τινες κενοδοξοῦντα τὴν ἀνάθεσιν προστεταχέναι οὐ μικρὰν ἔχοντες τῆς ὑπονοίας πίστωσιν, τὴν ἐκ ψηφίδων γραφὴν δημιουργηθεῖσαν ἐν τῇ πρὸς τῷ νεωρίῳ ἐκκλησίᾳ. τοῦ γὰρ ἔργου παντὸς ἐπὶ Γενναδίου τελεσθέντος εἰς τὸν ἐπιφανῆ τόπον ἐξετύπωσαν αὐτὸν τοῦ νεὼ καὶ μεταξὺ τοῦδε τὸν Σωτῆρα λέγοντα τῷ Γενναδίῳ, λῦσον τὸν ναὸν τοῦτον, καὶ ἐπὶ τοῦ, μετά σε ἐγερῶ αὐτόν. ἐκ τῶν τοιούτων οὖν εἰκόνων Ἀκάκιος, εἰ καὶ εὐμετάδοτος ἦν καὶ προστατικὸς, ἀλλὰ δοξομανὴς πᾶσιν ἔδοξεν ὑπάρχειν. ζήτει περὶ τοῦτον ἐν τῷ Βασιλίσκος.

α 784 Ἀκάκιος· ῥήτωρ δεινότατος, ἐπὶ Ἰουλιανοῦ καὶ Λιβανίου τοῦ σοφιστοῦ. ὃς ἐπεκάλει τὸν Ἰουλιανὸν καὶ διεμέμφετο τὰς κρίσεις αὐτοῦ σὺν Τουσκιανῷ τῷ ἐκ Φρυγίας, καὶ αὐτῷ ῥήτορι ὄντι δεινῷ.

α 785 Ἀκαλανθίς: εἶδος ὀρνέου ἢ ὁ κύων, παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους.

α 786 Ἀκαλαρρείτης: ὁ ἡσύχως ῥέων. ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο.

α 787 Ἀκαλήφη: ἡ ἄκανθα, ἡ κνίδη. παυσάμενον τῆς δυσκολίας, ἀπὸ τῆς ὀργῆς τὴν ἀκαλήφην ἀφελέσθαι.

α 788 Ἀκαλήφη: κνίδη καὶ ἡ χερσαία καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογχυλίδιόν τι. Ἀριστοφάνης Φοινίσσαις· εἰκὸς δήπου πρῶτον ἁπάντων φύα φῦναι καὶ τὰς κραναὰς ἀκαλήφας. Φερεκράτης Αὐτομόλοις· νὴ τὴν Δήμητρ' ἀνιαρὸν ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν. βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι. τὰς δὲ θαλαττίας καὶ Ἀριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ Περὶ ζῴων καὶ Θεόφραστος ἐν ἑβδόμῳ Φυτικῶν.

α 789 Ἀκαλλιέρητον: θῦμα ἀκόσμητον.

α 790 Ἀκάμαντα: ἀκαταπόνητον. βοτρύων ἀκάμαντα φυτῶν λωβήτορα κάπρον.

α 791 Ἀκαμαντίς καὶ Ἀκάμας: μία τῶν δέκα φυλῶν ἀπὸ Ἀκάμαντος τοῦ Θησέως.

α 792 Ἀκάματα: ἀντὶ τοῦ ἀκαμάτως καὶ ἀδιαλείπτως· ἢ οὐ κεκμηκότως. Σοφοκλῆς· ὃν ἔγωγ' ἀκάματα προσμένους' ἄτεκνος τάλαινα.

α 793 Ἀκαμάτιος· Ἡλιουπολίτης, ἐπιεικέστερος τῶν ἄλλων πολιτῶν· οὕτω δὲ ἰδιωτικῶς εἶχεν, ὥστε οὐδὲν προμαθὼν οὐδὲ ἐπιμαθὼν τῶν ἐς λόγους ἡκόντων οἱουσδήτινας ἠξίου καλεῖσθαι φιλόσοφος καὶ τῷ ὀνόματι τούτῳ πρὸς ἅπαντας ἑαυτὸν κατεμήνυεν, οὐδὲ τῶν Ἡλιουπολιτῶν ἄλλως οὐδεὶς αὐτὸν ἐπωνόμαζεν ἢ τὸν φιλόσοφον. τοῦτο μὲν τοίνυν ὄνειδος ἔστω τῆς ἀνθρωπίνης ἀπαιδευσίας, παραγεγονότων δὲ ἡμῶν εἰς Ἡλιούπολιν, ἀπέβη σχεδὸν τοῦτο τὸ πλάσμα τῆς Ἀκαματίου φιλοσοφίας. ἠβούλετο δέ τις εἶναι καὶ τῶν ἱεροσκόπων. τοῦτο μέντοι συγγνώμης ἄξιον, ὅτι καὶ ὁπωσοῦν ἠδύνατο τὰ τοιαῦτα περιλαβεῖν, ἄλλως τε καὶ πρὸς ἰδιώτας.

α 794 Ἀκάματον πῦρ· Ὅμηρος· δαῖε οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ.

α 795 Ἀκαμπίας: ὁ εὐθύδρομος. καὶ Ἀκάμπιος δρόμος, ὁ μακρὸς καὶ δι' εὐθείας περίπατος.

α 796

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄκανθα: τὸ φυτὸν, καὶ ἡ ῥάχις τοῦ κήτους. καὶ τὸ ἐξ οὗ τρίβολος. τὸ δὲ θηρίον ὁρμῇ βιαίᾳ προσπεσὸν διακόπτει τῇ ἀκάνθῃ τοὺς δεσμούς. καὶ ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων παροιμία, Ἀκάνθιος τέττιξ.

α 797 Ἄκανθα: ἡ ἁμαρτία. Δαβίδ· ἐν τῷ ἐμπαγῆναι μοι ἄκανθαν. ὡς ἄχρηστον βλάστημα καὶ ὡς κεντεῖν πεφυκός.

α 798 Ἀκανθίας: οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. ὥσπερ καὶ ὁ ἀχέτας οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον ἀπὸ τοῦ ἠχεῖν.

α 799 Ἀκαπήλευτον: ἄδολον, καθαρὸν, ἀρᾳδιούργητον.

α 800 Ἄκαρ: ἀντὶ τοῦ μικρὸν ἢ οὐδέν. οὕτως Ἀντιφῶν.

α 801 Ἀκαρῆ: βραχὺ, ὀξὺ, ὃ οὐχ οἷόν τε κεῖραι. Ἀριστοφάνης· οὐκ οἶδ' ὅπη ἐγκεκύκλησαι, ὃς πολλῶν ἄρχων οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρῆ. καὶ τοῦτ' ἐρίῳ σοι ἐνστάζουσι κατὰ μικρὸν ἀεὶ, τοῦ ζῆν ἕνεχ' ὥσπερ ἔλαιον. βούλονται γάρ σε πένητ' εἶναι.

α 802 Ἀκαρῆ: ἀκαρῶς, ἐπίρρημα· ἐν βραχείᾳ ὥρᾳ, ἐν ἀτόμῳ. ἐν ἀκαρεῖ δὲ Ἀριστοφάνης Πλούτῳ· γυμνὸς θύραζ' ἔπεσον ἐν ἀκαρεῖ χρόνῳ. τῷ ἐλαχίστῳ, ὃν οὐχ οἷόν τε διακεῖραι καὶ κόψαι διὰ τὸ βραχὺ τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν, τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἔστι δὲ ἐπίρρημα τὸ ἀκαρῶς. ἀφ' οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. καρὶ δὲ τῷ καρί, κάρ, καρός, καρί.

α 803 Ἀκαρίδιος: ὁ βραχύτατος. ἀκαρίδιος ὁ ἀνθρώπινος βίος καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν.

α 804 Ἀκαριαῖον: μικρὸν, βραχὺ, ῥοπή. καὶ Ἀκαριαῖος, ὁ βραχὺς καιρός. Ἀκαριαῖον· τὸ μὴ δυνάμενον καρῆναι ἢ τὸ οἷον ἀκέφαλον διὰ σμικρότητα ἢ ἀδιάστατον κατὰ μέγεθος καὶ οὐδ' ἀρχὴν ἔχον. ὅτι Καρία ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν καὶ κέρατα.

α 805 Ἀκαρνᾶνα· ἐγὼ δὲ ἄγαμαι τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρνᾶνα μέγιστον καὶ πρὸ τούτων. καὶ Ἀκαρνανάδες· ζήτει ἐν τῷ ἀπαλγοῦντες.

α 806 Ἀκαρπότερος ἀγρίππου: ἐπὶ τῶν πάνυ πενομένων. Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.

α 807 Ἀκαρπότερος Ἀδώνιδος κήπου: ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων. λέγονται δὲ τὰ εἰς τὰ ὄστρακα φυτευόμενα.

α 808 Ἄκας: ποιητὴς τραγῳδίας.

α 809 Ἄκαστος· ὁ δὲ Ἄκαστος λόχον ὑφήσας ἐπεβούλευσε τῷ Πηλεῖ. καὶ ὃς αἰσθόμενος ἐς πόλεμον κατέστη. ζήτει ἐν τῷ Ἀταλάντη.

α 810 Ἀκατάληπτον ἀπροσίτου διαφέρει· καὶ ζήτει ἐν τῷ ἀπρόσιτον.

α 811 Ἀκατάβλητον: ἀήττητον· παρὰ τὸ μὴ καταβάλλειν· τουτέστι τὸν μηδὲν καταβάλλοντα. Ἀριστοφάνης Νεφέλαις· οὐ γάρ πω τότ' ἐξηπίστατο Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον.

α 812 Ἀκαταλήκτως: ἀκαταπαύστως.

α 813 Ἀκαταλλήλως: ἀναρμοδίως.

α 814 Ἀκαταμάχητος.

α 815 Ἀκαταῖος: ἵππος ὠνομασμένος.

α 816 Ἀκαταιτίατος: ὁ ἀναίτιος.

α 817 Ἀκατεύναστος: ἀκοίμιστος.

α 818 Ἀκάτειρα: ὄνομα πόλεως.

α 819 Ἀκάτιον: εἶδος πλοίου ἁλιευτικοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 820 Ἀκατίροις: ἐθνικόν. ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγίνοντο.

α 821 Ἀκατονόμαστος: ὁ μὴ ὠνομασμένος.

α 822 Ἀκαχείατο: ἐλυποῦντο. καὶ Ἀκαχίζεο, λυποῦ.

α 823 Ἀκαχημένη: λυπουμένη. καὶ Ἀκαχήμενον, οὐδέτερον.

α 824 Ἄκαψις: ὄνομα πόλεως.

α 825 Ἀκαίη: ῥάβδος θαλαττία.

α 826 Ἄκαινα: μέτρον δεκάπουν. ἔστι δὲ ῥάβδος, δι᾽ ἧς κεντοῦσι τοὺς βόας, ὡς τῶν Πελασγῶν τοῦτο εὑρόντων.

α 827 Ἄκαιρος: ὁ μὴ ἔχων καιρόν. καὶ, Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει· Ἱππόλυτον φασὶ ταύτην εἰπεῖν πρὸς Φαῖδραν φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτόν.

α 828 Ἀκεανός: εἶδος ὀσπρίου.

α 829 Ἀκελιμᾶς.

α 830 Ἀκενόσπουδον· παρὰ Διογνήτου ἔμαθον τὸ ἀκενόσπουδον καὶ τὸ ἀπιστητικόν. φησὶ Μάρκος ὁ φιλόσοφος βασιλεύς.

α 831 Ἀκέων: ἡσυχάζων. παρ᾽ Ὁμήρῳ κατὰ μεσότητα ἐξήνεκται ἀντὶ τοῦ ἐφ᾽ ἡσυχίας. καὶ ἐν ἄλλοις· ἀλλ᾽ ἀκέων δαίνυσθε καθήμενοι.

α 832 Ἀκερδὴς χάρις: ἡ μὴ δεόντως διδομένη. ἧς φαῦλον τὸ κέρδος. μήδ᾽ ἄλαστον ἀκερδῆ χάριν ἄντ᾽ ἰδὼν μετάσχοιμί πως.

α 833 Ἀκέραιον: ἄκακον, ὁλόκληρον, καθαρόν. σημαίνει δὲ καὶ τὸν ἔξω κήρας.

α 834 Ἀκέραιον συνειδός: τὸ καθαρὸν καὶ εἰλικρινές. Δαμάσκιος φησίν· οὐδὲν γὰρ εἶναι τῶν ἀνθρωπίνων ἀκεραίου συνειδότος ἀντάξιον. δεῖ δὲ τὸν εὐσχήμονα τρόπον συνδιαιτᾶσθαι τοῖς πέλας· εἰ καὶ ἐναντίον εἴη τῷ φαινομένῳ τὸ ἀληθινὸν ἀγαθὸν, μηδέποτε ἐκεῖνο τούτου ἐπίπροσθεν ἄγειν μηδὲ ἄλλο ὁτιοῦν περὶ πλείονος ποιεῖσθαι τῆς ἀληθείας, μήτε κίνδυνον ἀγῶνος ἐπιφερομένου μήτε ὄκνῳ ἀποστρεφόμενον ἔργον ἐπίπονον, μηδὲ κέρδος ἐπαίνου ἀδίκου, μηδὲ συνήθειαν φιλίας, μηδὲ συγγενείας τινὸς ἀνάγκην.

α 835 Ἀκέραιον· ἐκ τῆς Μάρκου Ἀντωνίνου συγγραφῆς· κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον ἢ τοῦτον ὃν ζῇ, ἢ ἄλλον ζῇ ἢ ὃν ἂν ἀποβάλλῃ. εἰς ταὐτὸν οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. τὸ γὰρ παρὸν πᾶσιν ἴσον καὶ τὸ ἀπολλύμενον οὐκ ἴσον. καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται. οὔτε γὰρ τὸ παρῳχηκὸς οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν τις. ὃ γὰρ οὐκ ἔχει, πῶς ἂν τοῦτο τις αὐτοῦ ἀφέλοιτο;

α 836 Ἀκέραιος: ὁ ὁλόκληρος. ἀκεραίοις τε καὶ οὐ προσδεχομένοις ἐπιγενόμενοι τῆς γῆς ἐκράτουν. καὶ αὖθις· τὸ δὲ μέλι ἅτε οὐκ ἀκέραιον οὔτε ἀπὸ ἀκάνθων ἀλλ᾽ ἀπὸ ἑρπετῶν συμπεπορισμένον ἀνέστρεφε τὰ σπλάγχνα. Πολύβιος· τοὺς μὲν γὰρ ἀηττήτους ὄντας ἐξ ἀκεραίου διηγωνίσθαι πρὸς σφᾶς. ἀντὶ τοῦ ἐξ εὐκόλου. θέλων ἀκεραίοις χρήσασθαι ταῖς τῶν Κελτῶν ὁρμαῖς. ἐξ ὁλοκλήρου. καὶ αὖθις· οὐ δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου διὰ τὴν εὐλάβειαν καὶ ἀπραγίαν τοῦ προειρημένου βασιλέως ἠναγκάσθη φ′ τάλαντα προτεῖναι. καὶ δὴ συγκατέθετο βοηθήσειν ὁ Σέλευκος. καὶ αὖθις· οὐ βουλομένοι ἀκέραιον ἀπενεγκεῖν τὴν φήμην αὐτοῦ ἤρξαντο διασύρειν αὐτόν.

α 837 Ἀκεραιοσύνη· ἀκερωσύνη δέ.

α 838 Ἄκερως βοῦς: ὁ μὴ ἔχων κέρατα. καὶ Ἄκερων, οὐδετέρως μονόπτωτον.

α 839 Ἀκερσεκόμης: τὴν κόμην μὴ κειρόμενος.

α 840 Ἄκεσσα: Ῥωμαϊκόν τι μηχάνημα ἐκ δενδροτομίου πρὸς ἐρυμνότητα μετασκευαζόμενον. οἱ δὲ Ῥωμαῖοι ξυνέθεσαν τὴν λεγομένην ἄκεσσαν τῇ Ῥωμαίων φωνῇ. δενδροτομήσαντες γὰρ ἀλλεπάλληλα στελέχη τῇ ξυνθήκῃ καταστορέσαντες ἀπετείχισαν ὡς ἐνῆν τὴν ἐνθένδε πορείαν τῆς πόλεως.

α 841 Ἀκέσασθαι καὶ Ἀκέσαι: ἰάσασθαι. ὅθεν Ἀττικοὶ τὴν ἠπήτριαν ἀκέστριαν καλοῦσιν.

α 842 Ἀκεσίας ἰάσατο: ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. ἔοικε δὲ ὁ Ἀκεσίας πρὸς τὸ χεῖρόν τινα θεραπεῦσαι.

α 843 Ἀκέσιος· Ναυατιανῶν ἐπίσκοπος· ὃς παρῆν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου. καὶ ἠρώτα αὐτὸν, εἰ δέχεται τὰ τῆς συνόδου, τόν τε ὅρον τῆς πίστεως καὶ τὸν ὁρισμὸν τῆς τοῦ Πάσχα ἑορτῆς· ὁ δὲ συγκατέθετο. ἐπανερομένου δὲ τοῦ βασιλέως, διὰ τί οὖν χωρίζῃ; ἐκεῖνος τὰ ἐπὶ Δεκίου γενόμενα κατὰ τὸν διωγμὸν ἐδίδασκε καὶ τὴν ἀκρίβειαν τοῦ αὐστηροῦ κανόνος· ὡς ἄρα οὐ χρὴ τοὺς μετὰ τὸ βάπτισμα ἡμαρτηκότας ἁμαρτίαν, ἣν πρὸς θάνατον καλοῦσιν αἱ θεῖαι γραφαὶ, τῆς κοινωνίας τῶν θείων μυστηρίων ἀξιοῦσθαι, ἀλλ' ἐπὶ μετάνοιαν μὲν αὐτοὺς προτρέπειν, ἐλπίδα δὲ τῆς ἀφέσεως μὴ παρὰ τῶν ἱερέων, ἀλλὰ παρὰ τοῦ θεοῦ ἐκδέχεσθαι, τοῦ δυναμένου συγχωρεῖν ἁμαρτήματα. ταῦτα εἰπόντος τοῦ Ἀκεσίου ἐπειπεῖν τὸν βασιλέα· θὲς, ὦ Ἀκέσιε, κλίμακα καὶ μόνος ἀνάβηθι εἰς τὸν οὐρανόν. τούτων οὔτε Εὐσέβιος ὁ Παμφίλου οὔτε ἄλλος τις ἐμνημόνευσεν. ἐκεῖνοι γὰρ πολλὰ παραλείπουσιν, ἢ προσπάσχοντές τισιν ἢ προσώποις χαριζόμενοι. οὕτω λέγει Σωκράτης ἐν Ἐκκλησιαστικῇ ἱστορίᾳ.

α 844 Ἀκεσίλαος: ὄνομα κύριον.

α 845 Ἀκέσιμον: θεραπευτικόν.

α 846 Ἄκεσιν: ἴασιν.

α 847 Ἀκεσίπονον: θεραπευτικόν.

α 848 Ἀκέσματα: ὑγιάσματα, ἰάματα. ἡ δὲ λαθοῦσα τὰς φυλακὰς ἅμα τῇ θυγατρὶ ἀνέδραμεν, ἄκεσμα τῆς ἐσομένης ἐνδείας ἐπιφερομένη. ἀνὴρ ἦν ἐν τῇ Γαλεώτιδι, δεινὸς λύσεις τε νόσων εἰπεῖν καὶ ὥραν ἀκαιρίας ἀκέσασθαι, ἀγονίαις καὶ ἀκαρπίαις διά τινων ἱερουργιῶν ἐπινοῆσαί τε καὶ δοῦναι μεταβολὰς, καί τινας εἰς εὐπορίαν ἀγαθὰς ὁδούς. τοῦτον ἐς Κρήτην ὁ Μίνως καλεῖ φασιν ἐπὶ δώροις, ἵνα τοῦ Γλαύκου τὴν ὑμνουμένην ἀπώλειαν ἀνιχνεύσῃ. καὶ Ἀκεσμὸν, ἰατρείαν.

α 849 Ἀκεσώ: ὄνομα κύριον, θηλυκόν.

α 850 Ἀκεσώδυνον: θεραπευτικὸν τῶν ὀδυνῶν.

α 851 Ἀκέστας: ἰατρούς. καὶ Ἀκέστωρ, ἀκέστορος, ὁ ἰατρός.

α 852 Ἀκέφαλος: αἵρεσίς τις, ἧς ἦν Σευῆρος ἔξαρχος. καὶ ζήτει ἐν τῷ Εὐτυχής.

α 853 Ἀκέφαλος: ὁ ἄτιμος. καὶ παροιμία· Ἀκέφαλος μῦθος. ἐπὶ τῶν ἀτελῆ λεγόντων εἴρηται ἡ παροιμία.

α 854 Ἀκειόμενος: θεραπευόμενος.

α 855 Ἀκειρεκόμης: τὴν κόμην μὴ κειρόμενος.

α 856 Ἀκεῖσθαι: θεραπεύειν. Ἀκεῖσθαι· λέγειν θεραπεύειν κωμῳδοῦντα.

α 857 Ἀκή: ἀκμὴ σιδήρου. καὶ Ἀκὴν, ἡσυχίαν.

α 858 Ἀκή: πόλις ἐν Φοινίκῃ, ἣν οἱ μὲν τὴν νῦν Πτολεμαΐδα καλουμένην οὕτω πάλαι φησὶν ὀνομάζεσθαι, Δημήτριος δὲ οὐ τὴν πόλιν, ἀλλὰ τὴν ταύτης ἀκρόπολιν.

α 859 Ἀκήδεστοι: μηδεμιᾶς φροντίδος τυχόντες. ἢ Ἀκήδευτοι καὶ ἄταφοι. καὶ Ἀκήδιστοι ὁμοίως.

α 860 Ἀκηδής: ἄταφος, ἀμελής. οἱ δὲ Ῥωμαῖοι τοὺς ἑαυτῶν πολεμίους ἀκηδεῖς οὐχ ὑπέμειναν παριδεῖν. καὶ Ἀκηδῶς, ἀντὶ τοῦ ἀτάφως. ἰδὼν ναυηγοῦ σῶμα ἐρριμμένον ἀκηδῶς καὶ ὀλιγώρως παρελθεῖν οὐκ ἐτόλμησεν, ἀλλὰ ἔθαψε τὸν τεθνεῶτα, θέαμα τῷ ἡλίῳ οὐδαμῇ φίλον ἀποκρύπτων ἀνθρωπίνῳ θεσμῷ. λέγεται καὶ Ἀκηδὴς ἐν Μυθικοῖς· πικρὴ μέν τε λύκοις, αὐτὰρ χιμάροισιν ἀκηδής. καὶ αὖθις· διαλύει τὸν τάφον ἀκηδῶς καὶ ἀνοίκτως καὶ ἀπὸ τῶνδε τῶν λίθων ἀνίστησι πύργον. ἐκεῖθεν ἑάλω ἡ πόλις.

α 861 Ἀκήδεσεν: οὐκ ἐφρόντισεν.

α 862 Ἀκηδία: ῥᾳθυμία, ἀχθηδὼν, λύπη. Δαβίδ· καὶ ἠκηδίασεν ἐπ’ ἐμὲ τὸ πνεῦμα μου.

α 863 Ἀκήκοα· αἰτιατικῇ· ἠνωτίσθην. καὶ Εἰσακήκοα.

α 864 Ἀκήλητον: ἄθελκτον, ἀπηνῆ. ἐν Ἐπιγράμμασι περὶ Ὀρφέως· ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ.

α 865 Ἀκηλίδωτον: ἄσπιλον, ἀκήρατον. Ἀκηλιδότερος δέ.

α 866 Ἀκήματα: ἰάματα. καὶ Ἄκη πόνων, τὰ λουτρά· καὶ κόπον μὲν θαλάττῃ λύουσιν, ἣ μάλιστα τοῖς νεύροις ἐστὶ πρόσφορος, ἀναχαλῶντες δὲ τὰς τῶν μυῶν συστάσεις, εἶτ’ ἐπαλείφοντες λίπα πρὸς τῷ μὴ ῥανθέντος τοῦ ὕδατος ἀπεσκληρυμένα γίνεσθαι τὰ σώματα.

α 867 Ἀκήν: ἡσύχως.

α 868 Ἀκηράσιον: ἀκέραιον. ἀθάνατον, ἄφθαρτον. καὶ Ὅμηρος· ἡδὺν ἀκηράσιον θεῖον ποτόν.

α 869 Ἀκήρατος: ἄφθαρτος, ἀπαθὴς, ἀκέραιος. Ἀκήρωτος δὲ ὁ δίχα κηροῦ.

α 870 Ἀκηρυκτεί: ἄνευ κήρυκος. οἱ δὲ Ῥωμαῖοι τοὺς αἰχμαλώτους λαβόντες ἀκηρυκτεὶ πόλεμον αὐτοῖς ἐψηφίσαντο.

α 871 Ἀκηρύκτως ἐμίγνυντο: παρὰ Θουκυδίδῃ· τουτέστιν ἄνευ κηρυκείου, ὡς πρὸς φίλους δῆθεν. οἱ γὰρ πρὸς ἐχθροὺς ἀπιόντες ἀσφαλείας ἕνεκεν ὅσοι ἐβούλοντο μετὰ κηρυκείου ἀπῄεσαν, οὓς ἀνόσιον ἡγοῦντο καὶ ἀσεβὲς κακουργεῖν.

α 872 Ἀκηχέδαται: λυποῦνται.

α 873 Ἀκίχητος: ἀκατάληπτος.

α 874 Ἀκίβδηλον: καθαρόν. καὶ ἀκιβδήλους φασὶν εἶναι τοὺς σπουδαίους, φυλακτικούς τε εἶναι τοὺς ἐπὶ τὸ βέλτιον τὰ περὶ αὑτοὺς παριστάνειν διὰ παρασκευῆς δυναμένους τῆς τὰ φαῦλα μὲν ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι ποιούσης ἀπλάστως. περιῃρηκέναι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα καὶ τῷ εἴδει.

α 875 Ἀκιδαλία: ὄνομα κρήνης.

α 876 Ἀκίδας: τῶν βελῶν τὰς ὀξύτητας. καὶ Ἀκιδωτόν, τὸ ἔχον ἀκίδας.

α 877 Ἀκιδνόν: τὸ ἀσθενές. καὶ Ἀκιδνότερος ὁμοίως. Ὅμηρος· οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

α 878 Ἀκκιζόμενος: προσποιούμενος, γυναικιζόμενος, ἢ μωραίνων, ἀπό τινος γυναικὸς μωρᾶς, ἥτις ἐκαλεῖτο Ἀκκώ. σημαίνει δὲ καὶ τὸν λέγοντά τι προσποιεῖσθαι μὴ ἐθέλειν. καὶ Αἰλιανός· οὐδενός τε τῶν ἐπ’ ᾄσμασι θαυμαζομένων ἐκρίθη δευτέρα, ἅτε δὴ οὐκ ἄπειρος ἐρωτικῆς περιεργίας ἀκκιζομένη σὺν καιρῷ καὶ πρὸς ζηλοτυπίαν εὐφυῶς ἄγουσα τὸν ἄνδρα. καὶ παροιμία· Ἀκκιζόμενος Σκύθης τὸν ὄνον. ἐπὶ τῶν βδελυττομένων λόγῳ, ἔργῳ δὲ ἐφιεμένων. ἰδὼν γάρ τις νεκρὸν ὄνον ἔφη πρὸς Σκύθην παρόντα, δεῖπνόν τι, ὦ Σκύθα. ὁ δὲ ἐμυσάξατο μὲν, ὕστερον δὲ ἐπονεῖτο. καὶ Ἀκκισμούς, προσποιήσεις. Ἀκκισμὸς γὰρ καὶ ἡ μωρία.

α 879 Ἄκικυς: ὁ μὴ ὀξύς.

α 880 Ἄκιμον: ἀθεράπευτον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 881 Ἄκιμος: ὄνομα κύριον.

α 882 Ἀκινάκης: μικρὸν δόρυ Περσικόν.

α 883 Ἀκίνασις: ὄνομα τόπου.

α 884 Ἀκινδυνί: χωρὶς κινδύνου. καὶ Ἀκινδυνότατος.

α 885 Ἀκίναιδος: ὁ μὴ κινῶν τὰ αἰδοῖα, ὁ σώφρων. καὶ Ἀκίναιδα.

α 886 Ἀκινησία: ἠρεμία. καὶ τοὺς ἵππους ἐξελαύνειν προσέταξεν, ὡς διαλύοιτο αὐτοῖς τὸ ὑπὸ τοῦ παράπλου ναρκηκὸς ὑπὸ ἀκινησίας.

α 887 Ἀκινητίζω: μὴ κινεῖσθαι ἐπιθυμῶ.

α 888 Ἀκίνητα κινεῖν: ἐπὶ τῶν καθ' ὑπερβολήν. ὅτι μὴ δεῖ μηδὲ βωμοὺς κινεῖν, ἢ τάφους.

α 889 Ἄκιτιν· ἐν Ἐπιγράμμασι· καὶ ψήκτραν ἄκιτιν ἀπέπτυσεν.

α 890 Ἀκίχητα: ἀκατάληπτα.

α 891 Ἀκλαυστί: χωρὶς κλαυθμοῦ.

α 892 Ἀκλείδης: ὄνομα κύριον.

α 893 Ἀκλειῶς: ἀδόξως.

α 894 Ἀκληρεῖ: οὐ μετέχει, οὐ κεκλήρωται.

α 895 Ἀκληρήμασι: συμφοραῖς, δυστυχίαις. διὰ τοῦτο δοκεῖ μοι μάλιστα περιπεσεῖν τοῖς ἀκληρήμασι, διὰ τὸ πάντων βούλεσθαι στοχάζεσθαι καὶ μερίζεσθαι εἰς διάφορα.

α 896 Ἀκληρίας: δυστυχίας. ὁ δὲ ᾤετο πόρον ἐξευρεῖν τοῦ διώσασθαι τὰς ἀκληρίας.

α 897 Ἀκληρούντων: δυστυχούντων. τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς γενέσθαι καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ.

α 898 Ἀκλητί: χωρὶς κλήσεως. καὶ παροιμία· Ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι. ὁμοία τῇ, αὐτόματοι ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται.

α 899 Ἄκλητον: ἀνώνυμον. δέδωκας σεαυτὸν ἄκλητον τῷ δευτέρῳ. ἀντὶ τοῦ ἀνώνυμον. ἄκλητος ὁ θεὸς καὶ καλούμενος παρέσται· οὐ παρορᾷ γὰρ ὁ θεὸς τοὺς ἀρετῆς ἀντιποιουμένους. οὕτω γὰρ ἐδόθη χρησμὸς τοῖς Λακεδαιμονίοις· καλούμενός τε κἄκλητος θεὸς παρέσται ἔξω πάσης αἰσθήσεως. οὐ γὰρ φωνῆς δεῖται πρὸς τὸ διδάξαι τὰ δέοντα, οὐδὲ ἀκοῆς πρὸς τὸ μαθεῖν.

α 900 Ἀκλόνητον: ἄσειστον, ἀδόνητον.

α 901 Ἀκμάζει: νεάζει. Ἀκμάζεις, τὰ νέων πράττεις. οὕτως Ὑπερίδης καὶ Λυσίας.

α 902 Ἀκμαῖος: νεανίσκος, σφριγῶν. ἀκμάζων, καίριος, κατὰ καιρὸν, παρὰ τὴν ἀκμὴν τοῦ καιροῦ. ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι. τουτέστιν εὐκαιρότατος, ἐν ἀκμῇ καιροῦ, ἐν ἀκμῇ καὶ ὀξύτητι κινδύνου. καὶ Ἀκμαιότατος καιρός· ὁ πρωϊνός. καὶ Ἀκμαίων· ἰσχυρῶν, ἀνδρείων, γενναίων.

α 903 Ἀκμαιωνίδαι: ὄνομα ἔθνους.

α 904 Ἀκμή: ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάσεως, καὶ ἡ δύναμις, καὶ ἡ νεότης. Ἀκμὴ δὲ καιροῦ, ἡ εὐτυχία. οὕτως Ἰσοκράτης· τὸ μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἔτι. οὕτως Ὑπερίδης. καὶ Σοφοκλῆς· ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων, μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν σόφισμα. ἀντὶ τοῦ ἔτι. καὶ ἐν Ἐπιγράμμασι· στρούθιον· ἀρρυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν, ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρέμοσι. καὶ αὖθις· ὅσσος ἐν ἡρώεσσι πότ' ἦν χόλος, οὗ μέρος ἀκμὴν ἐχθρὸν ἐν ἀψύχοις σῴζεται ἀκρέμοσιν. ἀντὶ τοῦ ἔτι.

α 905 Ἀκμὴ καλεῖ: καιρὸς καλεῖ. ἐπὶ οὖν τῆς ὀξύτητος Αἰλιανός φησιν· ἐν ἀκμῇ δὲ ὢν τῆς τε ὀδύνης καὶ ὧν ἤλγει, οὐκ ᾔδει τὴν ὁδὸν τὴν πορεύουσαν εἰς αὐτοῦ. εἰ δέ τινι καὶ θῦσαι ἐξ ἐνυπνίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκελεύετο, καὶ τούτων ὀλίγωρος ἦν φύσει τε ἀμαθὴς ὢν καὶ φιλοχρήματος. ἐν ἀκμῇ τοῦ κακοῦ μνήμη τις εἰσῆλθε τῶν Σαμοθρᾳκῶν· καὶ γὰρ οὖν τετελεσμένω αὐτοῖς ἤστην. ἀντὶ τοῦ ὑπῆρχον δυϊκῶς. καὶ αὖθις· ὑπὸ πολλῶν δακρύων τὴν ἀκμὴν τῶν ὀμμάτων ἀφῄρημαι. καὶ αὖθις Αἰλιανός· καὶ αὐτὸ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν.

α 906 Ἀκμήν: ἔτι. τὰς δὲ ἀκμὴν ἀνασειομένας πόλεις πρὸς τὴν τῶν Ῥωμαίων ἔχθραν τῷ φόβῳ κατασβεννύων. Προκόπιος· ὁ δὲ τοῦ καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκ ἔτι ἀντιλαβέσθαι οἷός τε ἐγεγόνει. Ἀκμή· ἐν συλλήψει ἢ ἐν διαστάσει.

α 907 Ἄκμηνος: ἄγευστος. ἄκμηνον δόρποιο.

α 908 Ἀκμῆτες: μὴ κάμνοντες. καὶ Ἀκμήτης, ὁ μὴ κοπιῶν.

α 909 Ἀκμητί: ἀκαμάτως. ζήτει ἐν τῷ ἀπονητί.

α 910 Ἄκμονος.

α 911 Ἄκνηστις: ἡ ῥάχις. ἣν οὐ δύναταί τις εὐκόλως κνήθεσθαι.

α 912 Ἀκοή: τὸ μέρος τοῦ σώματος. ἔστι δὲ καὶ ἡ φήμη. οὐκ ἀγαθὴ ἡ ἀκοὴ, ἣν ἀκούω περὶ ὑμῶν. ὁ Ἠλεὶ ὁ ἱερεύς φησι πρὸς τοὺς υἱοὺς αὐτοῦ. ζήτει περὶ ἀκοῆς ἐν τῷ αἰσθήσεις ε′.

α 913 Ἀκολασία· καὶ Ἀκολασταίνω, τὸ μωραίνω.

α 914 Ἀκόλαστον: ἀκρατῆ, θρασύν.

α 915 Ἀκόλαστον καὶ ὑβριστὸν πρᾶγμα ἡ ἄνθρωπος· λέγοι δ’ ἄν τις καὶ ὑβριστικόν.

α 916 Ἀκόλαστος: κολάσεως ἄξιος. Ἀριστοφάνης Πλούτῳ· ὃς κἄλλ’ ἀκόλαστός ἐστι τοὺς τρόπους. λέγεται καὶ ὁ τολμηρός. καὶ Ἰάμβλιχος· ἡ δὲ ἐγέλα νῦν μὲν ἰταμόν τε καὶ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη. καὶ Αἰλιανός· ἀνὴρ Ἀρκὰς, Εὐτελίδας ὄνομα, ἀκολάστῳ τῇ γλώττῃ καὶ ἀκράτορι κακῶς πάντας ἀγορεύειν ἀρρώστημα ἔσχεν· ἐμίσει δὲ καὶ τοὺς εὖ πράττοντας.

α 917 Ἄκολος: ὁ μικρὸς ψωμός. καὶ Ἀκόλους, κλάσματα καὶ θραύσματα ἄρτων. παρὰ τὸ μὴ κολλᾶσθαι. αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας. Ὅμηρος. καὶ αὖθις· τὸν κύνα δ’ ὡς ζῶντα πάλιν ποτὶ ταὔλιον ἄξω, ξηρὰς εἰς ἀκόλους ξυνὸν ἔχειν ἕταρον.

α 918 Ἀκόλουθον: ὅμοιον. ἀκόλουθον ἀπέβη τὸ τέλος ταῖς προτέραις ἐνεργείαις. καὶ Ἀκολουθήσας, ὁμοίως διαπραξάμενος. ὁ δὲ Ῥωμαῖος, ἔτι μετεωρίζοντος τοῦ Κελτοῦ τὸ ὅπλον, ἀκολουθήσας κάτωθεν ὑποφέρει τὸ ξίφος, καὶ διακείρει πᾶσαν ἀπὸ τοῦ βουβῶνος ἕως ὀμφαλοῦ τὴν λαγόνα. καὶ Πολύβιος· τοὺς δὲ ἐτίμησε χρυσοῖς ὑφάσμασιν καὶ λόγχαις, βουλόμενος ἀκόλουθον εἶναι τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν. ἀκόλουθόν ἐστιν, ὃ ἀναγκαῖον εἶναι τῷ ἑτέρῳ εἶναι· μαχόμενον δὲ ὃ ἀναγκαῖον μὴ εἶναι.

α 919 Ἀκολουθῶ· δοτικῇ.

α 920 Ἀκόλῳ τὰ χείλη, οὐ σύκῳ βῦσαι· παρεγγυᾷ ὁ λόγος ἐρρωμένως χρῆσθαι τοῖς πράγμασιν.

α 921 Ἄκομψον: εὐτελὲς, ἀπάνουργον. ἄνδρα τῶν τοῦ πραίτωρος ἐπιβάντα βημάτων· ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος.

α 922 Ἀκόνη: λίθος. καὶ παροιμία· Ἀκόνην σιτίζεις, ἐπὶ τῶν τροφῇ μὲν χρωμένων, μηδὲν δὲ εἰς τὸ σῶμα ἐπιδιδόντων.

α 923 Ἀκονιτί: χωρὶς κόνεως. ἄνευ ἀγῶνος καὶ μάχης· ἢ εὐμαρῶς, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν οὕτως εὐμαρῶς περιγινομένων ὥστε μηδὲ κονίσασθαι.

α 924 Ἀκόνιτον: εἶδος βοτάνης φαρμάκου. ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε τοῦτ’ ἀκονιτί. τουτέστι χωρὶς κόπου.

α 925 Ἀκοντί: ἀκουσίως.

α 926 Ἀκοντίζω: ἀκόντιον βάλλω.

α 927 Ἀκοντιστύς: ἡ ἀκόντισις.

α 928 Ἄκοπος ἀνήρ: ἀντὶ τοῦ οὐδέπω ἠνωχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας.

α 929 Ἀκόρεστος: ἀπλήρωτος.

α 930 Ἀκόρητος: ἀκαλλώπιστος, ἀκόσμητος· κορεῖν γὰρ τὸ καλλωπίζειν. οὗτος δέ ἐστιν ἀκόρητος, οἱονεὶ πολὺς καὶ μὴ κορούμενος, αὔξων καὶ πληθύνων καὶ τεθηλώς. ἀπὸ δὲ τοῦ συμβεβηκότος παρείληφε πάντα. παρ' οἷς γὰρ ἂν ᾖ στέμφυλα καὶ πρόβατα, ἐξ ἀνάγκης ἐστὶ πολλὰ πάντα.

α 931 Ἄκορον: ἰατρικὴ ῥίζα.

α 932 Ἄκος: ἴασις, θεραπεία. δέονται δὴ παρὰ θεοῦ ἄκους. καὶ αὐτοῖς ἐκπίπτει χρησμὸς λέγων, δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν.

α 933 Ἄκοσμα: ἀπρεπῆ, ἄτακτα.

α 934 Ἀκοστήσας. ἐκ τοῦ ἀκοσταὶ αἱ κριθαί. κριθιάσας· ἢ ἀκολαστήσας κατὰ συγκοπήν· ἢ ἐν ἄχει γενόμενος διὰ τὴν στάσιν· ἢ ἄκος τι καὶ βοήθημα τῆς στάσεως ζητῶν. καὶ ἐν Ἐπιγράμμασι· τὼς τρητὼς δόνακας, τὰν ἀκοστὰν σεῖο κορύναν, ὦ Πὰν δέχνυσο δῶρα τὰ Δάφνιδος.

α 935 Ἀκοστώσαις ἡμιόνοις δι' ἀργίαν καὶ πλησμονήν. οἱ μὲν γλωσσογράφοι κριθιώσαις· ἀκοστὰς γὰρ λέγειν τὰς κριθὰς ἀπὸ τοῦ ἄκος λαμβάνειν, τουτέστιν ἀνάπαυσιν λιμοῦ καὶ δίψης. ὁ δὲ Ἀριστόνικος ἐν ἄχει γενομέναις. εἴ γε ἐπιφέρει· δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων. τινὲς δὲ ἄδην πληρωθείς.

α 936 Ἀκουάζεσθε: παρ' Ὁμήρῳ ἀντὶ τοῦ αἰσθάνεσθε, ἐπεὶ ἡ ἀκοὴ ὁδός ἐστι τῆς αἰσθήσεως. ὡς τὸ, οἱ δὲ πληγῆς ἀΐοντες.

α 937 Ἀκούει καλῶς: ἀντὶ τοῦ εὐφημεῖται. οὕτως Ἡρόδοτος. ὅτι τὸ ἀκούειν γίνεται οὐ κατ' εἴσοδον τοῦ ἐκτὸς ἀέρος εἰς τὸ οὖς, ἀλλὰ κατὰ ἀφὴν πρὸς τὸν ἐγκατῳκοδομημένον ἀέρα ἐν τοῖς ὠσί· τούτου δὲ τεκμήριον τὸ καὶ ἐν ὕδατι ἀκούειν ἡμᾶς, οὐκ εἰσιόντος τοῦ ὕδατος εἰς τὸ οὖς. εἰ γὰρ εἰσέλθοι, φθείρει μὲν καὶ ἐξωθεῖ τὸν ἐγκατῳκοδομημένον ἀέρα, ὃς ὑπηρετεῖ τῇ ἀκοῇ, ἀμέσως δὲ τῆς μήνιγγος ἁπτόμενον βλάπτει αὐτὴν τῇ πληγῇ· καὶ προσέτι ἐναπομένον ἐν ταῖς κοιλότησι φθείρει καὶ βλάπτει τὸ αἰσθητήριον. πολλοὶ οὖν ἐντεῦθεν ἐβλάβησαν. ζήτει ἐν τῷ μήνιγξ πλατύτερον περὶ τῆς ἀκοῆς.

α 938 Ἀκουΐλία: ὄνομα τόπου.

α 939 Ἀκούω· γενικῇ, αἰτιατικῇ δέ. πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους. καὶ, ὁ ἀκούων τὸν λόγον μου καὶ μὴ πιστεύων. τουτέστι διδασκόμενος. ὅτι τὸ ἀκούω, εἰ μὲν σημαίνει τὸ πυνθάνομαι καὶ μανθάνω, μετὰ αἰτιατικῆς συντάσσεται· εἰ δὲ τὸ ἐνωτίζομαι τοῖς ὠσὶ μόνοις, μετὰ γενικῆς. καὶ τοῦ μὲν μανθάνω παράδειγμα τὸ τοῦ θεολόγου Γρηγορίου· ἀκούσατε λόγον ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου. καὶ ἐν τῷ Ἥττημαι· τοῦτό με ἵστη κάτω, καὶ εἶναι βέλτιον ἔπειθε φωνὴν ἀκούειν αἰνέσεως ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν. τοῦ δὲ ἐνωτίζομαι παράδειγμα τοῦ αὐτοῦ θεολόγου. ὡς δὲ ἐγώ τινος ἤκουσα ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου. καὶ ἄλλα πλεῖστα.

α 940 Ἄκουρον: μισόδημε, μοναρχίας ἐραστὰ, καὶ φορῶν κράσπεδα στεμμάτων, τήν θ' ὑπήνην ἄκουρον τρέφων. Ἀριστοφάνης φησί.

α 941 Ἀκουσίθεον: τὸ εἰς θεοῦ ἀκοὰς ἐρχόμενον. ἣν δέ μ' ἀνάψας εὔχηται, λάμψω φέγγος ἀκουσίθεον.

α 942

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀκουσίλαος· Κάβα υἱὸς, Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως, οὔσης Αὐλίδος πλησίον· ἱστορικὸς πρεσβύτατος. ἔγραψε δὲ γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

α 943 Ἀκουσίλαος· Ἀθηναῖος ὢν, Ἀγαθοκλείας. οὗτος ἠράσθη λόγων ἐν Ἀθήναις καὶ ἐλθὼν εἰς Ῥώμην ἐπὶ Γάλβα διέτριβεν ἐν λόγοις ῥητορικοῖς. καὶ χρηματισάμενος ἐν τῷ τελευτᾶν κατέλιπεν Ἀθηναίοις δώδεκα μυριάδας ἐκ τόκων.

α 944 Ἀκουτίσαι: διδάξαι. δοτικῇ καὶ αἰτιατικῇ· καὶ ἐπὶ γενικήν· ἀκουτισθῶμεν πάντες οἱ πιστοὶ συγκαλουμένης.

α 945 Ἄκουφις: ὄνομα κύριον.

α 946 Ἀκκώ: γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥν φασιν ἐνοπτριζομένην τῇ ἰδίᾳ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι. ὅθεν καὶ τὸ ἀκκίζεσθαι. ταύτην φασὶ καὶ σπόγγῳ πάτταλον κρούειν.

α 947 Ἀκωδώνιστον: ἀντὶ τοῦ ἀπείραστον, ἀβασάνιστον· κωδωνίσαι γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ ἀπὸ τῶν ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν.

α 948 Ἀκωκή: ἡ ὀξύτης τοῦ δόρατος, τὸ ὀξὺ τῆς λόγχης. Ἀρριανός· λόγχας δὲ εἶχον παχείας ἑξαπήχεας· ἀκωκὴ δὲ οὐχ ὑπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐταῖς πεπυρακτωμένον ταὐτὸ ἐποίησεν.

α 949 Ἀκόλῳ τὰ χείλη οὐ σύκῳ βύσαι.

α 950 Ἄκρα: τελεία. ἧκε παρὰ βασιλέως παῖς Αὐγάρου καλὸς καὶ μέγας καὶ ἐν ὥρᾳ ἄκρᾳ.

α 951 Ἀκραγαλίς: ὄνομα ἔθνους.

α 952 Ἀκράδαντον: ἀσάλευτον, ἀκίνητον.

α 953 Ἄκρα κόρυμβα: τὰ ἀκροστόλια τῶν νεῶν, τὰ ἐξέχοντα κατὰ πρύμναν ἢ πρώραν. ἐν οἷς τὰ σεβόμενα ἐνέγραφον. κόρυμβοι οἱ ἐπὶ τῶν ἀκρεμόνων βοτρυδὸν μετέωροι κόκκοι, ὡς ἐπὶ τῶν κισσῶν ἔχει.

α 954 Ἄκραν ἐπὶ γύαλον: ἐπ’ ἄκραν πέτραν.

α 955 Ἄκραντον: ἀπλήρωτον, ἀτελείωτον. τὸν δ’ ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

α 956 Ἀκρασίας: ἀνωμαλίας, παρὰ τὸ μὴ συγκεκρᾶσθαι. Ἰώσηπος· οἱ δὲ Ῥωμαῖοι διὰ χειρῶν ἀκρασίαν ἁλίσκονται. ἀκρασία καὶ ἀκολασία διαφέρει. ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττει τὰ αἰσχρὰ, ἡ ἀκολασία· ἡ δὲ παρὰ προαίρεσιν. λέγεται δὲ καὶ Ἀκράσιος. οὕτω τε ἐς πᾶσαν ἀκράσιον ἐκπεπτωκυῖα τρίβον.

α 957 Ἄκρας νυκτός: περὶ πρῶτον ὕπνον. κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ’ ἕσπεροι λαμπτῆρες οὐκέτ’ ᾖθον. ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἑσπέριοι, ἢ ὅτε ἐσβέσθησαν οἱ λύχνοι. καιρὸς γὰρ ἐπιβουλῆς καὶ ἐπιθέσεως τότε.

α 958 Ἀκράτεια.

α 959 Ἀκρατιεῖσθε· Ἀριστοφάνης Πλούτῳ· τράγοι δ’ ἀκρατιεῖσθε. τουτέστιν ἀπεψωλημένοι ἀκρατιεῖσθε· ἀντὶ τοῦ ὡς τράγοι ἀκρατῆ πράξετε, ἐπεὶ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσι τὸ αἰδοῖον. τὸ ἄκρον λείξετε ὡς τράγοι.

α 960 Ἀκρατίζω: τὸ ἄκρατον πίνω. καὶ Ἀκρατισαμένη, ἀκράτου σπάσασα. ἡ δὲ Θεοδώρα ἀκρατισαμένη ἡσυχίαν ἦγεν. ὅτι δεῖπνον, τὸ πρωϊνὸν ἄριστον, ἀκρατισμὸς λέγεται. ζήτει ἐν τῷ δεῖπνον.

α 961 Ἀκράτιστα: ἔμβρωμα.

α 962 Ἀκρατοπότης: ὁ μέθυσος, ὁ τὸν ἄκρατον οἶνον ἀπλήστως πίνων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 963 Ἄκρατον: διειδῆ, ἀκραιφνῆ. διαρρεῖ δὲ λόγος ἐκ Μακεδόνων, ὃς λέγει, ἀετὸν ἐπιφοιτῶντα καὶ τὰς πτέρυγας ὑποτείνοντα ἀποστέγειν αὐτοῦ καὶ τὴν ἄκρατον ἀκτῖνα ἑαυτὸν ἀπαιωροῦντα καὶ ὅτε ὕοι, τὸν πολὺν ὑετόν.

α 964 Ἄκρατος· Ξενοφῶν· πάνυ δὲ ἦν ὁ οἶνος ἄκρατος, εἰ μή τις ὕδωρ ἐπιχέοι. καὶ αὖθις· ἡ τρὶς ἐφεξῆς εἰδυῖα ἀκρήτου χειλοποτεῖν κύλικα.

α 965 Ἄκρατος ἡλίου ἀκτίς· τὸν δὲ ἀετὸν τὰς πτέρυγας ὑποτείνοντα καὶ ἑαυτὸν αἰωροῦντα, ὡς στέγειν τὴν ἄκρατον ἀκτῖνα τοῦ ἡλίου.

α 966 Ἄκρατος οἶνος Ἀγαθοῦ Δαίμονος: αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον, ἄκρατος οἶνος περιεφέρετο καὶ ἐκαλεῖτο Ἀγαθοῦ Δαίμονος. οἱ δέ φασι τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. καὶ Ἀκρατότερος.

α 967 Ἀκράτου: ὑπερζεούσης. μήποτε ἀλόγιστος ὄχλος δι’ ὀργῆς ἀκράτου λάβῃ τὴν ἀποτυχίαν.

α 968 Ἀκράτωρ: ὁ ἀκρατής. ἦν δὲ οἴνου τε ἀκράτωρ καὶ τῶν ἄλλων ἡδονῶν. καὶ αὖθις· ἀκράτωρ ἑαυτοῦ ὢν ἐσήλατο ἐς τὸν νεών. φιλοχρημάτω τε ἤστην καὶ ἡδονῶν ἀκράτορε. Ἀκράτωρ, ἀκράτορος, συστέλλει.

α 969 Ἀκρατῶς: ἐπιτεταμένως, συντόνως. ἱππεῖς ἤλαυνον ἀκρατῶς καὶ ἅμα ἀνεβόων.

α 970 Ἀκραιβατηνή: ὄνομα πόλεως.

α 971 Ἀκραιφνές: καθαρὸν, ὑψηλὸν, τέλειον. Φάβιος δὲ κατατιθέμενος τὴν ἀρχὴν παρῄνει τοῖς περὶ τὸν Αἰμίλιον τριβαῖς τοῦ πολέμου μακραῖς τὸ ἀκραιφνὲς καὶ ἀκάθεκτον τῆς τοῦ Ἀννίβου καταναλίσκειν φύσεως.

α 972 Ἀκραιφνῆ: ἀκραιφνῶς. ἐπίρρημα.

α 973 Ἀκραιφνής· βοήθειά τις παραγίνεται, καὶ ἀκραιφνὴς γινομένη πολλὴν ἐποίησε τὴν ῥοπὴν, τοῖς μὲν Ῥωμαίοις ἐπὶ τὸ ἀθυμότερον, τοῖς δὲ βαρβάροις ἐπὶ τὸ εὐθυμότερον. τουτέστι δυνατὴν, ὁλόκληρος.

α 974 Ἀκραιφνοῦς: ἀκηροφανοῦς, οἱονεὶ ἀβλαβοῦς· κὴρ γὰρ ὁ θάνατος. ἐκ πενίης (ὡς οἶσθα) ἀκραιφνέος, ἀλλὰ δικαίης, Κύπρι ταῦτα δέχευ δῶρα. ἐν Ἐπιγράμμασιν.

α 975 Ἀκραίφνιον: ὄνομα πόλεως.

α 976 Ἀκρεμόνες: βλαστοὶ, κλάδοι. ἰσόχνοον, ἀκμὴν εὐπετάλοισι, συμφυὲς ἀκρεμόσιν. ὀξύνεται ἀκρεμὼν ὡς ἡγεμών.

α 977 Ἀκρήβης: ὁ νέος.

α 978 Ἀκρησία: ἡ ἀκρασία.

α 979 Ἀκριβής· δοκεῖ ἀκριβὲς καὶ τὸ ἀναγκαῖον σημαίνειν. καὶ εἰ κατασκευάσαι βουλόμεθα, ὅτι πᾶσα ὑπόληψις τοῦ σπουδαίου ἀκριβής. ἀκριβὴς γὰρ δοκεῖ εἶναι ἡ δι’ ἀναγκαίων γενομένη, καὶ ὧν πᾶσα σπουδαίου ὑπόληψις ἔχει· γίνονται γὰρ ὑπολήψεις τῷ σπουδαίῳ καὶ περὶ τῶν ἐνδεχομένων. μεταλαμβάνοντες τὸ ἀκριβὲς εἰς τὸ σαφὲς ἢ εἰς τὸ ἀληθὲς, εὐκολώτερον τὸ προκείμενον δείξομεν· πᾶσα γὰρ ἡ τοῦ σπουδαίου ὑπόληψις σαφής τε καὶ διηρθρωμένη, καὶ ἀληθής. ὁμοίως καὶ πρὸς τὸν οἰκείαν τινα ὑπόληψιν περί τινος ἐκτιθέμενον, οἷον περὶ ἡδονῆς, ὁποίαν αὐτῷ εἶναι δοκεῖ, ὁ μὲν λέγων ἀκριβῆ αὐτοῦ τὴν ὑπόληψιν εἶναι οὐδέπω γνωρίμως λέγει· εἰ δὲ τὸ ἀκριβὲς εἰς τὸ σαφὲς μεταλάβοι, γνώριμον ἂν ὃ λέγει ποιήσειεν. ἔστι δὲ τὸν μὲν σπουδαῖον φιλοπράγμονα δεῖξαι, μεταλαβόντα τὴν φιλοπραγμοσύνην εἰς πολυπραγμοσύνην· τὸ γὰρ καὶ περὶ τῶν οὐρανίων τε καὶ φύσει συνεστώτων ἐτάζειν τε καὶ ζητεῖν πολυπραγμονεῖν ἐστι· τοιοῦτος δὲ ὁ σπουδαῖος. τὴν δὲ τοῦ σπουδαίου ὑπόληψιν οὐ σαφῆ, μεταλαμβάνοντας τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σαφὲς εἰς τὸ ἀκριβές· εἰ γὰρ τὸ μὲν ἀκριβὲς ἀναγκαῖον, οὐ πᾶσα δὲ ὑπόληψις τοῦ σπουδαίου ἀκριβὴς εἴη, ὥστε οὐδὲ σαφής.

α 980 Ἀκριβής: βέβαιος. ἐλέγετο γὰρ ἀκριβὴς ζηλωτὴς τῆς τοῦ Μάνεντος δόξης. καὶ Ἀκριβοῦς· ἐγνωκέναι τὸ ἀκριβὲς δυναμένου. καὶ Ἀκριβοῦν ὁμοίως. καὶ Ἀκριβῶς. θροῦς ἦν, οἷα δὴ οὐκ ἀκριβῶς κοιμωμένων. ἀντὶ τοῦ ἀληθῶς.

α 981 Ἀκριβῶ· αἰτιατικῇ.

α 982 Ἀκριβωθήσεται: ἀκριβῶς μελετηθήσεται. Ἀριστοφάνης· οὐδ’ ἂν προβαίη τὸν πόδα τὸν ἕτερον, εἰ μὴ ταῦτ’ ἀκριβωθήσεται.

α 983 Ἀκρίζω: τὸ ἄκρον κόπτω.

α 984 Ἀκρισία: ἡ ἀδιακρισία· ἡ κακὴ κρίσις. καὶ Λιβάνιος· οὐκοῦν ἀκρισία μὲν ἐν ἀμφοῖν· ἔχει δέ τινα τοὐμὸν φιλανθρωπίαν. καὶ ἄλλο κατὰ μετριασμόν. γυναικός τινος, Δανάης ὄνομα, δυσπειθῶς πρός τινα δίκην ἀπαντώσης, σοφός τις πρὸς αὐτὴν ἀπεφθέγξατο· κρίθητι καὶ σύ· οὐκ εἶ Δανάη ἡ Ἀκρισίου θυγάτηρ.

α 985 Ἀκρίς: εἶδος ζωϋφίου. ἤσθιε δὲ ἀκρίδας ὁ Πρόδρομος καὶ μέλι ἄγριον, ὅπερ ἀπὸ τῶν δένδρων ἐπισυναγόμενον μάννα τοῖς πολλοῖς προσαγορεύεται.

α 986 Ἀκρίσιος: ὄνομα κύριον. ὁ ἡμίθεος ἀνήρ.

α 987 Ἀκρισιώνη: ὄνομα κύριον.

α 988 Ἄκριτα: ἀχώριστα.

α 989 Ἀκριτί: ἄνευ κρίσεως.

α 990 Ἀκριτόμυθος: πολύλογος, ἀκρίτους ἔχων τοὺς λόγους.

α 991 Ἄκριτος: ἀντὶ τοῦ ἀδιάκριτος. οὕτως Δημοσθένης.

α 992 Ἀκριτόφυλλον: σύμφυτον πολλοῖς δένδροις, ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα ἃ φέρει. ἢ κατάσκιον.

α 993 Ἀκροᾶσθαι· γενικῇ. ἀντὶ τοῦ ὑπακούειν. οὕτως Ἀντιφῶν.

α 994 Ἀκροατὴς καὶ Ἀκροᾶσθαι: ὁ μαθητὴς καὶ τὸ μανθάνειν. Δαμάσκιος· ὁ δὲ ἠκροᾶτο λόγων γεγηρακότων καὶ σοφίᾳ τινὶ κεκραμένων. καὶ Ἀκροαμάτων, τουτέστιν ἀκουσμάτων. καὶ διαμένει καὶ νῦν παρ’ αὐτοῖς πολιτευόμενον τὸ πρᾶγμα, ὥσπερ ἄλλο τι τῶν ἀκροαμάτων, αὐλὸς ἢ κιθάρα, τέρψεως ἕνεκα καὶ ψυχαγωγίας.

α 995 Ἀκροβελίς: εἶδος ἀκοντίου.

α 996 Ἀκροβολίζεται: τὰ ἄκρα τοῦ σώματος βάλλεται. ἀκρωβελίζω δέ.

α 997 Ἀκροβολισμός: ἐρεθισμός. καὶ τὸ ἄκρον βάλλειν. ὁ δὲ τῶν βαρβάρων ἡγούμενος ἐγνωμάτευε ξὺν τῷ ἀδελφῷ καὶ ἔλεξεν, ὡς ἐγὼ μὲν ἐνέδραν ποιήσομαι, σὺ δὲ χρῶ ἀκροβολισμοῖς καὶ τοξεύμασιν. ἀντὶ τοῦ βουλὰς ἐδίδου καὶ γνώμας.

α 998 Ἀκροβόλοι: ἀκοντισταί, τοξόται.

α 999 Ἀκρογωνιαῖος.

α 1000 Ἀκροβυστία: τὸ μὴ περιτετμῆσθαι. περιτομὴ δὲ τὸ περιτετμῆσθαι τὸ ἄκρον.

α 1001 Ἀκρόδρυα: καρποὶ δενδρικοί, πάντες οἱ τῶν δένδρων καρποί. ἐπέρριπτον δὲ αὐτοῖς 〈ὁ〉 μὲν κάνδυν, ὁ δὲ ἀκρόδρυα.

α 1002 Ἀκροθίνια: αἱ τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχαί. ἀκροθίνια δὲ κυρίως καλεῖσθαι τὰς ἀπαρχάς, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ τοῦ θινός, τουτέστι τοῦ αἰγιαλοῦ, σεσῶσθαι αὐτά. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων, παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλούς, τουτέστι βλάπτεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ τὰ ἄκρα τῶν σωρῶν. ἢ τὰ λάφυρα. ὅτι Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη, Νικήτης ὁ κεκαθαρμένος ἀγνοήσας ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν. παροιμία, ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν· ἐπὶ τῶν μάτην κοπιώντων.

α 1003 Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν· ζήτει ἐν τῷ χοῖρος.

α 1004 Ἀκροκελαινιόων: τὸ ἄκρον τοῦ κύματος μελαίνων.

α 1005 Ἀκρόκομοι: μετρίως κομῶντες, ἢ λίαν, ἢ τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες.

α 1006 Ἀκροκώλια.

α 1007 Ἀκρόλιον: ἀπαρχή· ὥσπερ πρωτόλιον. Πολυξένην καταθῦσαι τοὺς Ἕλληνας ἀκρόλιον. καὶ αὖθις· ὅσα ἦν θεοῖς ἀναθήματα καὶ ἀκρόλια.

α 1008 Ἀκρολοφία: ἡ κορυφὴ τοῦ λόφου, τουτέστι τοῦ βουνοῦ.

α 1009 Ἄκρον ἐπιλίγδην: μεσότητος ἐπίρρημα. ἀντὶ τοῦ ἐπιψαύδην, ὅσον ἐπιψαῦσαι μόνον. καὶ ὅτι ἐν Ἰλιάδι ἅπαξ καὶ ἐν Ὀδυσσείᾳ ἅπαξ.

α 1010 Ἀκρόνηον: τὸ τῆς νεὼς ἄκρον.

α 1011 Ἄκρον λάβε καὶ μέσον ἕξεις: ἐπὶ τῶν δυσφράστων καὶ δυσνοήτων.

α 1012 Ἀκρόνυξ: τὸ ἄκρον τῆς νυκτός. καὶ Ἀκρονυχία ὁμοίως διὰ τοῦ ο μικροῦ. Ἀκρώνυξ δὲ καὶ Ἀκρωνυχία, τὸ ἄκρον τοῦ ὄνυχος καὶ τοῦ ὄρους, διὰ τοῦ ω μεγάλου.

α 1013 Ἀκροῶ· γενικῇ.

α 1014 Ἀκροποδιτί: ἄκροις ποσίν.

α 1015 Ἀκρόπολις· Δαμάσκιος· τὰ γὰρ ἐπιφανέστατα τῶν ὀχυρωμάτων ὡς ἐπίπαν κοινὴν ἔχει τὴν φύσιν. γνοίη δ’ ἄν τις τὸ λεγόμενον ἐκ τῶν περὶ τὰς ἀκροπόλεις συμβαινόντων. αὗται γὰρ δοκοῦσι μὲν μεγάλα συμβάλλεσθαι πρὸς ἀσφάλειαν τῶν πολεμίων, ἐν οἷς ἂν ὦσι, καὶ πρὸς τὴν τῆς ἐλευθερίας φυλακήν, γίνονται δὲ καὶ πολλάκις αἴτιαι δουλείας καὶ κακῶν ὁμολογουμένων, ὥς φησι Πολύβιος.

α 1016 Ἀκροπόλοισιν: ἀκρωρείαις.

α 1017 Ἀκροστόλια: τὰ ἄκρα τῆς νηός. τὰ δὲ ἐμπρόσθια τῆς σχεδίας ἠρέμα πρὸς τὸ μετέωρον ἐς πρώρας τύπον περιαγαγόντες καὶ ὑποκάμψαντες, ὥσπερ ἀκροστόλια νηὸς καὶ προέμβολα ἐκμιμησάμενοι. καὶ Ἀρριανός· τά τε ἀκροστόλια τῆς βασιλίδος νηὸς χρυσᾶ.

α 1018 Ἀκροσφαλεῖς: ἄκρως ἐσφαλμένους. ὁ δὲ ἐκέλευσε χωρεῖν ἐπὶ τοὺς ἄποδας καὶ ἀκροσφαλεῖς Οὔννους. ἄνευ γὰρ ἵππων οὐ ῥᾳδίως ἂν Οὖννος τὴν γῆν πατήσειεν.

α 1019 Ἀκροσφαλεῖς: ἐν τῷ βαδίζειν σφαλλόμενοι. τουτέστιν οἱ Οὖννοι. Φιλοκτήτῃ· ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς κεῖται· παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα. χρὴ δ’ ἐκτὸς ὄντα πημάτων τὰ δεῖν’ ὁρᾶν· χὤταν τίς εὖ ζῇ, τηνικαῦτα τὸν βίον σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

α 1020 Ἀκροτελεύτιον ἔπος: κυρίως τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικοῦ. χρῶνται δὲ καὶ ἐπὶ τοῦ πεζοῦ. παρὰ δὲ Θουκυδίδῃ, τὸ ἄκρον τοῦ τέλους τοῦ στίχου. καλεῖται δὲ ἄκρον καὶ ἡ ἀρχὴ τοῦ στίχου.

α 1021 Ἀκρότομος: σκληρὸς, ὑψηλός. ἢ ὀξύτατος λίθος, ὁ τέμνων. καὶ Ἀκρότομος πέτρα, ἡ σκληρὰ καὶ ἄτμητος. Ἀκρότομον δὲ ὄρος, τὸ δυνατὸν, παρὰ τῷ Ἰὼβ. ἐν Αὐρασίῳ τῷ ὄρει πέτρα ἀκρότομος ἦν κρημνῶν μέσον ἀνέχουσα· ὃ δὴ πύργον οἱ πάλαι ἄνθρωποι βραχὺν κομιδῇ ποιησάμενοι καταφυγήν τινα ἰσχυρὰν καὶ ἀμήχανον τῆς τοῦ χωρίου φύσεως σφίσι ξυλλαμβανούσης ἐδείμαντο.

α 1022 Ἀκροφυσίων λόγους· ζήτει ἀπ’ ἀκροφυσίων λόγους ἐνδεικνύναι.

α 1023

Ἀκροχειρίζεσθαι: πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ’ ἄλλου γυμνάζεσθαι. καὶ Ἀκροχερσίτης οὕτω καλούμενος. λαμβανόμενος γὰρ ἄκρων τῶν χειρῶν τοῦ ἀνταγωνιστοῦ ἔκλα καὶ οὐ πρότερον ἠφίει, πρὶν αἴσθοιτο ἀπαγορεύσαντος. ἦν δὲ καὶ Λεοντίσκος, Μεσσήνιος ἐκ Σικελίας, παραπλησίως ἀγωνιζόμενος· οὗτος δὲ ἐπάλαιε. καὶ Ἀκροχειρὶς, τὸ ἄκρον τῆς χειρός.

α 1024 Ἀκρόχολος: ὁ πρὸς ὀλίγον ὀργιζόμενος. Ἀκρόχωλος δὲ, διὰ τοῦ ω μεγάλου, ὁ πρὸς ὀλίγον χωλεύων.

α 1025 Ἀκρωλένιον: τὸ ἄκρον τῆς χειρός.

α 1026 Ἄκρων· Ἀκραγαντῖνος, ἰατρὸς, υἱὸς Ξένωνος, ἐσοφίστευσεν ἐν ταῖς Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστιν οὖν πρεσβύτερος Ἱπποκράτους. ἔγραψε Περὶ ἰατρικῆς Δωρίδι διαλέκτῳ, Περὶ τροφῆς ὑγιεινῶν βιβλίον α′. ἔστι δὲ καὶ οὗτος τῶν τινα πνεύματα σημειωσαμένων. εἰς τοῦτον ἐποίησεν Ἐμπεδοκλῆς τωθαστικὸν ἐπίγραμμα· ἄκρον ἰατρὸν Ἄκρων’, Ἀκραγαντῖνον, πατρὸς ἄκρου, κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης. τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται· ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει. τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.

α 1027 Ἀκρώνυξ: τὸ ἄκρον τοῦ ὄνυχος καὶ τὸ ἄκρον τοῦ ὄρους. καὶ Ἀκρωνυχία ὁμοίως. ὁ δὲ φυλακῇ τινι ἐπὶ τῆς ἀκρωνυχίας ἐντυχὼν, ταύτῃ αἰφνιδίῳ προσβολῇ ἐτρέψατο. ἔστι δὲ καὶ Ἀκρωνυχία, ἡ ἀκρώρεια τοῦ ὄρους. καὶ Ξενοφῶν· ἐπεὶ δὲ ἑώρα Χειρίσοφος προκατειλημμένην τὴν ἀκρωνυχίαν τοῦ ὄρους, ἀφ’ ἧς ἡ κατάβασις ἦν εἰς τὸ πεδίον. ἐνδοτέρω χωρούντων ἀκρωνυχία ὄρους ἐπανίστατο.

α 1028 Ἀκρώρεια: ἐξοχὴ, κορυφή. εἰς τρία γὰρ διῄρητο τὸ ὄρος, εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, εἰς τέρμα. ἀκρώρεια μέν ἐστιν ἡ κορυφή, ὑπώρεια δὲ τὰ πλευρὰ τοῦ ὄρους, τέρμα δὲ τὰ τελευταῖα. καὶ πόδες.

α 1029 Ἄκρος: ἀντὶ τοῦ τέλειος. εἰς ἄκρον ἐληλακώς. Ἄκρως δὲ ἐπίρρημα.

α 1030 Ἀκρωτηριάζω· αἰτιατικῇ. τέμνω τὰ ἄκρα. καὶ Ἀκρωτηριασμός.

α 1031 Ἀκρωτήριον.

α 1032 Ἀκταίη: ἡ παραθαλασσία. ἐν Ἐπιγράμμασι· δῶρα παρ’ ἀκταίης σοὶ τάδ’ ἐπωφελίης. καὶ αὖθις· καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων.

α 1033 Ἀκταίνειν: ἀκολασταίνειν. γαυριᾶν καὶ ἀτάκτως πηδᾶν, ἢ πρὸς συνουσίαν ὁρμᾶν.

α 1034 Ἀκταίων: Ἀκταίωνος, ὄνομα κύριον. καὶ Ἀκταιονίδων. τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων. ἐν Ἐπιγράμμασι. Ἀκταιονίδων διὰ τὸ ο μικροῦ διὰ τὸ μέτρον.

α 1035 Ἀκτή: αἰγιαλὸς παραθαλάσσιος.

α 1036 Ἀκτή: ἰδίως ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς, ὅθεν καὶ ὁ Ἀκτίτης λίθος. ἐκάλουν δὲ οὕτως καὶ τὴν Ἀττικὴν, οἱ μὲν ἀπό τινος Ἀκταίωνος βασιλέως, οἱ δὲ διὰ τὸ τὴν πλείω τῆς χώρας ἐπιθαλάττιον εἶναι.

α 1037 Ἄκτια: ἀγὼν παλαιὸς, ὡς Καλλίμαχος ἐν τῷ περὶ τῶν Ἀγώνων δῆλον ποιεῖ.

α 1038 Ἀκτίτης λίθος· ἄνω ἐν τῷ ἀκτή.

α 1039 Ἀκοινώνητος: ὁ ἀκριβής.

α 1040 Ἀκοίτης: ἀρσενικῶς ὁ ἀνήρ. Ἄκοιτις δὲ θηλυκῶς, ἡ γυνή. καὶ τὸ πληθυντικὸν τὰς ἀκοίτις.

α 1041 Ἀκύλας· φιλόσοφος. σχόλια λογικὰ γεγραφὼς περὶ συλλογισμῶν.

α 1042 Ἀκύλας· γραμματικὸς, μουσικός.

α 1043 Ἀκυληΐα: πόλις Ἰταλίας πολυάνθρωπος, προκειμένη ἐν θαλάττῃ. καὶ Ἀκυληΐσιοι, οἱ πολῖται.

α 1044

Ἀκύλλιος· ὄνομα κύριον.

α 1045 Ἄκυλος: τῆς πρίνου ὁ καρπός. Ἔκυλος δὲ εἶδος βοτάνης.

α 1046 Ἀκύμονα: ἀτάραχον. καὶ Ἀκύμων, μὴ γεννῶσα, ὡς ἐγκύμων ἡ συνειληφυῖα. καὶ Ἀκυμότερος.

α 1047 Ἅλα: θάλασσαν.

α 1048 Ἀλλά: ἀντὶ τοῦ ὅταν δὲ καὶ ἀντὶ τοῦ γε.

α 1049 Ἅλα: τὰ κόπρια. ἐν Ὀδυσσείᾳ· οὐ σύ γ' ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης.

α 1050 Ἀλαβαστοθήκας: τὰς θήκας τῶν ἀλαβάστων Δημοσθένης λέγει. ἐν τῇ συνηθείᾳ μυροθήκας καλοῦσιν. ἀλάβαστοι δέ εἰσι λήκυθοι, ὧν οὐκ ἔστι λαβέσθαι διὰ λειότητα. Ἀριστοφάνης· ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα. ὡσεὶ ἔλεγε κοχλιάριον ἕν.

α 1051 Ἀλάβαστρον: ἄγγος μύρου μὴ ἔχον λαβὰς λιθίνου ἢ λίθινος μυροθήκη.

α 1052 Ἀλλὰ γάρ: ἀντὶ τοῦ δέ. Εὔπολις. Ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔ ποτε τρόπαιον ἔστησαν: ἡ παροιμία ἐπὶ τῶν δι' ἀθυμίαν μηδὲν γενναῖον πράττειν δυναμένων.

α 1053 Ἄλλα δ' ἀλλαχοῦ καλά: παρόσον τὰς Εὐμενίδας ἄλλοι ἄλλως καλοῦσιν. ἄλλα οὖν ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας κατ' εὐφημισμόν, τὰς Ἐριννύας.

α 1054 Ἄλλαγμα· ὁ προφήτης φησί· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν.

α 1055 Ἀλαζονεύεσθαι· γενικῇ.

α 1056 Ἀλαζονεία: ὑπερηφανία. Πολύβιος· τοῖς γὰρ πλείστοις ὑπεγεγόνει τις ζῆλος οὐκ εὐτυχὴς ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ ἀκαιρίας. παρὰ δὲ τῷ Ἀποστόλῳ τοὺς ἐφ' οἷς οὐκ ἔχουσιν αὐχοῦντας, ὡς ἔχοντας, ἀλαζόνας νοητέον. καὶ Ἰώσηπος· ἦν γὰρ αὐτοῖς ἀλαζονεία, ὡς ἐπ' ἀγαθοῖς καιομένης τῆς πόλεως.

α 1057 Ἀλαζών: πλάνος, ὑπερήφανος, ψευδής. παρὰ τὸ ἐν ἄλῃ ζῆν. καὶ Ἀλαζονοχαυνοφλύαρος, ὁ μέθυσος καὶ λῆρος. ἢ Ἀλαζών, ἄλλως ζῶν, ὁ ἐστι ματαίως. ἰδίως δὲ ἀλαζόνας τοὺς ψεύστας ἐκάλουν, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν μὴ ἴσασιν.

α 1058 Ἀλαζών: ὁ ἀλώμενος. οὕτως Ἀλκαῖος. Πλάτων δὲ ἀλαζόσιν, ἀντὶ τοῦ ψεύσταις. ἢ Ἀλαζών, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. ὁ δὲ πρὸς ἕκαστον τῶν προσιόντων ἠλαζονεύετο, συμπλάττων ἀπὸ τῶν εἰκότων.

α 1059 Ἀλαλαγμός: ἐπινίκιος ὕμνος. ἢ φωνὴ ὑπὸ τῶν θαρραλεωτέρων κατὰ τῶν δειλιώντων. Ἀλαλαγμὸς οὖν ὕψωμα φωνῆς. καὶ δοτικῇ Ἀλαλάξατε, κροτήσατε.

α 1060 Ἀλαλαλαὶ ἰὴ παίων: ἐπιφώνημα χοροῦ.

α 1061 Ἀλάλημαι: τεθορύβημαι, πεπλάνημαι. καὶ Ἀλαλύκτημαι ὁμοίως.

α 1062 Ἀλαλητόν: θόρυβον. κατὰ πλεονασμὸν τοῦ ἐπιτατικοῦ α.

α 1063 Ἀλαλκεῖν: ἀποδιῶξαι, ἀποσοβῆσαι. τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν; ἡνίκ' ἀλαλκεῖν τῶν παίδων ἀΐδην οὐδὲ θεοῖς δύναμις.

α 1064 Ἄλλα μὲν ὁ Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων.

α 1065 Ἀλανεία: ἡ ἀλαζονεία.

α 1066 Ἀλλ' ἀντέπεσε τὴν ἐπ' ἄγκυραν θεός: ἐπὶ τῶν παρ' ἐλπίδα γενομένων. παρόσον οἱ ναῦται πολλάκις ἡγούμενοι ἄγκυραν βάλλειν ἢ προσορμιεῖσθαι εἰς τοὐπίσω ἔπλευσαν.

α 1067 Ἀλλαντοπώλης: ὁ εἴδη ἐντέρων πωλῶν, ἐντεροπώλης. ἀλλᾶς γὰρ τὸ ἔντερον, ἀλλᾶντος. ἀντὶ τροπαίου ἔστησαν τῷ στρατηγῷ σημεῖον. ἀλλᾶντάς τε αὐτοῦ ἀποκρεμάσαντες τοῖς πολεμίοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σὺν γέλωτι ἐπετώθαζον. Ἀριστοφάνης· ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων. Ἀπατούρια δὲ ἑορτὴ δημοτελὴς ἀγομένη παρ' Ἀθηναίοις.

α 1068 Ἀλλὰ νῦν· ὦ θεοὶ πατρῷοι συγγένεσθ' ἀλλὰ νῦν. ἀντὶ τοῦ διὰ τάχους ἡ τραγῳδία φησί.

α 1069 Ἀλλαξάμενος· Ἀππιανός· ὅτι πατρίδα καὶ γένος ἀλλαξάμενος ἥκοι τὸ μηδὲν ἡγησάμενος ἢ τὰ τῶν Οὐολούσκων ἀντὶ τῆς πατρίδος αἱρήσεσθαι βουληθείς.

α 1070 Ἀλλαξάμενος: προτιμήσας. ὑπὲρ τοῦ κέρδους ὁ κακοδαίμων τὴν πήρωσιν ἀλλαξάμενος· καὶ ἦν παράδειγμα καὶ παίδευμα πᾶσιν ὥστε μὴ τολμᾶν μηδὲ κερδαίνειν παραπλήσια.

α 1071 Ἀλαός: ὁ τυφλός. κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν. καὶ Ἀλαοσκοπιήν. Ὅμηρος· οὐδ' ἀλαοσκοπιὴν εἶχε. παροιμιακῶς· ἀντὶ τοῦ οὐ τυφλῶς ἐσκοπίαζεν.

α 1072 Ἀλαοτόκος: ὁ τυφλὰ γεννῶν.

α 1073 Ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη· τὴν παροιμίαν δ' ἐπαινῶ τὴν παλαιάν. ὑπὸ λίθῳ γὰρ παντί που χρὴ μὴ δάκῃ ῥήτωρ ἀθρεῖν. ἡ δὲ παροιμία· ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει· φυλάσσεο.

α 1074 Ἀλαπάξαι: πορθῆσαι, κενῶσαι, ὁμαλίσαι. ἀπὸ μεταφορᾶς λαπάθου βοτάνης, κενωτικῆς γαστρός.

α 1075 Ἀλλαρίοις: σιτηρεσίοις. ὁ δὲ Μακεδόνιος συνέταξεν ἐκκλησιαστικοῖς ἀλλαρίοις ἀποτρέφεσθαι.

α 1076 Ἀλλᾶς, ἀλλᾶντος: εἶδος ἐντέρου ἐσκευασμένου. καὶ Ἀλλαντοπώλης, ὁ ταῦτα πωλῶν.

α 1077 Ἅλας ἄγων καθεύδεις: ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων. ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. ὅθεν καὶ ἡ παροιμία, ἁλῶν δὲ φόρτος, ἔνθεν ἦλθεν, ἔνθ' ἔβη.

α 1078 Ἅλας θυμίτας: ἐκ θύμων κατασκευασθέντας. καὶ ἑτέρα παροιμία· Ἅλασιν ὕει, ἐπὶ τῆς ἄγαν εὐθηνίας.

α 1079 Ἄλαστε: ἀνεπίληστε. τέκνον ἐμὸν ἄλαστον.

α 1080 Ἀλαστήσειεν: ἀνεπιλήστως δεινοπαθήσειεν.

α 1081 Ἀλλ' ἔστιν ἡμῖν Μεγαρική τις μηχανή: ἀντὶ τοῦ πονηρά, πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες.

α 1082 Ἀλάστωρ: πικρὸς καὶ φονικὸς δαίμων, τιμωρῶν, καὶ ἀνεπίληστα ἔργα ποιῶν. ὁ δὲ ἔγραφε πικρῶς καὶ παραστατικῶς ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς, εἰ οὕτως αἰσχρῶς προήσονται τοὺς τόπους, μηδὲν παθόντες ἢ ἰδόντες κακόν. Ἀλάστωρ, ὁ τοιαῦτα τολμήσας, ὧν μή ἐστιν ἐπιλαθέσθαι.

α 1083 Ἀλᾶται: πλανᾶται, ῥέμβεται.

α 1084 Ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον σοὶ δ' ἐγὼ φράζω κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δέ μ' ἀψευδεῖν ἀεί.

α 1085 Ἀλλαχῆ: ἀλλαχοῦ.

α 1086 Ἀλλάχθητε: ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς.

α 1087 Ἀλλὰ χρή: ἔστω. τοῦτο δηλοῖ συγκατάθεσιν· οἷον καὶ μάλα.

α 1088 Ἀλλαχοῖ καὶ Ἀλλαχόσε: τὸ εἰς τόπον, Ἀλλαχοῦ δὲ καὶ Ἀλλαχόθι τὸ ἐν τόπῳ.

α 1089 Ἄλβα: οἱ μάργαροι.

α 1090 Ἀλβανοί: ὄνομα ἔθνους Γαλατῶν. τούτων φασὶ τὴν γῆν εὐδαίμονα καὶ καρποὺς ἐνεγκεῖν οὖσαν ἀγαθήν, οἶνον ἡδὺν καὶ πολὺν ἔχουσαν.

α 1091 Ἄλβιος: ὄνομα κύριον. Ἄλβιος ἐς τὴν ἱππάδα τελῶν, τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1092 Ἄλγεα: κακά, λυπηρά.

α 1093 Ἀλγεινόεις: ὁ λυπηρός. καὶ Ἀλγεινός.

α 1094 Ἀλγεῖν τοῦ πονεῖν διαφέρει. ἀλγεῖν μὲν κατὰ σάρκα, πονεῖν δὲ τὸ ἐνεργεῖν.

α 1095 Ἀλγηδόνες.

α 1096 Ἀλγηρά: τὰ λυπηρά.

α 1097 Ἄλγησις: ἡ λύπη. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις· ὦ πρέσβυ, πρέσβυ, τοῦ φθόνου τὸν ψόγον ἤκουσα· τὴν δὲ ἄλγησιν οὐ παρεσχόμην. ἀντὶ τοῦ οὐκ ἐλυπήθην.

α 1098 Ἄλγητον καὶ Ἀνάλγητον.

α 1099 Ἀλγίστατον· τοῦτο δ᾽ ἐς ἀλγίστατον ἡμῖν.

α 1100 Ἀλγύνω· δοτικῇ. Ἀλγῶ σοι καὶ τὸ Ἀλγῦνον.

α 1101 Ἀλδῆσκος: ὄνομα ποταμοῦ.

α 1102 Ἀλδήσκω: τὸ αὐξάνω.

α 1103 Ἀλαιεύς: ὄνομα δήμου.

α 1104 Ἀλαινής: ὁ μαινόμενος.

α 1105 Ἀλέα: θέρμη, ἔλλαμψις. πυρὰ δὲ ἀνεκαίετο, ὡς ἅμα μὲν φῶς, ἅμα δὲ ἀλέα παριοῦσιν ᾖ. κρύος γὰρ ἦν.

α 1106 Ἀλεάζειν: ἐκκλίνειν.

α 1107 Ἀλέας: πόλις Θεσσαλική. οἱ δὲ πολῖται Ἀλεῖς.

α 1108 Ἀλέγοις: ἀρήγοις, βοηθοίης. ἀλέγοις δ᾽ ἀνέρι καὶ πενίῃ. Ἀλέγω· σημαίνει καὶ τὸ οὐ φροντίζω. καὶ Ὅμηρος· οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλῃ.

α 1109 Ἀλεαίνοιμι: θερμαινοίμην. ἔπειθ᾽ ἵν᾽ ἀλεαίνοιμι τοῦτ᾽ ἠμπισχόμην. Ἀριστοφάνης. Ἀλεαίνειν· ἀπὸ τοῦ ἀολλίζεσθαι ἡμᾶς ἐν ταῖς ἡμέραις. καὶ ἐν Ἀθήναις Ἡλιαία δικαστήριον ἦν, ἀπὸ τῆς συναγωγῆς τῶν ἀνθρώπων. οἱ δὲ ἀπὸ τοῦ ἀλεαίνειν, ὅ ἐστι θερμαίνειν καὶ διαχεῖν. τινὲς δὲ ἀπὸ τῆς γινομένης διαπνεύσεως ἐκ τοῦ στόματος πρὸς τοὺς δακτύλους· ὃ λέγεται αὔειν καὶ ἅζειν κατὰ μίμησιν τῆς φωνῆς, τῆς ἐκ τοῦ στόματος.

α 1110 Ἀλεαίνωσιν: ἀντὶ τοῦ θερμαίνοιντο. πῦρ ἀνέκαυσαν, ὅπως αὐτοί τε ἀλεαίνωσι καὶ τοῖς Ῥωμαίοις κατὰ χώραν μένειν δόξαν παράσχωσιν.

α 1111 Ἀλεεινός: θερινός, θερμός. Ξενοφῶν· χιόνος δὲ ἐπιπεπτωκυίας ὄκνος ἦν πολὺς ἀνίστασθαι. κατακειμένων δὲ ἀλεεινὸς ἦν ὁ χειμών, ὅτῳ μὴ παραρρυείη.

α 1112 Ἀλεείνω: ἐκκλίνω.

α 1113 Ἀλεκινός: ὁ δυνατός.

α 1114 Ἀλεκτορίδες: αἱ θήλειαι ὄρνις. καὶ τὰς ἀλεκτορίδας δὲ αὐτὰς ἀπέκτειναν, τοῦ μὴ κελαδούσας καὶ ᾀδούσας ἐπὶ τοῖς ᾠοῖς μηνῦσαι τὸν μοιχόν. καὶ Ἀλεκτορίδης, ὁ τοῦ ἀλέκτορος. ὅτι Περσικὸς ὄρνις ὁ ἀλέκτωρ λέγεται διὰ τὴν λοφίαν. καὶ ζήτει ἐν τῷ Περσικὸς ὄρνις.

α 1115 Ἀλέκτωρ πίνει καὶ οὐκ οὐρεῖ. μυξὸς οὐ πίνει καὶ οὐρεῖ: λέγεται ἡ ἐπῳδὴ αὕτη εἰς δυσουρίαν ὄνου.

α 1116 Ἄλεκτρα καὶ ἄνυμφα: ἀντὶ τοῦ παράνομα καὶ οὐ νενομισμένα, διὰ τὴν μοιχείαν. τουτέστι δύσλεκτρα καὶ κακόνυμφα. Σοφοκλῆς· ἄλεκτρ᾽ ἄνυμφα γὰρ ἐπέβη μιαιφόνων γάμων ἁμιλλήματα.

α 1117 Ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον· ᾄδονται δὲ εὐγενεῖς οὗτοι. ἀφίησι τῷ Ἀσκληπιῷ ἀνάθημά τε καὶ ἄθυρμα εἶναι, οἱονεὶ θεράποντα καὶ οἰκέτην περιπολοῦντα τῷ νεῷ τὸν ὄρνιν, ὁ Ἀσπένδιος

ἐκεῖνος. καὶ παροιμία· ἀλεκτρυόνος μ’ ἔφασκε κοιλίαν ἔχειν. ταχὺ γὰρ καθεψεῖς τ’ ἀργύριον. ζήτει περὶ πλήκτρων αὐτῶν ἐν τῷ αἶρε πλῆκτρον.

α 1118 Ἀλλ’ ἐμός γ’ οὐκ ἂν ἐκ τᾶς ἔλθῃ πόκα πορπησάμενος: ὁ ἐμός, φησίν, ἀνήρ, οἷον περονησάμενος. ἀντὶ τοῦ ἀποβαλὼν τὴν ἀσπίδα. ἅμα τῷ παρεῖναι ἄπεισιν εἰς τὸν πόλεμον, καὶ οὐκ ἂν ἀπέλθοι τῆς μάχης.

α 1119 Ἀλεξάνδρεια: ὄνομα πόλεως. καὶ ὁ πολίτης Ἀλεξανδρεύς· καὶ Ἀλεξάνδρειος.

α 1120 Ἀλεξανδρέων φονοκτονία· ζήτει ἐν τῷ Ἀντωνῖνος.

α 1121 Ἀλέξανδρος, ὁ Φιλίππου καὶ Ὀλυμπιάδος, βασιλεύσας Μακεδόνων ἀπὸ ἐνιαυτῶν ιη′, τελευτήσας δὲ ἐτῶν λγ′. οὗτος ἦν τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος, τὴν γνώμην ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος, ἡδονῶν τε τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαινουμένων ἁπλούστατος· ξυνιδεῖν δὲ τὸ δέον, ἔτι ἐν τῷ ἀφανεῖ ὄν, δεινότατος καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι δαημονέστατος. καὶ πρὸς πᾶν καλὸν ἐπιτηδειότατος. πρὸς τούτοις ἦν ἐπιεικὴς καὶ θεοσεβής. ὀργισθεὶς γάρ ποτε Θηβαίοις ἐπὶ τοσοῦτον, ὥστε τοὺς μὲν οἰκήτορας ἐξανδραποδίσασθαι, τὴν δὲ πόλιν ἐς ἔδαφος κατασκάψαι, τῆς γε πρὸς τοὺς θεοὺς εὐσεβείας οὐκ ὠλιγώρησε περὶ τὴν κατάληψιν τῆς πόλεως· ἀλλὰ πλείστην ἐποιήσατο πρόνοιαν ὑπὲρ τοῦ μὴ δ’ ἀκούσιον ἁμάρτημα γενέσθαι περὶ τὰ ἱερὰ καὶ καθόλου τὰ τεμένη. ὅτι τὸ μεγαλήγορον τοῦ Ἀλεξάνδρου οὐχ ὑπέρογκον μᾶλλόν τι ἢ εὐθαρσὲς ἐν τοῖς κινδύνοις ἐφαίνετο. Ῥωξάνης δὲ ἠράσθη ὁ Ἀλέξανδρος τῆς Ὀξυάρτου τοῦ Βακτριανοῦ, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες μετά γε τὴν Δαρείου γυναῖκα. καὶ ταύτην ἰδόντα Ἀλέξανδρον εἰς ἔρωτα ἐλθεῖν αὐτῆς· ἐρασθέντα δὲ οὐκ ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου ἐπαινῶ μᾶλλόν τι ἢ μέμφομαι. καίτοι τῆς γε Δαρείου γυναικός, ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν, ἢ οὐκ ἦλθεν ἐς ἐπιθυμίαν ἢ καρτερὸς αὑτοῦ ἐγένετο, νέος τε ὢν καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν ἄνθρωποι. ὁ δὲ κατηδέσθη τε καὶ ἐφείσατο σωφροσύνῃ τε πολλῇ διαχρώμενος, καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπῳ ἐφέσει. καὶ τοίνυν καὶ λόγος κατέχει, ἀποδράντα ἐλθεῖν παρὰ Δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός. καὶ τοῦτον ὡς εἶδεν ὁ Δαρεῖος, πρῶτα μὲν πυθέσθαι, εἰ ζῶσιν αὐτῷ αἱ παῖδες καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ καὶ ἡ μήτηρ. ὡς δὲ ζώσας τε ἐπύθετο, καὶ βασίλισσαι ὅτι καλοῦνται, καὶ περὶ τῆς θεραπείας, καὶ ὡς σωφρονεῖ ἡ γυνὴ αὐτοῦ· ἐπὶ τούτοις ἀνατεῖναι τὸν Δαρεῖον ἐς τὸν οὐρανὸν τὰς χεῖρας καὶ εὔξασθαι ὧδε· ἀλλ’ ὦ Ζεῦ βασιλεῦ, ὅτῳ ἐπιτέτραπται τὰ βασιλέων πράγματα νέμειν ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοὶ φύλαξον Περσῶν τε καὶ Μήδων τὴν ἀρχήν, ὥσπερ οὖν καὶ ἔδωκας· εἰ δὲ δὴ ἐγὼ οὐκ ἔτι σοι βασιλεὺς τῆς Ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ ὅτι μὴ Ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος. οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται ὅσα σώφρονα ἔργα. οὕτω φησὶν Ἀρριανός. Νέαρχος δέ φησιν, ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο, ὅσοι ἐκόμιζον αὐτὸν ἀρρωστοῦντα, ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι. καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε καὶ αὑτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει. καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἡδονῆς ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι τῶν κινδύνων. ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν θαυμαστὸν βίον ἐβίωσε· πίστιν δὲ τοῖς εἰρημένοις ἐχέγγυον ἡ τῶν ἀγώνων παρέσχε πρᾶξις. οὐδὲ γάρ ἐστιν εὑρεῖν ἐν παντὶ τῷ τοῦ κόσμου κύκλῳ ἕνα ἄνδρα, τοσούτοις κατορθώμασι πλεονεκτοῦντα. τοῖς τε γὰρ ἀρίστοις συμφοιτήσας ἀνδράσιν, εἴς τε λόγους οὐ μείων τῶν εἰς ἄκρον ἐπαινουμένων εὑρέθη· πρός τε τὰ πολέμια διελθών, θαυμαστὰ μᾶλλον ἢ πειθοῦς ἄξια διεπράξατο. καὶ πρὸς Δαρεῖον τὸν Περσῶν βασιλέα συνάψας πόλεμον, τοῦτον

κατακράτος νικᾷ. κἀκεῖνος αἰτεῖται εἰς διαλλαγὰς ἐλθεῖν, καὶ δοῦναι αὐτῷ καὶ τὴν θυγατέρα Ῥωξάνην πρὸς γάμου κοινωνίαν. ὁ αὐτὸς πάντα τὰ ἔθνη καταστρεψάμενος διεφθάρη τὸν νοῦν καὶ πρὸς τὰς τοῦ σώματος ἡδονὰς διωλίσθησε, Περσικήν τε στολὴν ἐνδυσάμενος, μυρίοις δὲ νέοις δορυφορούμενος, τʹ τε παλλακαῖς χρώμενος, ὡς τὴν Μακεδονικὴν πᾶσαν τῶν βασιλέων συνήθειαν εἰς Πέρσας μεταρυθμίσαι, καὶ τῶν ἰδίων τινὰς διαβληθέντας ἀνελεῖν. ὕστερον δὲ εἰς Ἰνδίαν ἀφικόμενος ὑπὸ Κανδάκης τῆς βασιλίσσης συνελήφθη ἐν ἰδιώτου σχήματι. καὶ εἶπεν αὐτῷ, Ἀλέξανδρε βασιλεῦ, τὸν κόσμον παρέλαβες καὶ ὑπὸ γυναικὸς συνεσχέθης; καὶ εἰρήνην πρὸς αὐτὴν ἐποιήσατο καὶ τὴν χώραν αὐτῆς ἀβλαβῆ διεφύλαξεν. ὅτι ὁ αὐτὸς ἀνδράσιν ἐνέτυχεν ὑπὸ Περσῶν πάλαι ἐν Ἑλλάδι ληφθεῖσιν, ἠκρωτηριασμένοις τὰς χεῖρας, οὓς μεγάλαις δωρεαῖς ἐφιλοφρονήσατο καὶ παρεμυθήσατο. εἰς δὲ τὴν λίμνην τὴν ἐν Ἀλεξανδρείᾳ ἀφικόμενος τὸ διάδημα ἀπέβαλεν, ὄμβρου πολλοῦ καταρραγέντος καὶ μόλις ἐπὶ τὴν γῆν διενήξατο. καὶ ὑπὸ Κασάνδρου τοῦ ἰδίου στρατηγοῦ φάρμακον δεξάμενος ἐσπαράχθη· καὶ οὕτως ἐπὶ τοσούτοις κατορθώμασι τὸν βίον μετήλλαξεν.

α 1122 Ὅτι Ἀλέξανδρος φιλήκοος ἦν, εἴπερ τις ἄλλος, τῶν μουσικῶν. Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὅν ποτε αὐλοῦντα λέγουσι τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον ἐπικαλούμενον, ἐς τοσόνδε ἐκπλῆξαι Ἀλέξανδρον τοῖς μέλεσιν, ὥστε μεταξὺ ἀκούσαντα ἀναΐξαι ἐπὶ τὰ ὅπλα· τὸν δὲ φάναι, ὅτι τοιαῦτα χρὴ εἶναι τὰ βασιλικὰ αὐλήματα. οὗτός τε δὴ ὁ Τιμόθεος ἀνεληλύθει πρὸς αὐτὸν σπουδῇ μετάπεμπτος γενόμενος.

α 1123 Ὅτι οὗτος ὁ μέγας Ἀλέξανδρος, νικήσας ναυμαχίαν Λακεδαιμονίους καὶ τειχίσας τὸν Πειραιᾶ καὶ ἑκατόμβην θύσας πάντας εἱστίασεν Ἀθηναίους.

α 1124 Ἀλέξανδρος ὁ Μαμαίας· σὺν τῇ μητρὶ ἄρξας ὑπ' ἐκείνῃ πάντα διῴκει, ἥτις πανταχόθεν ἐφρούρει τὴν ἀρχήν. δικάζειν τε οὖν αὐτὸν ἔπειθεν ἐπὶ πλεῖστον, ὡς ἂν ἐν τούτοις ἀσχολούμενος μὴ ἔχοι καιρὸν ἐς τὸ ἐπιτηδεύειν τι τῶν ἁμαρτημάτων. ὑπῆρχε δὲ αὐτῷ καὶ φυσικὸν ἦθος πρᾶον καὶ ἥμερον ἔς τε τὸ φιλάνθρωπον πάνυ ἐπιρρεπές. ἐς τεσσαρεσκαιδέκατον οὖν ἔτος ἄρξας τῆς βασιλείας, ἀναιμωτὶ ἦρξε, καίτοι τινῶν μεγίσταις αἰτίαις ὑποπεσόντων, ὡς μετὰ τὴν Μάρκου τελευτὴν τὴν βασιλείαν θαυμάζειν Ἀλεξάνδρου. ᾐτιᾶτο δὲ καὶ τὴν μητέρα καὶ πάνυ ἤσχαλλεν ὁρῶν αὐτὴν οὖσαν φιλοχρήματον καὶ πολλὰ ἐξ ἐπηρειῶν θησαυρίζουσαν. πολλὰ δὲ ὑπ' αὐτῆς ἠναγκάζετο πράττειν· ἦρχε γὰρ αὐτοῦ ὑπερβαλλόντως ἡ μήτηρ. ἥτις ἀπῆγε τῶν αἰσχρῶν καὶ ἀπρεπῶν τοῖς βασιλεῦσιν ἔργων, διδασκάλους τε πάσης παιδείας λάθρα μετεπέμπετο· ὁ δὲ παλαίστραις τε καὶ γυμνασίοις ἔχαιρε καὶ τοὺς διδασκάλους ἀπεσόβει. ἐς τοσοῦτον δὲ ἐξώκειλεν, ὡς δὴ πάντα τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῶν δημοσίων θεάτρων μεταγαγεῖν ἐπὶ τὰς ἀρχὰς τὰς μεγίστας. διὰ τοῦτο ἐμυσάττοντο αὐτόν.

α 1125 Ἀλέξανδρος, Ἱεραπόλεως ἐπίσκοπος, καὶ μάρτυς. ἔγραψε Τί καινὸν εἰσήνεγκε Χριστὸς εἰς τὸν κόσμον, κεφάλαια θʹ, λόγος νοημάτων γέμων.

α 1126 Ἀλέξανδρος, Ἀντιοχείας ἐπίσκοπος· ἐπὶ Ἰωάννου τοῦ Χρυσοστόμου· ὃς συμβαίνουσαν εἶχε τῇ ἀρχιερωσύνῃ τὴν πολιτείαν. ἐν ἀσκητικῇ γὰρ παλαίστρᾳ τὸν πρὸ τῆς ἐπισκοπῆς διατελέσας χρόνον καὶ γυμνασάμενος ἐπὶ πλεῖστον ὤφθη γενναῖος ἀγωνιστής, καὶ λόγῳ παιδεύων καὶ βεβαιῶν τῷ βίῳ τὸν λόγον· ὃς Πορφύριον διεδέξατο. ἐκεῖνος μὲν οὖν τῇ πυκνότητι διέπρεπε τῶν φρενῶν· ὁ δὲ Ἀλέξανδρος ἀσκήσει καὶ φιλοσοφίᾳ καὶ ἀκτήμονι βίῳ καὶ τῷ ῥεύματι τῆς γλώττης καὶ μυρίοις ἑτέροις πλεονεκτήμασι χάριτος.

α 1127 Ἀλέξανδρος Αἰτωλός· ἐκ πόλεως Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. οὗτος καὶ τραγῳδίας ἔγραψεν, ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.

α 1128

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλέξανδρος Αἰγαῖος· φιλόσοφος Περιπατητικός, διδάσκαλος Νέρωνος τοῦ βασιλέως, ἅμα Χαιρήμονι τῷ φιλοσόφῳ. υἱὸν δὲ ἔσχε Καίλινον ὄνομα. οὗτος ἐκάλει τὸν Νέρωνα πηλὸν αἵματι πεφυρμένον. κακῶν μαθητῶν, ὡς οἶμαι, κακίονες οἱ διδάσκαλοι· διδακτὴ γὰρ ἀρετὴ καὶ κακία ἀσκητή. ἔστι δὲ καὶ ἕτερος Ἀλέξανδρος Ἀφροδισιεύς, φιλόσοφος. καὶ ἄλλος, ὁ Νουμηνίου, σοφιστής. καὶ ἄλλος, Κλαύδιος χρηματίσας, σοφιστής. καὶ ἕτερος, ὁ Κασίλωνος, σοφιστής, ἀδελφὸς Εὐσεβίου τοῦ σοφιστοῦ, μαθητὴς δὲ Ἰουλιανοῦ. καὶ ἄλλος Ἀλέξανδρος, Ἀλεξάνδρου, δικηγόρου, Κίλιξ, Σελευκεύς, σοφιστής, ὃς ἐπεκλήθη Πηλοπλάτων.

α 1129 Ἀλέξανδρος ὁ Μιλήσιος· ὃς Πολυΐστωρ ἐπεκλήθη καὶ Κορνήλιος, διότι Κορνηλίῳ Λεντούλῳ αἰχμαλωτισθεὶς ἐπράθη καὶ αὐτῷ παιδαγωγὸς ἐγένετο, εἶτα ἠλευθερώθη. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ τῶν Σύλλα χρόνων καὶ ἐπὶ τάδε. ἀνῃρέθη δὲ ἐν Λαυρενταῖς ὑπὸ πυρὸς τῆς οἰκίας φθαρείσης· καὶ ἡ γυνὴ αὐτοῦ Ἑλένη μαθοῦσα τὸ συμβὰν ἀπήγξατο. ἦν δὲ γραμματικὸς τῶν Κράτητος μαθητῶν. οὗτος συνέγραψε βίβλους ἀριθμοῦ κρείττους. καὶ Περὶ Ῥώμης βιβλία ε′. ἐν τούτοις λέγει, ὡς γυνὴ γέγονεν Ἐβραία Μωσώ, ἧς ἐστι σύγγραμμα ὁ παρ’ Ἐβραίοις νόμος.

α 1130 Ἀλέξασθαι: ἐπαμύνειν. Ξενοφῶν· πολὺ γὰρ διέφερεν ἐκ χώρας ὁρμωμένους ἀλέξασθαι ἢ προπορευομένους ἐπιοῦσι τοῖς πολεμίοις μάχεσθαι.

α 1131 Ἀλέξαι: βοηθῆσαι. Ἀλλέξαι δὲ ἐπιλέξαι.

α 1132 Ἀλέξειν: ἀποτρέπειν.

α 1133 Ἀλεξήσοντα: βοηθήσοντα.

α 1134 Ἀλεξητῆρα: βοηθόν.

α 1135 Ἀλεξιάρη γῆ: ἡ τοῖς ἀνδράσι βοηθοῦσα.

α 1136 Ἀλεξιβέλεμνον: τὸν τὰ βέλη ἀπερύκοντα. ἐν Ἐπιγράμμασι· καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα.

α 1137 Ἀλεξίκακον: ἀλεξιφάρμακον, ἀντιφάρμακον. κακίας καθαρτικὸν καὶ θεραπευτικόν. καὶ Ἀλεξίκακε, τουτέστιν ἀποτρόπαιε, ὁ τὰ δεινὰ ἀπείργων.

α 1138 Ἄλεξις, Θούριος, ὅστις πρότερον Σύβαρις ἐκαλεῖτο, κωμικός. ἐδίδαξε δράματα σμε′· γέγονε δὲ πάτρως Μενάνδρου τοῦ κωμικοῦ. ἔσχε δὲ υἱὸν Στέφανον, καὶ αὐτὸν κωμικόν.

α 1139 Ἀλεξιφάρμακα: ἀλεξητήρια φαρμάκων. Μένανδρος Παιδίῳ· Ἐφεσία τοῖς γαμοῦσιν οὕτως περιπατεῖ, λέγων ἀλεξιφάρμακα.

α 1140 Ἀλεξόμενον: ἀμυνοῦντα. τὸν κακῶς ἄρξαντα κακῶσαι θέλειν, καθάπερ ἐπὶ τῶν κατ’ ἰδίαν ἀδικημάτων οἱ νομοθέται καὶ δικασταὶ πάσας τὰς τῶν συμβαινόντων βλάβας οὐκ ἐπὶ τὸν ἀλεξόμενον, ἀλλ’ ἐπὶ τὸν ἄρχοντα χειρῶν ἀδίκων ἀναφέρουσι. καὶ Ἀλεξομένους παρὰ Ἡροδότῳ ἀντὶ τοῦ ἀμυνουμένους ἢ ἐπιβοηθοῦντας. τριτημορὶς δὲ τῶν Μασσαγετῶν τοὺς περιλειφθέντας τῆς Κύρου στρατιῆς ἀλεξομένους ἐφόνευε. καὶ Ἀλέξασθαι, κωλύειν, ἀπείργειν. οἱ δὲ ἵπποι οὐκ ἦσαν αὐτῷ χρήσιμοι ἐς τὸ φεύγειν σὺν αὐτοῖς ἢ ἐπελαύνοντας ἀλέξασθαι τοὺς πολεμίους. καὶ αὖθις· εὔχετο δὲ ὁ Κῦρος τοσοῦτον ὑπερζῆν, ἔς τε νικῴη τοὺς εὖ καὶ κακῶς ποιοῦντας ἀλεξόμενος.

α 1141 Ἀλεωρή: ἔκκλισις καὶ φυλακή. πολλοὶ δὲ ὑπὸ χιόνος ἀπέθανον. καὶ οὐδ’ ἡτισοῦν ἀλεωρὰ ἦν, ἑκάστων ἑαυτοὺς διασῴζειν ἱκανὸν ἡγουμένων.

α 1142 Ἀλλ’ ἕπου χώρας τρόποις: ὅτι δεῖ χώρας ἑκάστης, ἐν ᾗ ἄν τις γένηται, μιμεῖσθαι τὰ ἔθη.

α 1143 Ἀλλ’ ἔσθι’ ἐλθὼν τοὺς Μεγακλέους κίονας: ὡς 〈εἰ〉 εἶπε τὸν πλοῦτον. ἐμφαίνει διὰ τούτων, ὅτι οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλή. ἀντὶ τοῦ τοὺς λίθους τῆς Μεγακλέους οἰκίας. οὗτοι γὰρ μόνοι κατελείφθησαν αὐτῷ πάντα φαγόντι. λέγει δὲ ὁ πρεσβύτης πρὸς τὸν υἱόν. Ἀριστοφάνης ἐν Νεφέλαις. ἐπὶ τῶν ἀνειμένως διαιτωμένων ὁ λόγος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1144 Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία· ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα. Αἴας φησίν. ζήτει ἐν τῷ ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.

α 1145 Ἀλετρεύουσιν: ἀλήθουσιν.

α 1146 Ἀλετρίβανος: οἱ μὲν δασέως παρὰ τὸ τοὺς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν. καὶ δοῖδυξ μὲν Ἀττικόν, ἀλετρίβανος δὲ Ἀσιανόν. λέγεται δὲ καὶ Ἁλότριψ. καὶ τοῦτον δικάρανον ἁλότριβα. καὶ Ἀλετρίς, ἡ μυλωθρὸς παρὰ Καλλιμάχῳ.

α 1147 Ἀλέοιμι: ἀντὶ τοῦ θερμαίνοιμι. Ἀριστοφάνης.

α 1148 Ἀλεύετο: ἐξέφευγεν.

α 1149 Ἄλευε: Ἴωνες τὸ φύλαξαι οὕτως λέγουσι. καὶ παροιμία· ἄλευ' ἀπὸ μείζονος ἀνδρός.

α 1150 Ἀλευάδαι: οἱ ἐν Λαρίσσῃ τῆς Θεσσαλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες.

α 1151 Ἀλευρότησις: τὸ λεπτὸν τοῦ ἀλεύρου. ἡ πασπάλη παρὰ πολλοῖς λεγομένη.

α 1152 Ἁλεία: ἡ ἄγρευσις.

α 1153 Ἀλείατα: τὰ ἄλευρα.

α 1154 Ἄλειμμα: ἐκ τοῦ ἀλείφω. Ἄλιμα δὲ βοτάνη.

α 1155 Ἄλειον: τὸ τοῦ Ἡλίου ἱερὸν κατὰ Ῥοδίους. σημαίνει ὕδωρ. καὶ Ἄλειος ὁ Ζεύς.

α 1156 Ἀλείπης: πηγὴ ἐν Ἐφέσῳ.

α 1157 Ἀλεῖπται: οἱ πρὸς τοὺς ἀγῶνας ἐπασκοῦντες. ὁ Θεολόγος· ἀλεῖπται τῆς ἀρετῆς. καὶ Ἀλείπτης, ὁ ἀγωνοθέτης.

α 1158 Ἀλειπτόν: ἐσκευασμένον θυμίαμα.

α 1159 Ἀλείς: ἀντὶ τοῦ συσταλείς. καὶ Ἁλεῖς, ἀντὶ τοῦ ἁλιεῖς. ἁλεῖς σοφιστάς.

α 1160 Ἄλεισον: τὸ ποτήριον.

α 1161 Ἀλεῖται: πηδήσει. καὶ χωλὸς ὡς ἔλαφος, ἁλεῖται.

α 1162 Ἀλειτεία: ἡ ἁμαρτία.

α 1163 Ἀλείτης: τὸ μὲν διὰ διφθόγγου σημαίνει τὸν ἁμαρτωλόν, τὸ δὲ διὰ τοῦ η σημαίνει τὸν πλανήτην. Ἀλιτρὸς δὲ διὰ τοῦ ι.

α 1164 Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ μεμυημένος ἐστι, νῦν εὔξασθαι καλόν, ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε: ἐν Σαμοθρᾴκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακον κινδύνων τινῶν. ἦν δὲ ἐκεῖσε καὶ τὰ τῶν Κορυβάντων μυστήρια καὶ τὰ τῆς Ἑκάτης καὶ τὸ Ζήρινθον ἄντρον, ἦ κύνας ἔθυον. ἐδόκουν δὲ ταῦτα οἱ μεμυημένοι ἐκ τῶν δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. ἀποστραφῆναι δὲ ἀντὶ τοῦ διαστραφῆναι καὶ κλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα. ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδόν, ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι.

α 1165 Ἀλείφατι: ἐλαίῳ, ἢ ἑτέρῳ ἀλείμματι. κανών· ὅτι τὰ παρὰ τὸ ἀλείφω, εἰ μὲν διὰ τοῦ π ἐκφέρονται καὶ διὰ διφθόγγου γράφονται, οἷον ἀλειπτὸν ἀλείπτης. εἰ δὲ διὰ τοῦ φ, εἰ μὲν ὦσι σύνθετα, διὰ τοῦ ι γράφονται, πισσαλιφής, ἀνηλιφής. εἰ δὲ ἁπλᾶ, διὰ τῆς ει διφθόγγου, οἷον ἄλειφαρ.

α 1166 Ἀλείψας. αἰτιατικῇ. διεγείρας. ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν. εἰς καρτερίαν ἀλείφων τοὺς ἀδικουμένους. καὶ Ἀριστοφάνης· ἀλείψασθ' ἀπ' αὐτῶν ταῖς νουμηνίαις. διὰ τὸ ταύτας εἶναι τιμίας τῶν ἡμερῶν.

α 1167 Ἄλη: ἡ πλάνη. ὁ δὲ οὐδένα αὑτοῦ ᾤετο διοίσειν ἐπ' ἀνδρείᾳ, καὶ τοσοῦτον αὐτοῦ ἤδε ἡ ἄλη ἐκράτει, ὡς σκευὴν ἀναλαβεῖν Ἀχιλλέως, οὕτω τε περιβαίνειν εἰς ἵππον καὶ κατὰ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱππόδρομον φρυάττεσθαι τοῦ οἴκου. καὶ Ἀλώμενος, ἀντὶ τοῦ πλανώμενος. ἐν Ἐπιγράμμασι· ἁλὸς τύραννε, σοί, Πόσειδον, Ἀρχικλῆς ἔθηκε λήξας τῆς ἀπ' ᾐόνων ἄλης. καὶ Ἀλήτης βίος, διὰ τοῦ η.

α 1168 Ἄλλη: ἀντὶ τοῦ ἄλλως ἢ κατ' ἄλλο. Θουκυδίδης.

α 1169 Ἀλλ' ἤ: ἀντὶ τοῦ εἰ μή. καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἤ. τίθεται δὲ ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλὰ ἄρα καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἄρα. Πλάτων· ἀλλ' ἢ κατόπιν ἑορτῆς ἥκομεν, ἀντὶ τοῦ ἄρα.

α 1170 Ἀλληγορία: ἡ μεταφορά. ἄλλο λέγον τὸ γράμμα καὶ ἄλλο τὸ νόημα. καὶ Ἀλληγορικοὶ ὄνειροι, οἱ ἄλλα δι' ἄλλων ἀγορεύοντες· θεωρηματικοὶ δέ, οἱ τῇ ἑαυτῶν θέᾳ προσεοικότες.

α 1171 Ἄλλη δόξα ἡλίου: ἥλιον λέγει τὴν νέαν διαθήκην, ὡς τέλειον φῶς ἔχουσαν τοῦ ἡλίου τῆς δικαιοσύνης.

α 1172 Ἄληθες: ἀντὶ τοῦ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ τὸ ἐν ἐπερωτήσει λεγόμενον, οἷον ὄντως, ἀληθῶς. ἄληθες ὦ παῖ τῆς ἀρουραίας θεοῦ; Αἰσχύλος φησὶ πρὸς Εὐριπίδην· σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλεκτάδη, καὶ πτωχοποιέ, καὶ ῥακιοσυρραπτάδη. ἀληθὲς δὲ τὸ ἀντιδιαστελλόμενον τῷ ψεύδει. ἀλήθεια δέ ἐστι θείων τε καὶ ἀνθρωπίνων ἡγεμών.

α 1173 Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ: παροιμία ἐπὶ τῶν ἀληθῶν μέν, οὐ πιστευομένων δέ. Σάγρα γὰρ τόπος τῆς Λοκρίδος. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους, πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους. τῶν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκούρους· τοὺς Λοκροὺς οἰωνισαμένους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκούρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐτῶν αὐθημερὸν καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μέν, οὐ πιστευομένοις δέ. ἀληθέστερα οὖν τῶν ἐπὶ Σάγρᾳ, ἐπὶ τῶν πάνυ ἀληθευόντων. λέγεται γὰρ τὴν περὶ τῆς νίκης φήμην αὐθημερὸν ἀπὸ Ἰταλίας ἐλθεῖν εἰς τὴν Σπάρτην. ὅθεν καὶ εἰς παροιμίαν ἐξενεχθῆναι τὸν λόγον ἐπὶ τῶν ἀληθινῶν πραγμάτων.

α 1174 Ἀληθεύω· δοτικῇ.

α 1175 Ἀλήθεια καὶ ἀληθής. Ἀληθῆ καὶ τὰς ἀληθείας πληθυντικῶς λέγουσι. Μένανδρος Ἀφροδισίῳ· εἰ τὰς ἀληθείας ἃς ἁπλῶς τίς σοι λέγει.

α 1176 Ἀλήθω τὸν σῖτον.

α 1177 Ἀληθίζω: τὰ ἀληθῆ λέγω. καὶ Ἀληθινός, ὁ ἀληθής.

α 1178 Ἀληθινὸς ἔρως: ὁ μὴ περὶ κάλλος σώματος ἐπτοημένος. ἀληθινὸς ἔρως ἐμφύεται αὐτῷ φιλοσοφίας, καὶ πάντα γηγενῆ δεσμὸν ἀπορρήξας ἐλπίδας τε πάσας τιμῶν τε καὶ χρημάτων καταπατήσας ἀφικνεῖται πρὸς Πρόκλον.

α 1179 Ἀλήϊον πεδίον. καὶ Ἀλήϊος, ὁ πλανητικός.

α 1180 Ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή, πάντ' ἀκήκοας λόγον. Σοφοκλῆς.

α 1181 Ἄληκος: ποταμός.

α 1182 Ἄληκτα: τὰ ἀμέριστα μέν, κοινὰ δὲ πρός τινα ὄντα, πρινὴ διανεμηθῆναι, ἄληκτα λέγεται.

α 1183 Ἀληλεσμένον· Θουκυδίδης· σῖτόν τε ἀληλεσμένον τὸν βουλόμενον ἀργυρίου πολλοῦ ὠνήσασθαι. καὶ Ἀληλεσμένον βίον οἱ μὲν ἐπὶ τῶν βαλανίτη βίῳ χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων, οἷον κατειργασμένον, πρὸς τροφὴν ἕτοιμον. καὶ Ἀληλεσμένος βίος, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. ἄλλη δὲ παροιμία φησίν· οὐ γὰρ ἄκανθαι. ἔοικε δὲ ὑπομιμνήσκειν τὴν τοῦ βίου μεταβολήν, ἀγρίου καὶ ἀκανθώδους πρότερον ὄντος, πρὶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιμέλειαν τῆς γῆς καὶ τῶν σπερμάτων γενέσθαι. ὅθεν ἀπὸ τῆς ὕστερον ἐπιμελείας ῥηθῆναι τὸ ἀληλεσμένον βίον.

α 1184 Ἁλικαρνασεύς.

α 1185 Ἀληλιμμένος: ἐκ τοῦ ἀλείφω.

α 1186 Ἀλληλούϊα: αἰνεῖτε τὸν κύριον παρ’ Ἐβραίοις, ἤτοι τὸν ὄντα.

α 1187 Ἀλληλουχία: ἡ ἀλλήλων κράτησις καὶ κληρονομία.

α 1188 Ἀλλήλων: ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης. καὶ Θουκυδίδης· καί πού τινες ἀλλήλων ἐγεύσαντο. ἀντὶ τοῦ ἑαυτῶν.

α 1189 Ἀλλήλοϊν: δυϊκόν. ὁρῶσιν ἐν τῇ λάρνακι σώματα ἀλλήλοϊν περικείμενα.

α 1190 Ἄλημα: παραλογιστικὸν πανούργημα ἢ ἐπίτριμμα. πῶς ἂν τὸν αἱμυλώτατον ἐχθρόν, ἄλημα τούς τε δισσάρχας βασιλεῖς ὀλέσας τέλος θάνοιμι καὐτός. ὦ τέκνον Λαερτίου, κακοπινέστατ’ ἄλημα στρατοῦ, ἦπου πολὺν γέλωθ’ ὑφ’ ἡδονῆς ἄγεις. ἀντὶ τοῦ πανοῦργε καὶ περίεργε. κακοπινέστατε δὲ κακόηθες.

α 1191 Ἀλήμεναι: συναθροισθῆναι.

α 1192 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἣ δ’ ἐπεισρέει: ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων. ὡς ἐπὶ ἀντλίας νεώς.

α 1193 Ἀλληνάλλως: ὡς ἔτυχεν.

α 1194 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων. καὶ ἑτέρα παροιμία· Ἅλις δρυός. ἐπὶ τῶν δυσχερῶς μέν τι καὶ ἀηδῶς ἐσθιόντων, ἕτερον δὲ βέλτιον εὑρόντων.

α 1195 Ἄληξ: ὄνομα τόπου.

α 1196 Ἁλίπεδον: τὸ τέως μὲν θάλασσα, αὖθις δὲ πεδίον γεγονὸς καὶ ἠροτριωμένον. κυρίως μὲν οὖν τὸ παρὰ θάλασσαν πεδίον, καταχρηστικῶς δὲ πᾶν.

α 1197 Ἄληπτος: ἀκράτητος. εἰπεῖν τὴν αἰτίαν, ἀφ’ ἧς ἄληπτός ἐστι τοῖς ἐχθροῖς. Ἀριστοφάνης.

α 1198 Ἄληπτος: ὁ ἀκατάληπτος. Ἀλήπτως δὲ ἀκαταγνώστως.

α 1199 Ἄληστος: ἀλάθητος.

α 1200 Ἀλητεύω: πλανητεύω. καὶ Ἀλητεία, ἡ πλάνη.

α 1201 Ἀλῆται: πλανῆται. Αἰλιανός· οἱ δὲ ὑπὸ Ῥωμαίων ἐκτριβέντες διεξάνθησαν ἀλῆται δεῦρο καὶ ἐκεῖσε τὸ ζῆν τελοῦντες.

α 1202 Ἀλήτης: ὁ πλανήτης. ἀλήτην βίον τρίβοντας ἤθροισε. καὶ αὖθις· ἀλήτας καὶ φυγάδας ἀποφήναντες. Ἀλῆτις δὲ θηλυκῶς ἡ πλανῆτις.

α 1203 Ἀλία: πορεία.

α 1204 Ἁλιάδας: μικρὰ σκαφίδια.

α 1205 Ἁλιακή: ἁλιευτική.

α 1206 Ἁλίαρος: ὁ ἠρτυμένος ἅλατι.

α 1207 Ἀλιάρται: ἀπὸ Ἀλιαρτίας χώρας.

α 1208 Ἀλλίας: ὄνομα κύριον.

α 1209 Ἀλίαστος: ὁ μὴ ἐκφεύγων.

α 1210 Ἀλίβας: ὁ νεκρός. ἢ ποταμὸς ἐν ᾅδου λέγεται. ἢ ἀλίβας καὶ τὸ ὄξος ἀπὸ τοῦ μὴ λείβεσθαι. ὅτι νενεκρωμένος οἶνός ἐστιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1211 Ἁλιβδύειν: κρύπτειν.

α 1212 Ἁλίβρωτος: ὁ ἅλας ἐσθίων.

α 1213 Ἀλίβυες: ζευγνῖται· ὅτι κατὰ τὸ παλαιὸν ἐλέγετο δύο ἵπποι, συνεζευγμένοι τῶν τραχήλων, ἅμιπποι. ἦν δ’ ἐπὶ μὲν τοῦ ἑτέρου ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχῆς Ἀλίβυες, οἱ προσαγορευόμενοι Ζευγνῖται.

α 1214 Ἁλιγενής: ὁ ἐν θαλάσσῃ γεννηθείς.

α 1215 Ἀλιγέρνης: ὄνομα κύριον. τούτου τοῦ Γότθου βέλη ἀφιέμενα ῥοίζῳ τε πολλῷ καὶ ταχυτῆτι οὐ σταθμητῇ ἐφέρετο. ὡς εἴπερ ἐς λίθον τινα ἐμπέσοιεν ἢ ἕτερόν τι σκληρὸν καὶ ἀτέραμνον διαρρήγνυσθαι ἅπαν τῇ βίᾳ τῆς ῥύμης. Ῥωμαῖον οὖν τινα ἰδὼν τεθωρακισμένον ἀφίησι βέλος αὐτῷ ἐκ τοῦ μετεώρου καὶ αὐτίκα διεπερόνησε τὸν ἄνδρα αὐτῷ θώρακι καὶ ἀσπίδι. οὕτω δή τι δυνάμει τε τῶν πολλῶν περιῆν καὶ καρτεραὶ αὐτῷ ἐρύσαι τόξον αἱ χεῖρες. Ἀγαθίας φησίν.

α 1216 Ἀλίγκιος: ὅμοιος.

α 1217 Ἁλιεύεσθαι: τὸ ἁλιεύειν. λέγουσι δὲ 〈καὶ〉 ὡς ἡμεῖς.

α 1218 Ἁλιεύς, ἁλιέως· καὶ Ἁλιεῖς, καὶ ἐπὶ ποταμῶν. ἐκ τῶν πέριξ πόλεων ἐς τὴν τεταγμένην τῇ ἀναγωγῇ ἡμέραν ἠθροισμένοι ἁλιεῖς ἐφειστήκεισαν. Ἀρριανός φησι. καὶ παροιμία· Ἁλιεὺς πληγεὶς νοῦν οἴσω. ἁλιεὺς τοὺς ἁλισκομένους ἰχθύας μετεχειρίζετο, καί ποτε ὑπ’ αὐτῶν πληγείς, νοῦν οἴσω, φησίν. ὁμοία ἐστὶ τῷ· ῥεχθὲν δέ τε νήπιος ἔγνω.

α 1219 Ἁλιζώνου: τῆς ὑπὸ θαλάσσης περιεζωσμένης. Λαΐδ’ ἔχω πολιῆτιν ἁλιζώνοιο Κορίνθου.

α 1220 Ἁλίζωστις: εἶδος βοτάνης θαλασσίας.

α 1221 Ἁλίη: ἡ θαλασσία.

α 1222 Ἁλιήτορες: οἱ ἁλιεῖς.

α 1223 Ἄλιθον· ἦν γὰρ οὐ φύσει ἄλιθον οὐδὲ εὔγειον τὸ πεδίον. Ἀρριανός φησιν.

α 1224 Ἄλλικα: χλαμύδα κατὰ Θεσσαλούς· ἄλλικα χρυσείῃσιν ἐεργομένην ἐνέτῃσιν. οἱ ἰδιῶται γάλλικά φασι ταύτην.

α 1225 Ἁλικαρνασεύς: ἀπὸ τόπου.

α 1226 Ἀλικροῦδα: παρὰ Ῥωμαίοις ἡ σχεδία τροφὴ καὶ ἄπυρος. κρουδοὺμ γὰρ τὸ ἀνέψητον.

α 1227 Ἀλίμενον: τὴν τέλος οὐκ ἔχουσαν, οὐδὲ ὅρμον.

α 1228 Ἅλιμον: βοτάνη δενδροειδὴς παρὰ θάλασσαν. πληθυντικῶς δὲ τὰ ἅλιμα.

α 1229 Ἀλιμενώτης: τόπος λιμένα μὴ ἔχων.

α 1230 Ἁλίμικτον: τὸ πεπασμένον.

α 1231 Ἁλιμούσιος· Ἁλιμοῦς δῆμός ἐστι τῆς Λεοντίδος. λέγεται ὁ Ἀγασικλῆς τοῖς Ἁλιμουσίοις συνδικάσαι καὶ διὰ τοῦτο ξένος ὢν ἐγγραφῆναι τῇ πολιτείᾳ.

α 1232 Ἁλιμυρήεις: ὁ εἰς θάλασσαν ῥέων.

α 1233 Ἀλινδεῖσθαι: κυλίεσθαι. καὶ Ἀλινδήθρα, κυλίστρα. τόπος ἐν ᾧ οἱ ἵπποι κονίονται. Ἀριστοφάνης· συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν. καὶ αὖθις· τὸν δ’ ἀνασπῶντ’ αὐτοπρέμνοις τοῖς λόγοισιν ἐμπεσόντα συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν. περὶ Αἰσχύλου φησίν.

α 1234 Ἁλινήκτειραν: τὴν ἐν ἁλσὶ νηχομένην. καὶ ταύτην ἀπέτηλον, ἁλινήκτειραν ἐλαίην.

α 1235 Ἁλινηχέος: ἐν θαλάσσῃ νηχομένης. ἐν Ἐπιγράμμασι· ἁλινηχέος ὄργανα τέχνης ἄνθετο.

α 1236 Ἁλιξάντοις: ταῖς ὑπὸ τῆς ἁλὸς ξηραινομέναις. ἐν Ἐπιγράμμασι· ἀκταίης νησῖδος ἁλιξάντοισι χοιράσιν.

α 1237

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἅλιος: ὁ θαλάσσιος· ἢ ὁ μάταιος· ἢ ὁ ἥλιος κατὰ τροπὴν Δωρικήν.

α 1238 Ἁλίωσε: μάταιον ἐποίησεν.

α 1239 Ἀλιπαρῆ: ἀντὶ τοῦ αὐχμηράν. ἢ λιπαρῆ, ἐξ ἧς αὐτὸν λιπαρήσομεν. Σοφοκλῆς· κἀμοῦ ταλαίνης σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως ἄχω, δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα καὶ ζῶμα τοὐμόν, οὐ χλιδαῖς ἠσκημένον.

α 1240 Ἁλίπεδον: ὁμαλὸν ἔδαφος παρὰ τῇ θαλάσσῃ. τινὲς δὲ τὸν Πειραιᾶ φασιν. ἔστι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα, αὖθις δὲ γέγονε πεδίον. διὸ καὶ δασυντέον τὴν πρώτην, ἔστι γὰρ οἷον ἁλὸς πεδίον. οἱ δὲ τὸ παραθαλάσσιον πεδίον οὕτω καλοῦσιν. ἄλλοι δὲ παρὰ τὸ δύνασθαι ἐν αὐτῷ ἵππους ἀλινδεῖσθαι, τουτέστι κονίσασθαι, τὴν ὀνομασίαν λαβεῖν. ζήτει ὀπίσω ἐν τῷ Ἄληξ.

α 1241 Ἁλίπλαγκτος: οὕτως καλεῖται ὁ Πάν, ἢ ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ, ἢ ὅτι τὸν Τυφῶνα δικτύοις ἤγρευσεν, ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα ὡς νόμιον θεόν, ἢ ὅτι μεγαλόφωνος ἐν τῇ χορείᾳ, ὡς ἁλίβρομος, ἢ ὅτι τῆς Ἠχοῦς ἐρᾷ· πολύηχος δὲ ἡ θάλασσα. ἔστι δὲ ὁ Πὰν χορῶν πρόξενος.

α 1242 Ἁλίπλοα: ἐν τῇ θαλάσσῃ πλέοντα.

α 1243 Ἁλιρρόθιον: κῦμα θαλάσσης. ἀγήρατον στόμα κόσμου παντός, ἁλιρροθία ξεῖνε κέκευθε κόνις. περὶ Ὁμήρου ὁ λόγος. Ἁλιρρόθιος δὲ υἱὸς Ποσειδῶνος. καὶ ζήτει ἐν τῷ Ἄρειος πάγος.

α 1244 Ἅλις: δαψιλῶς, ἱκανῶς. ὡς δὲ ἅλις εἶχε ταύτης τῆς τιμωρίας, ἐκέλευσεν αὐτὸν ἄγειν εἰς τὴν πόλιν ὀπίσω τὼ χεῖρε δεδεμένον. Ἀριστοφάνης· ἅλις ἀφύης μοι· παρατέταμαι γὰρ ἐσθίων. ἐν Ταγηνισταῖς φησι. καὶ αὖθις· ἡ δὲ γυνὴ λέγει, ἑαυτῇ τῆς τιμῆς καὶ τοῦ γέρως ἅλις ἔχειν.

α 1245 Ἁλίσας: συναθροίσας· ἢ κυλίσας, κονίσας. καὶ Ἁλίσασα, συναθροίσασα. ἡ δὲ Σεμίραμις ἁλίσασα τὴν δύναμιν τὴν πόλιν αἱρεῖ κατὰ κράτος.

α 1246 Ἀλισγηθέν: ἑστιαθὲν ἢ μισηθὲν ἢ λυπηθέν. καὶ Ἀλισγηθείς, σπιλωθείς.

α 1247 Ἀλισγημάτων: τῶν μιασμάτων ἐκ μυσαρᾶς τῶν εἰδώλων θυσίας.

α 1248 Ἁλισθεῖεν: συναθροισθεῖεν. ὁ δὲ Πεισίστρατος ἐπιτεχνᾶται, ὅπως ἁλισθεῖεν ἔτι οἱ Ἀθηναῖοι.

α 1249 Ἁλισθείσης: συναθροισθείσης.

α 1250 Ἁλίσκει: νικᾷ. καὶ Ἁλίσκεται, καταλαμβάνεται, κρατεῖται.

α 1251 Ἁλισμένοι: παρὰ Ἡροδότῳ ἀντὶ τοῦ συνηθροισμένοι. ἠκήκοε δὲ, ὡς ἁλισμένη εἴη ταύτῃ στρατιή.

α 1252 Ἀλιταίνω: ἁμαρτάνω.

α 1253 Ἁλιτενής· Ἀππιανός· οἱ δὲ Καρχηδόνιοι ἐξέδραμον ἐπὶ τὰ τῶν Ῥωμαίων μηχανήματα οὐ κατὰ γῆν, οὐ γὰρ ἦν δίοδος, οὐδὲ ναυσίν, ἁλιτενὴς γὰρ ἦν ἡ θάλασσα, ἀλλὰ γυμνοί, οἱ μὲν ἄχρι τῶν μαζῶν βρεχόμενοι, οἱ δὲ διένεον.

α 1254 Ἀλιτεύω: τὸ ἁμαρτάνω.

α 1255 Ἀλίτημα: ἁμάρτημα. καὶ Ἀλιτήμων, ὁ ἁμαρτωλός. καὶ συστέλλει.

α 1256 Ἀλιτήμορος: παράφρων γεγονώς.

α 1257 Ἀλιτήριος: ἀνόσιος, ὁ ἐνεχόμενος μιάσματι καὶ ἐξημαρτηκὼς εἰς θεούς. Ἀριστοφάνης Ἱππεῦσιν· ἐκ τῶν ἀλιτηρίων σέ φημι γεγονέναι τῶν τῆς θεοῦ.

α 1258 Ἀλιτήριοι: ἁμαρτωλοί, ἀλιτήριοι δὲ ἐντεῦθεν ἐκαλοῦντο· λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους, καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βίας τι ποιούντων ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγώγως ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν.

α 1259 Ἀλιτηρίους: ἀποτυχόντας, ἁμαρτόντας, ἀστοχήσαντας. οὐ μόνον ἀπράκτους παρεσκεύασας ἐπανελθεῖν, ἀλλὰ καὶ ἀλιτηρίους πάντων τῶν αὐτοῖς ἐντεταλμένων ἀπέδειξας. καὶ αὖθις· ἢ πῶς οὐκ ἔμελλεν ὅδε ἄνθρωπος δαίμων τις ἀλιτήριος εἶναι.

α 1260 Ἀλιτηροῦ: ἁμαρτωλοῦ, μιαρᾶς. νῦν δ’ ἐκ θεῶν τοῦ κἀξ ἀλιτηροῦ φρενός.

α 1261 Ἀλιτόμηνος: ὁ τοῦ τελείου μηνὸς διημαρτηκώς, ὁ ἠλιτόμηνος.

α 1262 Ἀλιτρία: ἀντὶ τοῦ ἁμαρτία. Ἀριστοφάνης. καὶ Ἀλιτρός, ἁμαρτωλός.

α 1263 Ἀλίφειρα: ὄνομα πόλεως. καὶ Ἀλιφειρεύς, ὄνομα ποταμοῦ.

α 1264 Ἀλιφῆναι: ἀντὶ τοῦ ἀλείψασθαι, β′ ἀόριστος.

α 1265 Ἀλθαία: ὄνομα κύριον. κατὰ δὲ ἰατροὺς ἀγρία μαλάχη.

α 1266 Ἀλθαίνοντα: ἰώμενον, θεραπεύοντα. νοσοῦσαν ἀλθαίνοντα.

α 1267 Ἄλθαινος: ὄνομα ποταμοῦ.

α 1268 Ἀλθηφίας: ἡ ἄμπελος, ἀπὸ Ἀλθηφίου τινός. καὶ Ἀνθηδονιὰς καὶ Ὑπεριάς, ἀπὸ Ὑπέρου καὶ Ἀνθηδόνος. χρησμός· πῖν’ οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις, οὐδ’ ἱερὰν Ὑπέραν, ὅθι τ’ ἄτρυγον οἶνον ἔπινες.

α 1269 Ἀλκαμένης: ὄνομα κύριον. ὁ Λήμνιος.

α 1270 Ἀλκάνης: ὅτι ἐν τῇ ἀρχῇ τῆς βίβλου τῶν δ′ βασιλειῶν Ἑλκανᾶς κεῖται τὸ ὄνομα. ἀνὴρ τῶν ἐν μέσῳ πολιτῶν τῆς Ἐφραὶμ κληρουχίας Ἀρμαθαὶμ πόλιν κατοικῶν γαμεῖ β′ γυναῖκας, Ἄνναν τε καὶ Φενάνναν. ἐκ δὴ ταύτης καὶ παῖδες αὐτῷ γίνονται· τὴν δ’ ἑτέραν ἄτεκνον οὖσαν ἀγαπῶν διετέλει. ἀφικομένου δὲ μετὰ τῶν γυναικῶν τοῦ Ἀλκάνου εἰς Σηλὼ πόλιν θῦσαι· ἐνταῦθα γὰρ ἡ σκηνὴ τοῦ θεοῦ ἐπεπήγει· καὶ πάλιν κατὰ τὴν εὐωχίαν νέμοντος μοίρας κρεῶν ταῖς τε γυναιξὶ καὶ τοῖς τέκνοις, ἡ Ἄννα θεασαμένη τοὺς τῆς ἑτέρας παῖδας τῇ μητρὶ περικαθισαμένους εἰς δάκρυά τε προὔπεσε καὶ τῆς ἀπαιδίας αὑτὴν ὠλοφύρετο καὶ τῆς μονώσεως. καὶ τῆς τἀνδρὸς παραμυθίας τῇ λύπῃ κρατήσασα εἰς τὴν σκηνὴν ᾤχετο, τὸν θεὸν ἱκετεύουσα δοῦναι γονὴν αὐτῇ καὶ ποιῆσαι μητέρα, ἐπαγγελλομένη τὸ πρῶτον αὐτῇ γεννησόμενον καθιερώσειν ἐπὶ διακονίαν τοῦ θεοῦ, δίαιταν οὐχ ὁμοίαν τοῖς ἰδιώταις ποιησόμενον. εὐχομένης δὲ ἦλθεν Ἠλεὶ ὁ ἀρχιερεὺς καὶ ὡς παροινοῦσαν ἐκέλευσεν ἀπιέναι. τῆς δὲ πιεῖν ὕδωρ φαμένης, λυπουμένης δ’ ἐπὶ παίδων ἀπορίᾳ τὸν θεὸν ἱκετεύειν, θαρρεῖν παρεκελεύετο, παρέξειν αὐτῇ παῖδα τὸν θεὸν καταγγέλλων. καὶ γίνεται αὐτῇ παιδίον, ὃν Σαμουὴλ ἐκάλεσαν, θεαίτητον ὡς ἄν τις εἴποι.

α 1271 Ἀλκαία· ἀλλ’ ὁ μὲν δράκων μεγέθει μέγιστος ὢν τῷ οὐραίῳ τὸν λέοντα κατῃκίζετο. ὁ δὲ λέων ἤλγει μὲν καὶ τῇ ἀλκαίᾳ πρὸς ἄμυναν διηγείρετο. ὁ Λογοθέτης φησὶν ἐν τῷ τοῦ ὁσίου Μαρκέλλου βίῳ.

α 1272 Ἀλκαῖος· Ὀμφάλης καὶ Ἡρακλέους. ἐγένετο μέγας καὶ ἰσχυρὸς καὶ τὰ πολέμια γενναῖος.

α 1273 Ἀλκαῖος· Ἀθηναῖος, τραγικός, ὅν τινες θέλουσι πρῶτον τραγικὸν γεγονέναι.

α 1274 Ἀλκαῖος· Μιτυληναῖος, εἶτα Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας πέμπτος· υἱὸς δὲ Μίκκου. ἔγραψε δράματα δέκα.

α 1275 Ἀλκέτας, Μολοττῶν βασιλεύς. ἀλλὰ καὶ ὑποστράτηγος ἄλλος Ἀλεξάνδρου.

α 1276 Ἀλκείδης: ὁ Ἡρακλῆς παππωνυμικῶς. Ἀλκέως γὰρ παῖς Ἀμφιτρύων.

α 1277 Ἀλκή: ἰσχὺς, δύναμις. Ἡσίοδος· ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι, νοῦν δ’ Ἀμυθαονίδαις, πλοῦτον δὲ περ’ Ἀτρείδῃσι. καὶ Πολύβιος· οἶδε γὰρ καὶ λόγων ἀλκὴ θανάτου καταφρονεῖν.

α 1278 Ἀλκήεντας: εὐρώστους, δυνατούς. Ἄρτεμι τόξα λαχοῦσα καὶ ἀλκήεντας ὀϊστούς.

α 1279 Ἄλκηστις: ὄνομα κύριον.

α 1280 Ἀλκιβιάδης· υἱὸς Κλεινίου καὶ τῆς ἀδελφῆς Περικλέους, Ἀθηναῖος, φιλόσοφος καὶ ῥήτωρ. μαθητὴς πρῶτον Σοφίλου, εἶτα Σωκράτους, οὗ καὶ ἐρώμενος, ὥς τινες. καὶ ἐκ δούλων δὲ τεχθέντα τινες ἱστορήκασιν. οὗτος ἐστρατήγησεν Ἀθηναίων, καὶ λυπηθεὶς διὰ τὸ ἐκπεσεῖν αὐτὸν τῆς στρατηγίας τῆς τῶν Ἑρμῶν ἀποκοπῆς ἕνεκα καὶ ἀποστὰς πρὸς Τισαφέρνην τὸν Πέρσην καὶ πολέμου αἴτιος γενόμενος Ἀθηναίοις πάλιν αὐτοῖς εὔνους ἐγένετο. μέλλοντος δὲ Λυσάνδρου αὐτὸν ἀναιρεῖν, παρ’ ᾧ διέτριβεν, εἰς κώμην τῆς Φρυγίας ἑταίρᾳ συνὼν ὄναρ ἦν τεθεαμένος τοιόνδε· ἐδόκει τὴν ἐσθῆτα τῆς ἑταίρας ἔχων καίεσθαι δίχα τῆς κεφαλῆς. οἱ δορυφόροι δὲ ἐπιστάντες ὑφῆψαν τὴν σκηνήν, ὁ δὲ ἐξελθὼν βίᾳ τιτρώσκεται διωχθείς. οἱ δὲ τὴν κεφαλὴν ἀφελόντες αὐτοῦ Φαρναβάζῳ κομίζουσιν. οὗτος Ὀλύμπια νικήσας τὴν πανήγυριν ἅπασαν εἱστίασεν.

α 1281 Ἀλκιμάχη: ἡ Ἀθηνᾶ, ἡ ἐν πολέμοις κραταιά. νηὸν ὑπορροφίας Παλλάδος ἀλκιμάχας.

α 1282 Ἀλκίμαχος· στρατηγός ἐστιν οὗτος Ἀναγυράσιος τῶν δήμων. ἕτερος δέ ἐστιν ὁ Μακεδὼν, οὗ μνημονεύει Ὑπερίδης.

α 1283 Ἀλκιδάμας· Ἐλεάτης, ἀπὸ Ἐλέας τῆς Ἀσίας, φιλόσοφος, Διοκλέους υἱὸς, μουσικὰ γεγραφότος, μαθητὴς Γοργίου τοῦ Λεοντίνου.

α 1284 Ἀλκιμένης· Μεγαρεὺς, τραγικός. ἔστι δὲ καὶ ἕτερος Ἀλκιμένης, Ἀθηναῖος, κωμικός.

α 1285 Ἄλκιμος: ἰσχυρός.

α 1286 Ἀλκίνοος: ὁ δυνατός. καὶ Ἀλκίνοος κύριον.

α 1287 Ἀλκίππα: μία τῶν Ἁλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

α 1288 Ἀλκίφρων· Μάγνης, τῆς παρὰ Μαιάνδρῳ Μαγνησίας, φιλόσοφος.

α 1289 Ἀλκμάν· Λάκων ἀπὸ Μεσσόας· κατὰ δὲ τὸν Κράτητα πταίοντα Λυδὸς ἐκ Σάρδεων· λυρικὸς, υἱὸς Δάμαντος ἢ Τιτάρου. ἦν δὲ ἐπὶ τῆς κζʹ Ὀλυμπιάδος, βασιλεύοντος Λυδῶν Ἄρδυος, τοῦ Ἀλυάττου πατρός· καὶ ὢν ἐρωτικὸς πάνυ εὑρετὴς γέγονε τῶν ἐρωτικῶν μελῶν. ἀπὸ οἰκετῶν δέ· ἔγραψε βιβλία ἓξ, μέλη καὶ Κολυμβώσας. πρῶτος δὲ εἰσήγαγε τὸ μὴ ἑξαμέτροις μελῳδεῖν. κέχρηται δὲ Δωρίδι διαλέκτῳ, καθάπερ Λακεδαιμόνιοι. ἔστι δὲ καὶ ἕτερος Ἀλκμὰν, εἷς τῶν λυρικῶν, ὃν ἤνεγκεν ἡ Μεσσήνη. καὶ τὸ πληθυντικὸν Ἀλκμᾶνες.

α 1290 Ἀλκμανικὸν εἶδος· ὅπερ πεπλεόνακε παρὰ Ἀλκμᾶνι, τὸ κατ’ ἀμφότερα ῥῆμα μεταξὺ τῶν ὀνομάτων τεταχέναι. καὶ παρ’ Ὁμήρῳ· ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.

α 1291 Ἀλκμαιονίδαι· γένος ἐστιν ἐπιφανὲς Ἀθήνησιν, ἀπὸ Ἀλκμᾶνος.

α 1292 Ἀλκμαιονίδαι· λαμπροί τινες Ἀθήνῃσιν, ἀπὸ Ἀλκμαίονος, τοῦ κατὰ Θησέα. καὶ Ἀκταιωνίδων, Ἀκταιώνιδος· τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων. ἐν Ἐπιγράμμασι.

α 1293 Ἀλκμαίων: ἰσχυρῶν, ἀνδρείων, γενναίων.

α 1294 Ἀλκμήνη: ὄνομα κύριον.

α 1295 Ἀλκταιωνίδες.

α 1296 Ἀλκτῆρες: οἱ φύλακες. θείας ἀλκτῆρες ἱμερτῆς φιλότητος.

α 1297 Ἀλκτήρια λιμοῦ: τὰ δυνάμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν.

α 1298 Ἀλκυονίδες ἡμέραι: αἱ εὐδιειναί. περὶ τοῦ ἀριθμοῦ διαφέρονται. Σιμωνίδης γὰρ ἐν Πεντάθλοις ιαʹ φησὶν αὐτὰς καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων, Δημαγόρας δὲ ὁ Σάμιος ζʹ, καὶ Φιλόχορος θʹ. τὸν δὲ ἐπ’ αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ ὑπομνημάτων λέγει οὕτως· Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν, Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππα, Παλήνη, Δριμὼ, Ἀστερίη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Πελλήνης, ἔρριψαν αὑτὰς εἰς τὴν θάλασσαν, Ἀμφιτρίτη δ’ αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πατρὸς Ἀλκυόνες ἐκλήθησαν. αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι Ἀλκυονίδες καλοῦνται. καὶ Ἀλκυόνειος ἡμέρα.

α 1299 Ἀλκυονὶς καὶ Ἀλκυονῖτις: ἡ τῆς Ἀλκύονος μήτηρ.

α 1300 Ἀλκυών: ὄρνεον θαλάσσιον.

α 1301 Ἅλμα: πήδημα.

α 1302 Ἁλμάδες: κολυμβάδες ἐλαῖαι.

α 1303 Ἅλμη οὐκ ἔνεστ’ αὐτῷ: ἐπὶ τοῦ ἀγλευκοῦς καὶ ἀηδοῦς.

α 1304 Ἁλμυρόν· ὅτι τὸ ἁλμυρὸν ὕδωρ τοῦ γλυκέος θερμότερον.

α 1305 Ἀλοάων. καὶ Ἀλοάσαντα· ἀλοάσαντα εἶπεν ἐν τῷ α Φερεκράτης· ἵπποι ὑποζύγιοι ἀλοάσαντ’ εὐθὺς ἐκποιῆσαι. τὸ δὲ συγκόψαι πληγαῖς, ἀλοῆσαι ἐν τῷ η.

α 1306 Ἀλογεῖν: γενικῇ. ἀφροντιστεῖν. ὁ δὲ Τάλιγγις ὅπλων μὲν καὶ μαχίμων ἀνδρῶν ἔκρινεν ἀλογεῖν, πόρναις δὲ καὶ ἀθυρογλώττοις ὁμοδίαιτος ὑπάρχειν.

α 1307 Ἀλογῆσαι: ἀφροντίσαι, παραλογίσασθαι. καὶ Ἀλογήσει: γενικῇ. ἀμελήσει, οὐ φροντίσει.

α 1308 Ἀλογία: ἡ ἀφροντισία. Ἡρόδοτος· ὁ δὲ κατάσκοπος εὗρε τοὺς Λακεδαιμονίους κτενιζομένους καὶ ἐθωύμαζεν, ἀλογίης τε ἐνεκύρησε πολλῆς. ὁ δὲ Ξέρξης ἀκούων ταῦτα οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν.

α 1309 Ἀλογία: ἀταξία. οἱ δὲ πάντες ἅμα ἀνακεκραγότες ἐξαυτῆς οἱονεὶ παρεληλύθεισαν. ταχὺ δὲ τοῦ λόγου διαδοθέντος εἰς τὸ πλῆθος, οὐκέτι συνέβαινε γίνεσθαι τὴν ἀλογίαν, ἀλλ’ οἱ μὲν ἐπὶ τοὺς πρεσβευτὰς ὥρμων, ὡς αἰτίους σφίσι τῶν κακῶν ὄντας τούτων, οἱ δὲ ἐπὶ τοὺς κατειλημμένους τῶν Ἰταλικῶν καὶ εἰς τούτους ἀπερείσαντες τὸν θυμὸν, οἱ δὲ πρὸς τὰς πύλας τῆς πόλεως. λέγεται δὲ καὶ Ἀλογιστία παρὰ Πολυβίῳ.

α 1310 Ἀλογία: τὸ μηδένα λόγον ἔχειν, ἀλογιστὶ δὲ πράττειν. οὕτως Δημοσθένης καὶ Πλάτων.

α 1311 Ἀλόγιστα παροίσομεν: ἀδιήγητα κακὰ βαστάξομεν. Σοφοκλῆς· ἐν πυμάτῳ δ’ ἀλόγιστα παροίσομεν.

α 1312 Ἀλογιστία· παρὰ Πολυβίῳ. οἱ δὲ πλείονες ἀντέπιπτον, ὧν οἱ μὲν ἀλογιστίαν, οἱ δὲ μανίαν ἔφασαν εἶναι τὸ παραβάλλεσθαι καὶ κυβεύειν τῷ βίῳ. καὶ αὖθις· τὸ δὲ τῶν ἀνθρώπων γένος οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν ἢ διὰ τὴν φύσιν ἁμαρτάνειν.

α 1313 Ἀλογίου δίκη· ἣν φεύγουσιν οἱ ἄρχοντες λόγον οὐ διδόντες τῶν τῆς ἀρχῆς διοικημάτων.

α 1314 Ἄλλο γλαὺξ, ἄλλο κορώνη φθέγγεται: παροιμία ἐπὶ τῶν ἀλλήλοις οὐ συμφωνούντων.

α 1315 Ἄλογοι ἐρανισταί: οἱ μήπω ἐξειλεχότες τὸ ἐπιβάλλον ἑαυτοῖς. καὶ ἄλογοι τῆς ψυχῆς δυνάμεις. ζήτει ἐν τῷ βούλησις.

α 1316 Ἀλλοδαπά: ξένα, παντοῖα. καὶ ἡ Ἀλλοδαπὴ τῆς ἀλλοδαπῆς κλίνεται.

α 1317 Ἄλλο ἕτερον· ἐκ παραλλήλου λέγουσιν. Μένανδρος Μέθῃ· εἶτ’ οὐκ εἶχεν οὐ πῦρ οὐ λίθον οὐκ ἄλλ’ ὅτι οὐθ’ ἕτερον. Κράτης Παιδιαῖς· τοῖς δὲ τραγῳδοῖς ἕτερος σεμνὸς πᾶσι λόγος ἄλλος δ’ ἔστιν.

α 1318 Ἄλλως: μάτην.

α 1319 Ἀλλοειδής: ὁ ξένον ἔχων εἶδος· καὶ θηλυκῶς ἀλλοειδέα.

α 1320 Ἀλόη: εἶδος μυρεψικόν.

α 1321 Ἁλοῆος καὶ Ἁλοάων. καὶ Ἁλοητός, ὁ καιρὸς τοῦ θέρους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1322 Ἀλλοθρόους: ἀλλοφώνους.

α 1323 Ἄλοκι: αὔλακι, τομῇ ἀρότρου.

α 1324 Ἀλοκίζειν· Ἀριστοφάνης· ἐγὼ δ’ ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.

α 1325 Ἀλλόκοτον: ἐναντίον, ξένον, ἀλλοφυὲς, ἐξ ἄλλου ἀσυνάρτητον, ἀλλότριον. πόαις γάρ τισιν ἀλλοκότοις καὶ ῥίζαις χρώμενοι διὰ τὸν λιμὸν ἐπεπονήκεσαν. Ἀππιανός· οἱ μέντοι ὕπατοι καὶ ὄκνῳ μὴ ἐπιχειρεῖν ἐς ἔργον ἀλλόκοτον· ἔτι δὲ καὶ τὴν πόλιν ἄνοπλον οὖσαν λήψεσθαι ἡγοῦντο.

α 1326 Ἁλλόμενον ὕδωρ. καὶ Ἁλλόμενοι, πηδῶντες.

α 1327 Ἁλόννησος: νησύδριον ἐν τῷ Αἰγαίῳ πελάγει.

α 1328 Ἁλόντες: ληφθέντες.

α 1329 Ἄλοξ: ἡ αὖλαξ.

α 1330 Ἀλοῶ: τὸ κλῶ. καὶ Ἀλοῶν, ἔξωθεν ἐν κύκλῳ περιάγων, ὡς οἱ ἐν ταῖς ἅλωσιν. ἢ τύπτων, ἀπὸ τῶν κοπτόντων τοὺς στάχυας. Ἀριστοφάνης· ἀπολεῖ μ’ ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ. Αἰλιανός· οἱ μέν τινες πυγμαῖς, οἱ δὲ κορύναις, οἱ δὲ λίθοις, οἱ δὲ ὅτι ποτὲ παρέπιπτεν αὐτοῖς ὑποχείριον ἀλοῶντες αὐτὸν, ἀπορραγῆναι τὴν ψυχὴν ἠνάγκασαν. καὶ Ἀλοώμενος, πατούμενος, συντριβόμενος. ἐλέφαντι ἡμέρῳ ὑπέκλιναν αὐτὸν, ἵνα δεδιὼς, ὡς μέλλων ὑπὸ τοῦ θηρὸς ἀλοώμενος ἀποθνήσκειν, ὕπνου μὴ τύχῃ.

α 1331 Ἀλόπη· καὶ Ἀλόπηος. Κερκυόνος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων, ὁ τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος.

α 1332 Ἄλοπον: πιστόν. ἐπὶ τὴν ἀμόργην τὴν ἄλοπον ἐξέρχεται.

α 1333 Ἀλλοπρόσαλλος: εὐμετάβλητος. ὁ ποτὲ μὲν ἑτέρῳ, ποτὲ δὲ ἄλλῳ προσκείμενος. οὐ γὰρ μόνον δειλὸς ἦν ὁ Προυσίας βασιλεὺς, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλοπρόσαλλος.

α 1334 Ἄλλος: ἀντὶ τοῦ ἕτερος. Ὅμηρος· ὅς χ’ ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ. τάσσεται δὲ καὶ ἀντὶ τοῦ τίς. ὁππότε κεν καὶ ἄλλος. καὶ Ἄλλως τε ἀντὶ τοῦ μάλιστα. καὶ αὖθις· οἴσετε δ’ ἄρν’, ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν Γῇ τε καὶ Ἠελίῳ· Διῒ δ’ ἡμεῖς οἴσομεν ἄλλον. Ἑλληνικῶς ἐπὶ μὲν τοῖν δυοῖν τὸ ἕτερον τῷ ἑτέρῳ ἀντιδιέσταλκεν, ἐπὶ δὲ τοῦ τρίτου, ἄλλον εἴρηκεν.

α 1335 Ἄλλος ἄλλον: ἀντὶ τοῦ ἀλλήλους.

α 1336 Ἁλὸς ἄχνη: ἀφρὸς θαλάσσης.

α 1337 Ἄλλος βίος, ἄλλη δίαιτα: παροιμία ἐπὶ τῶν εἰς ἀμείνονα βίον μεταβαλόντων.

α 1338 Ἄλλος οὗτος Ἡρακλῆς: ἐπὶ τῶν βίᾳ τι πραττόντων. παροιμιῶδες ἐπὶ Θησεῖ λεχθὲν τὸ πρῶτον ἢ τῷ τῶν Ἰδαίων Δακτύλων Ἡρακλεῖ ἢ τῷ Ἀλκμήνης διὰ τοὺς παλαιοτέρους.

α 1339 Ἀλοστατεῖ: στρατεύεται.

α 1340 Ἁλοσύδνης: τῆς θαλάσσης.

α 1341 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ: ἐπὶ τῶν ποτε μὲν δυσπραγούντων, ποτὲ δὲ εὐπραγούντων.

α 1342 Ἄλλο τόσον· Ὅμηρος· τοῦ δὲ καὶ ἄλλο τόσον. οὕτως εἴωθε λέγειν ἄλλο τόσον, ἐπειδὰν ἀπολίπῃ τι τοῦ ὅλου μικρὸν ἀτελές.

α 1343 Ἀλλότρια βάλλειν: ἐπὶ τῶν ἐν τῷ κυβεύειν διαμαρτανόντων.

α 1344 Ἀλλότριον ἀμᾷς θέρος: ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων.

α 1345

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλλοτριονομοῦντες: ἐναλλαγὴν ὀνομάτων ποιοῦντες ἢ ὅλως τισί τινα μὴ προσηκόντως διανέμοντες.

α 1346 Ἀλλοτριοπραγεῖν: ἐχθρῶς βουλεύεσθαι. ἐσημειοῦντο μηδὲν αὐτὸν ἀλλοτριοπραγεῖν, μηδὲ καινοτομεῖν.

α 1347 Ἀλλοτριῶ· αἰτιατικῇ.

α 1348 Ἀλλοτρίως: πολεμίως. καὶ ὁ Δαβίδ· καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. τουτέστι τῶν δυσμενῶν.

α 1349 Ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν οὐδὲν κάκιον εἰς ἅπαντα, πλὴν ἄλλαι γυναῖκες: τουτέστιν εἰ μὴ ἄλλη γυνή.

α 1350 Ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κατακείσομαι· Ἀριστοφάνης Νεφέλαις. τουτέστιν οὐ μὴ ἀθυμήσω· οἷον οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις.

α 1351 Ἀλλ' οὐδέ γ' αὐδᾶν ἔσθ', ἃ μήδε δρᾶν καλόν. γνωμικόν.

α 1352 Ἀλλ' οὐ διὰ τὴν ἐν τῷ ποδὶ πρὸς τὴν λύραν ἀμετρίαν: ἐπὶ τῶν ἀπὸ ἄλλης αἰτίας ὀφειλόντων τιμωρίαν, ἢ ἐφ' οἷς. αὐτοὶ προβάλλονται οἱ κατηγορούμενοι.

α 1353 Ἀλλ' οὐ θέμις: ἀλλ' οὐ δυνατόν. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν. ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν, οἷς τὸ κοινωνεῖν περὶ πάντων ἀφθόνως.

α 1354 Ἀλλ' οὐκ αὖθις ἀλώπηξ: λείπει τὸ εἰς πάγην· ἅπαξ ἀλώπηξ εἰς πάγην.

α 1355 Ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος: ἐπὶ τῶν ἀνηνύτων. λείπει δὲ τὸ φάρμακον. λέγει δὲ ἐν ἤθει ὁ θεράπων, ὅτι οὐκ ἔστι τις ἐν τῷ δακτυλίῳ ἐπῳδή, ὃ φάρμακον πρὸς δῆγμα συκοφάντου· ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες, ὅτι χρησιμεύει τόδε πρὸς τόδε. ἄλλως· ἀλεξητήριον τῶν δηλητηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην. φησὶν οὖν· ὡς ἂν ἔχῃς φαρμακίτην δακτύλιον, ἀλλ' οὐ πρὸς δῆγμα τοῦ συκοφάντου, ὡς τούτων χειρόνων ὄντων καὶ θηρίων, πρὸς ἃ ὁ δακτύλιος πεποίηται.

α 1356 Ἀλλ' οὐ λαχοῦς' ἔπινες ἐν τῷ γράμματι: Ἀριστοφάνης. ἀντὶ τοῦ ἐδίκαζες. οἱ γὰρ Ἀθηναῖοι κατὰ γράμμα ἐκληροῦντο ἀπὸ τῶν ι′ φυλῶν. οἷον ἡ πρώτη τὸ α′ εἶχε σημεῖον, ἡ δευτέρα τὸ β′, μέχρι τοῦ κ′. ι′ γὰρ φυλῶν οὐσῶν ι′ ἐγίνοντο δικασταί. ὁ οὖν λαχὼν τὸ α′ πρῶτος ἐδίκαζε καὶ οἱ ἄλλοι ὁμοίως. τάχα οὖν σύ, φησί, λαχοῦσα οὐκ ἐδίκαζες, ἀλλ' ἔπινες.

α 1357 Ἁλουργά: θαλασσοπόρφυρα. αἱ μίτραι, τό θ' ἁλουργὲς ὑπένδυμα, οἵτε Λάκωνες πέπλοι.

α 1358 Ἁλουργιαῖον: ἀντὶ τοῦ ἁλουργές. Ἀντιφάνης.

α 1359 Ἁλουργίς: πορφυρᾶ χλανίς. ἐπειδὴ δὲ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν ἁλουργίδα ἐπήγαγεν Ἀριστοφάνης. Ἁλουργὴς δὲ ἐσθής, τῆς ἁλουργοῦς, τῇ ἁλουργεῖ. ἐσθῆτα ἁλουργῆ.

α 1360 Ἁλουργοπωλική: ἡ πορφυροπωλικὴ λεγομένη. οὕτως Ἰσαῖος.

α 1361 Ἄλουτος: χωρὶς τοῦ ς. ἀπαράτιλτος, ἓξ ἐτῶν ἄλουτος.

α 1362 Ἀλλ' οὑτοσὶ τρέχει τὶς Ἀλφειὸν πνέων· Ἀριστοφάνης. Ὀλυμπιακὸς σταδιοδρόμος, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ.

α 1363 Ἀλοφάζω: σκιρτῶ, παροινῶ.

α 1364 Ἀλλόφωνος.

α 1365 Ἀλλόφυλος: ὁ ἀπὸ ἄλλης φυλῆς, ὁ ἀλλογενής.

α 1366 Ἀλόχευτος: ἀγέννητος. ἐξ ἀσπόρου, ἐξ ἀλοχεύτου προελθὼν καὶ λογχευθεὶς τὴν πλευράν.

α 1367

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄλοχος: γαμετή. Εὐριπίδου ἐξ Ἀνδρομέδας· ἀγοῦ με, ὦ ξένε, εἴ τε δμωΐδ' ἐθέλεις εἴτ' ἄλοχον.

α 1368 Ἅλω: ἡ εὐθεῖα ἡ ἅλω. τὸ γὰρ ἅλως πταῖσμα νεωτερικόν.

α 1369 Ἅλω: ἀντὶ τοῦ ἅλες. Φιλύλλιος.

α 1370 Ἁλῶ: πιεσθῇ, καταγνωσθῇ.

α 1371 Ἁλῶ· κατὰ περιποίησιν γενικῇ· ἐὰν δέ τις ἐπαχθῇ τῶν γονέων κακώσεως ἡλωκώς. καὶ ἐὰν δέ τις ἁλῷ παρανόμων ἢ κλοπῆς.

α 1372 Ἁλῶα: ἑορτή ἐστιν Ἀττική. Φιλόχορος δέ φησιν ὀνομασθῆναι ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς περὶ τὰς ἅλως ποιεῖσθαι.

α 1373 Ἁλωάς: ἁλωνίας, τοὺς τόπους ἔνθα ὁ σῖτος ἁλοᾶται. ἔστι δὲ καὶ ἡ δενδροφόρος γῆ. ἀπὸ τοῦ ἀλοιῶ ἐστὶν ἁλῳὴ σὺν τῷ ι. ἔθων Οἰνῆος ἁλῳήν. τὸ δὲ ἁλωὰς ἀπὸ τοῦ ἅλως, ἄνευ τοῦ ι. λέγεται δὲ Ἅλωνος καὶ ἅλωνι ἡ δοτική. αὐτοῦ σοι παρ' ἅλωνι δυηπαθὲς ἐργάτα μύρμηξ ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμην.

α 1374 Ἀλώβητον: ἄμωμον, ἀβλαβές.

α 1375 Ἁλωαί: ἁλωνίαι ἢ παράδεισοι.

α 1376 Ἁλῷεν: ληφθεῖεν, πορθηθεῖεν.

α 1377 Ἀλωεύς: ὄνομα κύριον.

α 1378 Ἁλωή: σιτοφόρος χώρα· Ἀλόη δέ. τὸ μυρεψικόν.

α 1379 Ἀλώμενος: πλανώμενος. οἱ δὲ Γήπαιδες σποράδην ἀλώμενοι προσεχώρουν αὐτῷ κατ' ὀλίγους. καὶ αὖθις· ὁ δὲ θεοσύλης λιπὼν τὴν πατρίδα καὶ ἀλώμενος ἐτέλει. καὶ αὖθις· ἀλώμενος δ' ἐγὼ μετὰ τὴν ἔφοδον τῶν βαρβάρων ἦλθον εἰς Φαράν.

α 1380 Ἅλωμαι: τὸ πηδῶ.

α 1381 Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: ἐπὶ τῶν καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσι καὶ μηδενὶ μεταδιδόντων.

α 1382 Ἁλῶναι: ληφθῆναι, συνδεθῆναι. καὶ ἐπιορκίας ἁλῶναι μάλιστα φυλαττόμενος.

α 1383 Ἁλωνευόμενος· Ἀππιανός· τὸ δὲ λοιπὸν τοῦ θέρους ἀμφότεροι περὶ σιτολογίαν ἐγίνοντο, Περσεὺς μὲν ἐν τοῖς πεδίοις ἁλωνευόμενος, Ῥωμαῖοι δὲ ἐν τῷ στρατοπέδῳ. ὁ δὲ Περσεὺς ἐμπρήσειν ἐβούλετο διὰ τὰ ἄχυρα.

α 1384 Ἁλώνητον: τὸ ὑπὸ ἁλῶν ἐωνημένον. ἴσον τῷ βάρβαρον. καὶ παροιμία· Ἁλώνητον ἀνδράποδον. ἐπὶ τῶν οὐδενὸς λόγου ἀξίων· παρόσον οἱ ἔμποροι κομίζοντες εἰς τὴν μεσόγαιαν ἅλας ἀντὶ τούτου οἰκέτας ἐλάμβανον. καὶ Ἁλώνητος, ὁμοίως βάρβαρος. οἱ γὰρ Θρᾷκες ἀνδράποδα ἁλῶν ἀπεδίδοντο.

α 1385 Ἁλωνία: ἡ τῆς ἅλωνος. καὶ Ἁλωνοτριβῶ, ἐπὶ τῆς ἅλωνος διατρίβω.

α 1386 Ἀλωπεκῆθεν: δῆμός ἐστιν ἡ Ἀλωπεκὴ τῆς Ἀντιοχίδος. καὶ ὁ δημότης Ἀλωπεκεύς.

α 1387 Ἀλωπεκιανός· καὶ Ἀλωπεκία, ἡ περικεφαλαία.

α 1388 Ἀλωπεκίζειν: ἐπὶ τῶν ἐξαπατᾶν ἐγχειρούντων.

α 1389 Ἀλωπεκόννησος: πόλις ἐστὶ μία τῶν ἐν Χερροννήσῳ. ὅτι Αἶνος πόλις ἐστὶ τῆς Θρᾴκης, ἣν Ἕλληνες τὰ πρῶτα Ἀλωπεκοννησίοις κατῴκισαν, ὕστερον δὲ ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγάγοντο ἐποίκους.

α 1390 Ἀλώπηξ: ὄνομα κύριον.

α 1391 Ἀλώπηξ οὐ δωροδοκεῖται: ἐπὶ τῶν οὐ ῥᾳδίως δώροις πειθομένων. Κρατῖνος Νόμοις· ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται.

α 1392 Ἀλώπηξ τὸν βοῦν ἐλαύνει· τάττεται ἡ παροιμία ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων. κερδοῖ συνών τε κερδοσύνην μὲν προσδόκα.

α 1393 Ἀλωπόχρους: ὁ πολιός.

α 1394 Ἁλωρῆται: οἱ τὰς ἅλως φυλάσσοντες.

α 1395 Ἄλλως: μάτην, ἢ μάλιστα, ἢ κατ’ ἄλλον τρόπον. εἴρηται δὲ καὶ Τηνάλλως μετὰ τοῦ ἄρθρου, καὶ Ἄλλως τε. οὐδὲ ὤλισθον ἄλλως αἱ εὐχαὶ καὶ αἱ κατὰ τοῦ θεῷ ἐχθροῦ ἀραί.

α 1396 Ἄλλως: ματαίως. ἐπόνουν δὲ ἄλλως.

α 1397 Ἅλως· τῆς ἅλω κλίνεται Ἀττικῶς.

α 1398 Ἄλλως· οἰόμενος τοῦτο οὐ δύνατον, εἴτε ἄλλως, εἴτε καὶ δυνατὸν φανείη, συμφέρον αὐτῷ γενέσθαι. ἀντὶ τοῦ κατὰ ἄλλον τρόπον, ἢ μάτην, ἢ μάλιστα. καὶ αὖθις· ὑπὲρ δὴ τούτων τί φατὲ οἱ τὴν πρόνοιαν ἀλᾶσθαι ἄλλως, καὶ μῦθον εἶναι λέγοντες; καὶ αὖθις· τὰ δὲ ἄλλα τοῖς φιλοσόφοις ἐπήρκουν καὶ τοῖς δεομένοις ἄλλως δι’ ἐπιείκειαν καὶ ἐλευθέραν προαίρεσιν.

α 1399 Ἄλλως ᾄδεις: ἐπὶ τῶν μάτην πονούντων.

α 1400 Ἄλλως ἀναλίσκεις ὕδωρ: ἐπὶ τῶν μάτην ἐν λόγοις πονούντων. μετήνεκται δὲ ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων.

α 1401 Ἁλώσιμα: εὔληπτα. Ἀρριανός· ἀπὸ τῶν φρουρίων ὁρμώμενος ἦγε τε καὶ ἔφερε τῆς ὑπ’ ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῇ ἦν αὐτῷ ἁλώσιμος.

α 1402 Ἅλωσις Ἱερουσαλήμ· ζήτει ἐν τῷ Ἀντίοχος.

α 1403 Ἄλλως τε: μάλιστα.

α 1404 Ἁλωτόν: τὸ ληφθῆναι δυνάμενον. πᾶν τὸ ζητούμενον, ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον. καὶ Ἁλωτοί· ληπτοί, χειρωτοί. καὶ Εὐριπίδης· οὐ μή ποθ’ ἁλῶ κακὰ πράσσων.

α 1405 Ἁλωτῶ· ῥῆμα.

α 1406 Ἄλλῳ τῳ: ἀντὶ τοῦ ἄλλῳ τινί.

α 1407 Ἄλπειον: ὄνομα ὄρους. καὶ Ἄλπεις, ὄρη ἐπιμήκη, ἃς ὥσπερ τεῖχος Ἰταλίας ἡ φύσις ἤγειρεν, ὑπερνεφῆ μὲν τὸ ὕψος, ἐπιμηκέστατα δέ, ὡς πᾶσαν Ἰταλίαν διειληφότα καθήκειν· ἃς εἰσβολὰς καλοῦσι. καὶ Ἄλπεις, ὄρη διορίζοντα Γάλλους καὶ Αἰλούρους· ἔνθα ξυνέβαινε φρούρια συχνὰ εἶναι. οὗ δὴ Γότθοι ἐκ παλαιοῦ ᾠκημένοι φυλακὴν εἶχον.

α 1408 Ἄλση: τεμένη.

α 1409 Ἁλσὶ διασμηχθεὶς ὄναιτ’ ἂν οὑτοσί: ἐπὶ τῶν παραπαιόντων· μεταφορικῶς ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, ὅσοις ἅλες βάλλονται, ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν εὐχερῶς. ἐπειδὴ τοὺς ὑπὸ μέθης ὥσπερ παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ Στρεψιάδου μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὃς ἐπὶ ὡμολογημένοις ἔξαρνός ἐστιν· οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβρεχθεὶς ἁλσίν. ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος, οἵ τινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται. ἅμα δὲ καὶ παραφρονοῦντας βρέχομεν ἐλαίῳ καὶ ἁλσὶ καὶ ὠφελοῦνται. ἢ ὡς παχύδερμον αὐτὸν χλευάζει· τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. ὄναιτο οὖν, φησίν, ἀποκαθαρθεὶς τὴν παχύτητα.

α 1410 Ἄλσος: ὁ σύνδενδρος τόπος. αἵ τε νῆες, ἃς ἐπήξαντο ἐκ τῶν Ὀλυμπιακῶν ἀλσέων καὶ τοῦ χώρου τοῦ τῷ Διῒ κομῶντος, κατεσάπησαν.

α 1411 Ἄλτειον: ὄνομα ὄρους.

α 1412 Ἀλοῖα: ἡ τύπτουσα. καὶ Ἀλοιᾶν, τύπτειν.

α 1413

Ἁλοίη: κρατηθείη. καὶ Ἁλοῖεν, ληφθεῖεν.

α 1414 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ’ ἐλπίδα κληρονομησάντων.

α 1415 Ἀλλοῖος: ὁ παρηλλαγμένος ἢ ὁ ἀλλοδαπός.

α 1416 Ἀλλοιοφανής.

α 1417 Ἀλοιῶν: τύπτων, κρούων. ὁ δὲ ῥοπάλῳ ἀλοιῶν εἴθ’ ἑτέρῳ τρόπῳ τοῦτον ἔκτεινεν. ἔνθεν καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. καὶ Ἀλοῖα, ἡ τύπτουσα. καὶ Ὅμηρος· ἄχρις ἀπηλοίησεν. Ἀλύω δὲ τὸ χαίρω, καὶ Ἀλύω τὸ λυποῦμαι, βαρυτόνως.

α 1418 Ἀλλοίωσις· ἀλλοίωσίς ἐστι μεταβολὴ ἐξ εἰδοπεποιημένου εἰς εἰδοπεποιημένον, τοῦ αὐτοῦ ὑποκειμένου μένοντος. διττοῦ δὲ τοῦ πάθους λεγομένου, τὸ μὲν εἰς φθορὰν ἄγον κυρίως λέγεται πάθος τε καὶ ἀλλοίωσις, τὸ δὲ εἰς τελειότητα, οὐ κυρίως λέγεται πάθος οὐδὲ ἀλλοίωσις, ἀλλὰ γένεσις μᾶλλον.

α 1419 Ἄλλοις μὲν γλῶττα, ἄλλοις δὲ γόμφοι: παρόσον οἱ μὲν λάλοι, οἱ δὲ φάγοι.

α 1420 Ἀλοίτης.

α 1421 Ἅλοιτο: κινοῖτο, ὁρμῷτο. αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις, σκηνίτης μαλακοὺς κισσὸς ἅλοιτο πόδας.

α 1422 Ἀλοίφη: τὸ λίπος.

α 1423 Ἀλυάττης, Λυδῶν βασιλεύς, ὃς ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος· καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν ᾔσχυνεν. ἐγέννησε δὲ Ἀλυάττην, ὅστις ἕως μὲν νέος ἦν, ὑβριστὴς ἦν καὶ ἀκόλαστος, ἐκβὰς δὲ ἐς ἄνδρα σωφρονέστατος καὶ δικαιότατος. ἐπολέμησε δὲ Σμυρναίοις καὶ εἷλε τὸ ἄστυ. οὗτος δὲ γεννᾷ τὸν Κροῖσον· στρατεύσας ἐπὶ Καρίαν περιήγγειλε τοῖς ἑαυτοῦ στρατὸν ἄγειν ἐς Σάρδεις, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων ἀποδεδειγμένος Ἀδραμυττείου τε καὶ Θήβης πεδίου. Ἀλυάττου πολιορκοῦντος Πριήνην φησίν.

α 1424 Ἀλύβη: ὄνομα στήλης.

α 1425 Ἀλύδενος: ὁ κακὸς ἄνεμος.

α 1426 Ἀλύδιμος: ὁ οἰκουρός.

α 1427 Ἀλύει: ἀδημονεῖ, δυσχεραίνει, ἀθυμεῖ, ἀπορεῖ. ἀλύουσα καὶ ἀσχάλλουσα παῦσαι. καὶ Ἀλύω τὸ χαίρω ἐνίοτε.

α 1428 Ἀλύειν: τὸ ἐν ἄλῃ δυσφορεῖν. σημαίνει δὲ ἐνίοτε καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος· ἢ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην; ὅθεν καὶ δασύνεται. Σοφοκλῆς· ἐᾶτέ μ’ ὧδ’ ἀλύειν. ἐπὶ δὲ τοῦ δυσφορεῖν καὶ ψιλοῦται. Ἀγαθίας φησίν· ἀλύοντι δέ οἱ καὶ γνωματεύοντι ἕκαστα, ἔδοξε χρῆναι ἀποπειρᾶσθαι ἀμηγέπη τοῦ φρουρίου. Δίδυμος δὲ ἀμφότερα ψιλῶς. τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεσθαί φησιν, τὸ δὲ ἀπὸ τῆς ἄλης. Ἀττικώτερον δὲ τὸ ἀμφότερα δασύνειν. καὶ γὰρ τὸ ἁλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα.

α 1429 Ἁλυκόν: δριμύ. ἁλυκὸν δέ οἱ ἔκπεσε δάκρυ.

α 1430 Ἀλυκρά: χλιαρά. γέντο δ’ ἀλυκρά.

α 1431 Ἀλυκτεῖν: δυσφορεῖν. ἀγανακτεῖν.

α 1432 Ἄλυκτον: τὸ ἄφυκτον.

α 1433 Ἀλυκτοπέδη: ἡ χαλεπὴ πέδη.

α 1434 Ἀλυκτοσύνη: ἡ ἔκκλισις.

α 1435 Ἀλύξαι: ἐκφυγεῖν· ἢ καταξῦσαι.

α 1436 Ἀλύω: τὸ χαίρω καὶ ἀλύω τὸ λυποῦμαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1437 Ἀλυπότερος: ὁ μὴ λυπούμενος.

α 1438 Ἁλυσείδιον· καὶ Ἁλυσειδωτὸς θώραξ.

α 1439 Ἅλυσις, ἁλύσεως.

α 1440 Ἁλύσιον: πλοκίου γένος περὶ τὸν τράχηλον. Μένανδρος Καρίνῃ· περὶ τὸν τράχηλον ἁλύσιόν τί σοι δότω.

α 1441 Ἀλυσιτελές: ἀσύμφορον.

α 1442 Ἀλυσκάζειν: περιΐστασθαι, ἐκκλίνειν, φεύγειν. εἰ γὰρ φέγγος ἔλιπον ἀλυσκάζουσαι ἰάμβων ἄγριον Ἀρχιλόχου φθέγμα Λυκαμβιάδες.

α 1443 Ἄλυτα: ὄνομα πόλεως.

α 1444 Ἄλλυτος: δυσχερῶς λυομένη. ἐν Ἐπιγράμμασι· κακοῦ δ’ ἐπὶ γήραος ἡμῖν ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη.

α 1445 Ἄλφα· ὅτι τὰ ἄκλιτα, οἷον τὸ ἄλφα, χωρὶς ἄρθρου δίδωσιν ὑπόνοιαν εὐθείας, εἰ δὲ σὺν ἄρθρῳ πλαγίας πτώσεως. ὅτι ἡ τοῦ ἄλφα φωνή, τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ Ἄλεφ Ἑβραίου τὴν ἐπίκλησιν ἔλαβεν· ὥστε τὰ ἱερὰ γράμματα εὑρήματα εἶναι τοῦ Ἀβραάμ, κἂν ἄλλως καὶ ἄλλως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες.

α 1446 Ἀλφάνει: εὑρίσκει. Μένανδρος Ὁμοπατρίοις· ἦν δῆλον οὔτι νυμφίος τε ἀλφάνει. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· οἴμοι κακοδαίμων τῆς τόθ’ ἡμέρας, ὅτε εἶπέ μ’ ὁ κήρυξ· οὗτος ἀλφάνει. Εὔπολις Ταξιάρχαις· οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν ἀποκηρύξει τις, ἐὰν ἀλφάνῃ. καὶ ὁ Ποιητής· ἑκατόμβοιον ὅς τ’ ἀλφάνει.

α 1447 Ἀλφεσίβοια: εὑρετικὴ βοῶν.

α 1448 Ἀλφειός: ποταμός. Ὅμηρος· ὅς τ’ εὐρὺ ῥέει Πυλίων διὰ γαίης. ὃς ἐκ τῆς πηγῆς εὐθέως κρύπτεται καὶ πολὺν ἐνεχθεὶς τόπον ὑπὸ γῆς ἐκβάλλει περὶ Λυκόαν τῆς Ἀρκαδίας. ὁ δὲ ποταμὸς οὐ πολὺν τόπον ἀποσχὼν τῆς πηγῆς καὶ κρυφθεὶς ἐπὶ δέκα σταδίους πάλιν ἐκπίπτει, καὶ τὸ λοιπὸν φερόμενος διὰ τῆς Μεγαλοπολίτιδος τὰς μὲν ἀρχὰς ἐλαφρός, εἶτα λαμβάνων αὔξησιν καὶ διανύσας ἐπιφανῶς πᾶσαν τὴν προειρημένην χώραν ἐπὶ δέκα σταδίους, γίνεται πρὸς Λυκόαν, ἤδη προσειληφὼς καὶ τὸ τοῦ Λουσίου ῥεῦμα, παντελῶς ἄβατος ὢν καὶ βαρύς. ζήτει περὶ τούτου καὶ ἐν τῷ Ἀρέθουσα.

α 1449 Ἀλφειός: ποταμὸς τῆς Ἀρκαδικῆς πόλεως, ἣ κεῖται κατὰ τὴν Πελοπόννησον. δυόμενος δὲ διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος, μηδαμῶς τε τῇ ἁλμυρίδι μιγνύμενος, κατὰ τὴν νῆσον ἀναδίδοται Σικελίας περὶ τὴν πηγὴν τὴν λεγομένην Ἀρέθουσαν, ὡς ἂν ταύτης ἐρώμενος. ἀλλ’ οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων. οὕτω συντόμως τρέχει ὡσεὶ Ὀλυμπιακὸς σταδιοδρόμος, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. περὶ τούτου οἶμαι τὸν Θεόλογον λέγειν· καὶ εἴ τις ποταμὸς πιστεύεται δι’ ἅλμης ῥέων γλυκύς.

α 1450 Ἀλφηστής: εὑρετής.

α 1451 Ἄλφι: ἄλφιτον. τοῦτο δὲ καλεῖται ἀπότρωκτον, ὅ φασι πρῶτον εὑρεῖν Ἐπίχαρμον.

α 1452 Ἄλφιτα: τὰ ἀπὸ νέας κριθῆς ἄλευρα. πολλὰ μὲν ἄλφιτα ἀπέκειτο πεφυρμένα, πολλαὶ δὲ κριθαὶ ἀλεῖν· μύλη γάρ τις ἦν αὐτόθι.

α 1453 Ἀλφιταμοιβούς· Ἀριστοφάνης· ἢν δ’ ἀποκλίνῃ τὴν θύραν, τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας δεῖπνον παρέχειν ἅπασιν ἢ κλαίειν μακρά.

α 1454 Ἀλφιτεῖς: οἱ τὰ ἄλφιτα ποιοῦντες. Ὑπερίδης.

α 1455 Ἀλφιτόπωλις: ἡ τὰ ἄλφιτα πωλοῦσα.

α 1456 Ἀλφιτοσιτῶ. καὶ γὰρ ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μάζαν ἐσθίει. Ξενοφῶν.

α 1457 Ἀλφούς: λευκοὺς ἢ λευκάς.

α 1458 Ἅμα· δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε, καὶ ἐν τῷ ὑπὲρ τῶν ῥητόρων λόγῳ εἰπών· οὐ γὰρ ὁ θάνατος τοῖς εὖ φρονοῦσιν οἰκτρός· τοῦτο γὰρ ἅμα τῷ γενέσθαι πάντων κατέγνωσται. Αἰσχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρὸν ἐν τῷ κατὰ Κτησιφῶντος· ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται ἐπὶ τὸ αὐτό. φησὶ γὰρ ἐν Προοιμίοις· ἀλλ' εἰ τότε πρᾶγμά μοι κρεῖττον φαίνεται, ἅμα τε μαρτυρία ἀρετῆς πράξομαι. καὶ παρὰ Δημοσθένει ἐν τῷ περὶ τοῦ στεφάνου· πάσαις δὲ λοιδορίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου.

α 1459 Ἅμμα: ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους, ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἱ φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες.

α 1460 Ἅμα δίδου καὶ λάμβανε: παροιμία ἐπὶ τῶν ἀγνωμόνων καὶ ἀπίστων.

α 1461 Ἀμάδοκος· δύο γεγόνασι, πατὴρ καὶ υἱός· ὃς καὶ Φιλίππῳ συμμαχήσων ἦλθεν εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον.

α 1462 Ἅμα ἔπος, ἅμα ἔργον: παροιμία ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων.

α 1463 Ἀμάλη: ὁ καρπός. καὶ παροιμία· Αὐταῖς ἀμάλαις· ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων, οἱονεὶ αὐτοῖς βάθροις.

α 1464 Ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: παροιμία ἐπὶ τῶν εὐεργετουμένων καὶ ταχὺ ἐπιλανθανομένων.

α 1465 Ἀμαζόνειον: ἱερόν, ὃ Ἀμαζόνες ἱδρύσαντο. οὕτως Ἰσαῖος. καὶ Ἀμαζόνειον κέρας.

α 1466 Ἀμαθέσιν: ἀνηκόοις. ὁ δὲ ἤλαυνε νυκτὸς ἀμαθέσι τῶν ποιουμένων χρῄζων τοῖς πολεμίοις ἐπιπεσεῖν.

α 1467 Ἀμαθέστερος. καὶ Ἀμαθής· ἀντὶ τοῦ ἀπαίδευτος καὶ ἀκόσμητος· Πλάτων. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δυσμαθοῦς καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου.

α 1468 Ἀμαθεί: ἀδιδάκτως. Ἀμαθὶ δὲ ὄνομα κύριον.

α 1469 Ἀμαθής: ἀμύητος, ἀδίδακτος. ὁ δὲ ἀκούει ταῦτα καὶ μὴ ὢν ἀμαθὴς οἰωνῶν τὸν παῖδα ἐπανάγει καὶ ἐκτρέφει ὡς γνήσιον.

α 1470 Ἀμάθητος: ἀδίδακτος. ὁ δὲ Ἰουστῖνος ἀμάθητος ἦν γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. καί, ἀμαθὴς ἔφυς κοὐ πολυπράγμων οὐδὲ τὸν Αἴσωπον πεπάτηκας. ἐπὶ τῶν ἰδιωτῶν. τὸ δὲ πατῆσαι ἶσόν ἐστι τῷ ἐνδιατρίψαι· ὡς τὸ ἀφικέσθαι που λέγομεν. καὶ αὖθις Ἀριστοφάνης· ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον. παρὰ τὴν παροιμίαν, σαφέστερόν μοι κἀμαθέστερον φράσον.

α 1471 Ἀμαθία: ἀντὶ τοῦ ἀναισθησία. Πλάτων.

α 1472 Ἄμαθος: ἡ τῆς πεδιάδος κόνις. Ψάμαθος δὲ ἡ τῆς θαλάσσης.

α 1473 Ἀμαθοῦς: πόλις Κύπρου.

α 1474 Ἅμα κνέφᾳ: ὄρθρου. καὶ Κνεφαῖον λέγουσι τὸν ὄρθριον.

α 1475 Ἀμαλασούνθα· αὕτη μήτηρ Ἀταλαρίχου. ἥτις δικαιοσύνης ἐπὶ πλεῖστον ἐλθοῦσα, τῆς τε φύσεως ἐς ἄγαν τὸ ἀρρενωπὸν ἐνδεικνυμένη, ὅσον χρόνον τῆς πολιτείας προὔστη, οὐδένα τῶν πάντων Ῥωμαίων ἐς τὸ σῶμα ἐκόλασεν ἢ χρήμασιν ἐζημίωσεν. οὐ μὴν οὐδὲ Γότθοις ξυνεχώρησεν ἐς τὴν ἐς ἐκείνους ἀδικίαν ὀργῶσιν. ἐβούλετο δὲ καὶ τὸν παῖδα τοῖς Ῥωμαίων ἄρχουσι τὰ ἐς τὴν δίαιταν ὁμότροπον καταστήσασθαι καὶ φοιτᾶν ἐς γραμματιστοῦ ἤδη ἠνάγκαζε· τρεῖς τε ἀπολεξαμένη τῶν ἐν Γότθοις γερόντων, οὕσπερ ἠπίστατο μᾶλλον ἁπάντων ξυνετούς τε καὶ

ἐπιεικεῖς εἶναι, ξυνδιαιτᾶσθαι Ἀταλαρίχῳ ἐκέλευσε. Γότθοις δὲ ταῦτα οὐδαμῇ ἤρεσκε. τῇ γὰρ ἐς τοὺς ὑπηκόους ἀδικίας ἐπιθυμίᾳ βαρβαρικώτερον πρὸς αὐτοῦ ἄρχεσθαι ἤθελον. καί ποτε ἡ μήτηρ ἁμαρτάνοντά τι ἐν τῷ κοινῷ τὸν παῖδα λαβοῦσα ἐρράπισε, καὶ ὃς δεδακρυμένος ἐς τὴν ἀνδρωνῖτιν ἐνθένδε ἀπῆλθε. Γότθοι δὲ αὐτῷ ἐντυχόντες δεινὰ ἐποιοῦντο καὶ τῇ Ἀμαλασούνθῃ λοιδορούμενοι ἰσχυρίζοντο βούλεσθαί τε αὐτὴν τὸν παῖδα ἐξ ἀνθρώπων ἀφανιεῖν ὅτι τάχιστα, ὅπως αὐτὴ ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἐλθοῦσα ξὺν αὐτῷ ἄρχοι. ξυλλεγέντες δὲ ᾐτιῶντο οὐκ ὀρθῶς σφίσιν οὐδέ οἱ τὸν βασιλέα παιδεύεσθαι. γράμματά τε γὰρ πολὺ κεχωρίσθαι ἀνδρίας καὶ διδασκαλίαν γερόντων ἀνθρώπων ἔς τε τὸ δειλὸν καὶ τὸ ταπεινὸν ἀποκρίνεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον. δεῖν τοίνυν τὸν ἔν τινι ἔργῳ τολμητήν τε καὶ δόξῃ μέγαν ἐσόμενον, φόβου τοῦ ἐκ διδασκάλων ἀπαλλαγέντα, τὰς ἐν τοῖς ὅπλοις μελέτας ποιεῖσθαι. ἔλεγον δὲ καὶ ὡς ἥνπερ αὐτοῖς τὸ ἀπὸ τοῦ σκύτους ἐπιγένηται δέος, οὐ μήποτε ξίφους ἢ δορατίου ὑπερφρονεῖν ἀξιώσουσιν. οὐκοῦν, ὦ δέσποινα, ἔφασαν, παιδαγωγοὺς μὲν τούτους χαίρειν ἔα, σὺ δὲ Ἀταλαρίχῳ παῖδας ὁμοδιαίτους ἥλικας δίδου, οἵπερ αὐτὸν τὰ ἐς τὴν ἡλικίαν ξυνακμάζοντες ἐς τὴν ἀρετὴν κατά γε τὸν βάρβαρον νόμον ὁρμήσουσιν. ἡ δὲ οὐκ ἐπῄνεσε μέν, δείσασα δὲ τὴν ἐξ αὐτῶν ἐπιβουλὴν ξυνεχώρησε πάντα, ὅσα οἱ βάρβαροι ἤθελον.

α 1476 Ἀμαλήκ: ὄνομα κύριον. καὶ ἐξ αὐτοῦ Ἀμαληκίτης.

α 1477 Ἀμάλθακτον: ἀνένδοτον, ἑδραῖον.

α 1478 Ἀμαλθείας κέρας: ἐπὶ τῶν ἀφθόνως ζώντων καὶ εὐθυνούντων καὶ εὐπραγούντων. ἐν Μύθοις· ἔνθ' ἵνα μοι βίος ἐστὶν Ἀμαλθείης κέρας αἰγός. Ἀμάλθεια γὰρ ἡ τροφὸς τοῦ Διὸς παρὰ τὸ μὴ μαλάσσεσθαι.

α 1479 Ἀμαλδυνθήσομαι: ἀφανισθήσομαι. καὶ Ἀμαλδύνεσθαι, ἀφανίζεσθαι.

α 1480 Ἀμαλκείδης.

α 1481 Ἀμαλλοδετήρ: ὁ τὰ δράγματα συλλέγων.

α 1482 Ἀμάμυξις: σταφυλῆς γένος. οἱ δὲ τὴν ἀναδενδράδα οὕτως καλεῖσθαι. ἔστι δὲ καὶ παρ' Ἐπιχάρμῳ καὶ παρὰ Σαπφοῖ τὸ ὄνομα.

α 1483 Ἀμάν· οὗτος προεστὼς τῶν βασιλικῶν πραγμάτων Δαρείου ὑπέσχετο τῷ βασιλεῖ μύρια τάλαντα εἰσοίσειν, εἰ ἀπολέσαι Ἰουδαίους. ὡς δὲ ἔπεισεν, ἐπεστάλη τοῖς ἔθνεσιν ἐν μιᾷ ἡμέρᾳ πάντας ἐξαφανίσαι. πρὶν δὲ συντελεσθῆναι ταῦτα Μαρδοχαῖος τὴν κατ' αὐτῶν ἐπίθεσιν διὰ τῆς Ἐσθὴρ ἐδήλωσε τῷ βασιλεῖ. ὁ δὲ τὰ ἐπισταλέντα ἀνεκαλεῖτο τόν τε Ἀμὰν ἀνεσταύρωσε, μέλλοντα σταυροῦν τὸν Μαρδοχαῖον, πλεῖστοί τε τῶν ἐχθρῶν ὑπὸ τῶν Ἰουδαίων ἀπώλλυντο· καὶ τὰς ἡμέρας ἐκείνας ἑορτάζουσιν Ἰουδαῖοι. ζήτει ἐν τῷ Ἐσθήρ.

α 1484 Ἀμᾶν: θερίζειν, παρὰ τὸ ἅμα. Βάβριος· νῦν ἐστιν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν, ὅτ' αὐτὸς ἀμᾷ κοὐ φίλοισι πιστεύει.

α 1485 Ἀμμανίται: ὄνομα ἔθνους. σημαίνει δὲ καὶ τοὺς μύκητας.

α 1486 Ἅμαξα τὸν βοῦν ἕλκει.

α 1487 Ἁμαξεία: ὁ τῶν ἁμαξῶν φόρτος.

α 1488 Ἁμαξίς: εἶδος πλακοῦντος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος δὲ καὶ τὸ μικρὸν ἁμάξιον. Ἀριστοφάνης Νεφέλαις· ὅτ' ἐπριάμην σοι Διασίοις ἁμαξίδα.

α 1489 Ἁμαξιτόν: ὁδὸν δημοσίαν. Μάλχος· ἡ δὲ εἰσβολὴ τῆς Κιλικίας ἁμαξιτὸς ἦν ὁδός, ὀρθία ἰσχυρῶς καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν.

α 1490 Ἁμαξουργοί. ἁμαξουργοὺς λέγουσι τοὺς ἀγριοπηγούς. εἶδος δὲ οἱ ἀγριοπηγοὶ τεκτόνων, οἳ τὰς ἁμάξας κατασκευάζουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται.

α 1491

Ἀμάρη: ἡ ὑδρορρόα.

α 1492 Ἁμαρτάδας: ἀπὸ τῆς ἁμαρτὰς εὐθείας. Προκόπιος· αἱ τῶν γυναικῶν ἁμαρτάδες οὐκ ἐπὶ τοὺς ἄνδρας ἵενται μόνον, ἀλλὰ καὶ παίδων ἅπτονται μᾶλλον, οὕς γε καὶ δόξαν τινὰ φέρεσθαι ἐκ τοῦ ἐπιπλεῖστον συμβήσεται, ὡς φύσει τρόπου ταῖς γειναμέναις ἐοίκασιν.

α 1493 Ἁμαρτεῖν: ἀποτυχεῖν. γενικῇ.

α 1494 Ἁμάρτη· γενικῇ καὶ δοτικῇ. αὐθυπότακτον· Ἁμαρτῇ δὲ ἐπίρρημα. Ἁμαρτάνω δὲ δοτικῇ.

α 1495 Ἁμαρτήσοι: οὐχ ὑποτάσσεται. ἐὰν ἁμαρτήσει. διὰ διφθόγγου.

α 1496 Ἁμαρτία: ἡ τοῦ ἀγαθοῦ ἀποτυχία. παρὰ τὸ μάρπτω, τὸ καταλαμβάνω, ἀμαρπτία τις οὖσα.

α 1497 Ἁμαρτίαν οἱ Ἀττικοί, Ἁμαρτάδα Ἡρόδοτος καὶ ἄλλοι Ἴωνες.

α 1498 Ἁμαρτωλοί: οἱ παρανομίᾳ συζῆν προαιρούμενοι καὶ βίον διεφθαρμένον ἀσπαζόμενοι.

α 1499 Ἁμαρτοῖν εἴρηκε τὸ ἁμάρτοιμι Κρατῖνος Δραπέτισι· ποδαπὰς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμαρτοῖν. καὶ ὅλως σύνηθες αὐτοῖς τὸ τοιοῦτον.

α 1500 Ἀμαρτυρήτους: ἀντὶ τοῦ ἀμαρτύρους. οὕτως Ἀντιφάνης.

α 1501 Ἀμαρυγάς: ὄψεις. οἱ δὲ ἀκτῖνας ὄψεως. καὶ Ἀμαρυγή, λαμπηδών. καὶ παρὰ Ἀριστοφάνει ἡ κίνησις. ὠκεῖα Μουσάων φάτις, οἵαπερ ἵππων ἀμαρυγά. τουτέστιν ἡ τῶν Μουσῶν φάτις ταχεῖά ἐστιν, ὡς ἵππος ὠκεῖα, ἐπεὶ πτερόεντες οἱ λόγοι.

α 1502 Ἀμαρυγκεύς: ὄνομα. καὶ Ἀμαρυγκείδης.

α 1503 Ἀμάρυγμα: φόρημα, εἴδωλον, κίνησιν, οἱ δὲ λαμπηδόνα.

α 1504 Ἄμας ἀπήτουν, οἱ δ’ ἀπηρνοῦντο σκάφας: ἐπὶ τῶν ἄλλα μὲν αἰτούντων, ἄλλα δὲ τῶν αἰτουμένων ἔχειν ἀπαρνουμένων.

α 1505 Ἄμασις: ὄνομα κύριον. καὶ Ἄμαστος, ὁ ἀμάσητος, ὡς ἄπαστος ὁ ἄγευστος.

α 1506 Ἀμασεία: ὄνομα πόλεως· Ἄμασις δὲ ὄνομα κύριον. ὃς εἷλε Κύπρον πρῶτος ἀνθρώπων καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν. ἔστι δὲ καὶ Ἄμασις ὄνομα πόλεως.

α 1507 Ἀμάστης· πείθουσιν ἄνδρα γενναῖόν τε καὶ ἀμάστην εἰσελθόντα ἀποπνίξαι τὸν Κόμοδον, ὄνομα Νάρκισσον.

α 1508 Ἄμαστος: ὁ ἀμάσητος. ὡς ἄπαστος ὁ ἄγευστος.

α 1509 Ἁματροχία: ἡ ἁρματοτροχία.

α 1510 Ἅμματα: ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους. ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἱ φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες. Κασιώτῃ ἴσον. Ἅμματα, δεσμά. ἐν Ἐπιγράμμασι· χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας Ζεύς, διαδὺς Δανάας χαλκελάτους θαλάμους. καὶ αὖθις· ἁβρῶν τε στρεπτῶν ἅμματι κεκρυφάλων. καὶ Πισίδης περὶ Χοσρόου· ἐπεὶ δὲ λοιπὸν ἐντὸς ἦν τῶν ἁμμάτων, δεσμοῦσιν αὐτὸν ἀσφαλεστέρᾳ δέσει.

α 1511 Ἀμαυρά: σκοτεινά. ὅθεν καὶ ἀμαυρόν, τὸ μὴ διαφανές. καὶ Ἀρριανός· ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι’ ἐλπίδος ἔχω οὐκ ἀμαυρᾶς, ὅτι καλῶς μοι ἕξει.

α 1512 Ἀμαχεί: ἀμάχως.

α 1513 Ἀμάχιος· οὗτος ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἄρχων ἦν μικρᾶς πόλεως Φρυγίας, Ἕλλην γοργός. τῶν ἱερῶν ἀνοιγομένων, Μακεδόνιός τις καὶ Θεόδουλος καὶ Τατιανὸς ζήλῳ τοῦ Χριστιανισμοῦ νυκτὸς ἐσπηδήσαντες συντρίβουσι τὰ ἀγάλματα. οἳ πολλὰς αἰκίας καὶ τιμωρίας διὰ τοῦτο ὑπομείναντες ἐσχάραις τε ἐπιτεθέντες καὶ πυρὶ ἐτιμωροῦντο. τὴν δὲ ἀνδρίαν ὑπέδειξαν τηνικαῦτα εἰπόντες· εἰ ἐπεθύμησας, ὦ Ἀμάχιε, ὀπτῶν κρεῶν ἀπογεύσασθαι, στρέψον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμᾶς καὶ εἰς τὰς ἑτέρας πλευράς, ἵνα μὴ εἰς τὴν γεῦσιν ἡμίοπτοι ὀφθῶμέν σοι. καὶ οὕτως ἐτελειώθησαν.

α 1514 Ἄμαχον: δυσκαταμάχητον. Πίνδαρος· ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. Αἰλιανός· ἰχθύων δὲ ἀπηνέγκαντο πλῆθος ἄμαχον καὶ ἀνέστησαν τρόπαιον καὶ βωμοὺς ὤρθωσαν. καὶ αὖθις· ἐτίθετο ἕκαστος τὸ ἔργον ἑαυτοῦ ἀποδεῖξαι. ἑώρων γὰρ τὸν βασιλέα σπεύδοντα τοῦτο ἀμάχως. καὶ αὖθις· ἦν δὲ ἱέρεια τῷ θεῷ κάλλος ἄμαχος. καὶ αὖθις· ἀδοκήτου χειμῶνος καταρραγέντος κατηνέχθη πλῆθος χιόνος ἄμαχον. καὶ αὖθις· οὐ δυναστεία ἄμαχος. καὶ αὖθις· ἐς ὑπεροψίαν δὲ ἐξαφθεὶς ἄμαχον, τοῦ μὲν ἔτι ἄνθρωπος εἶναι κατεφρόνει.

α 1515 Ἄμαχος: ἀντὶ τοῦ μὴ μαχόμενος. Ξενοφῶν. καὶ Ἀμάχητοι, οἱ μήπω μεμαχημένοι.

α 1516 Ἀμβακούμ· ζήτει ἐν τῷ Ἀββακοὺμ εἰς τὴν ἀρχὴν τοῦ βιβλίου.

α 1517 Ἄμβασις: ἀνάβασις. καὶ ἄμβασις οὔ νύ τις ἦεν.

α 1518 Ἀμβάτας: ἀναβάτας. οἱ δὲ ἵπποι θνήσκοντες οὐκ ἐλύπουν τοὺς ἀμβάτας· ἥσθιον γὰρ αὐτούς. καὶ αὖθις· οἱ δὲ καὶ τοὺς ἀμβάτας δι’ ἔκπληξιν ἀποσεισάμενοι.

α 1519 Ἄμβεναι: ὄνομα πόλεως.

α 1520 Ἀμβλήδην: μεγάλως βοῶσα.

α 1521 Ἀμβλίζω· ῥῆμα.

α 1522 Ἀμβλίσιον: τὸ μάννα.

α 1523 Ἀμβλίσκουσιν: ἀποβάλλουσιν. ὃ συμβαίνει ταῖς διαφθειρούσαις καὶ προβαλλούσαις τὰ κυήματα. Πλάτων Θεαιτήτῳ. καὶ Ἀμβλίσκειν καὶ Ἐξαμβλοῦν, τὸ διαφθείρειν καὶ ἀφανίζειν.

α 1524 Ἀμβλωθρίδια: ἐκτρώματα. τὰ ἐξημβλωμένα ἔμβρυα. καὶ Ἀμβλωθρίδιον, αὐτό τε τὸ φθόριον φάρμακον καὶ δὴ καὶ τὸ διαφθαρέν.

α 1525 Ἀμβλώσκειν καὶ Ἀμβλῶσαι καὶ Ἐξαμβλῶσαι, τὸ ἀτελὲς γεννῆσαι, τὸ φθεῖραι βρέφος.

α 1526 Ἀμβλύ· ἐν Ἐπιγράμμασι· ἀλλὰ καὶ αὖτις ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

α 1527 Ἀμβλυωπίας: ὁ ἀμυδρῶς ὁρῶν.

α 1528 Ἀμβλύνω. αἰτιατικῇ. τὸ ἐκλύω. ὁ δὲ ἐπὶ πολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων τὴν τοῦ πολέμου ὀξύτητα χρονίαις τε καὶ μακραῖς τοῦ ἔργου τριβαῖς. καὶ Ἀμβλύνεσθαι· μήθ’ ὑπὸ νεότητος θρασύνεσθαι, μήθ’ ὑπὸ γήρως ἀμβλύνεσθαι.

α 1529 Ἀμβλυώττει: τυφλώττει. καὶ Ἀμβλυωπέστερον.

α 1530 Ἀμβλύς: ὁ μὴ ὀξύς, σκοτεινός. Ἀννίβας.

α 1531 Ἀμβολάδην: ἀναβάλλων. Ἡρόδοτος καθ’ ὑπερβολήν.

α 1532 Ἀμβολὰς γῆ: ἡ ὑπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα. Ξενοφῶν· ὁ δὲ Κῦρος πύργους ἐποίει ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη. ζήτει ἐν τῷ δακνόμενος, ὅτι τὸ οἰκοδομεῖν καὶ ἵππους τρέφειν καὶ ἀμβολὰς ποιεῖν ἐδόκει τοῖς Λάκωσι δαπανηρὰ εἶναι.

α 1533 Ἀμβολία: ἡ ὑπέρθεσις. ἐν Ἐπιγράμμασι· ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης. καὶ Ἀμβολιεργὸς ἀνήρ, ὁ τὸ ἔργον ἀναβαλλόμενος.

α 1534 Ἀμβούλιος: ὄνομα κύριον.

α 1535 Ἀμβωμοῖσι: περὶ τῶν βωμῶν.

α 1536 Ἀμβρακία: πόλις ἐστὶν ἐν τῷ Ἀμβρακικῷ κόλπῳ, ἄποικος Κορινθίων.

α 1537 Ἀμβροσία: ξηρὰ τροφή. ἀλλὰ τό γ’ ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ. νέκταρ δὲ τουτέστι νεόκταρ, τὸ νέους ποιοῦν τοὺς πίνοντας.

α 1538

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀμβρόσιαι: ἃς οὐδεὶς βροτῶν δύναται ἔχειν. Ὅμηρος· ἀμβρόσιαι δ’ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος κρατὸς ἀπ’ ἀθανάτοιο.

α 1539 Ἀμβρόσιον: θεῖον ἢ ἀθάνατον ἢ θαυμαστόν. ἢ ἀκήρατον, ἄφθαρτον. ἦν γὰρ Ἐρώτων καὶ Χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.

α 1540 Ἄμβροτα: θεῖα, ἄφθαρτα.

α 1541 Ἀμαία: ἡ Δημήτηρ, Ἀζησία δὲ ἡ Κόρη. καὶ παροιμία· Ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν· ἐπὶ τῶν πολυχρονίοις ζητήσεσι χρωμένων.

α 1542 Ἀμαιμακέτου: ἀκαταπονήτου. ἐν Ἐπιγράμμασι· οὐ δίχα βύρσας θῆκεν ἀμαιμακέτου κρατὸς ἔρεισμα κέρα.

α 1543 Ἀμεβώνη: ὄνομα κύριον.

α 1544 Ἀμέλγειν. αἰτιατικῇ. ἰδίως λέγεται ἀμέλγειν, τὸ παρὰ τὸν προσήκοντα καιρὸν ἀώρους τοὺς καρποὺς ἀποσπᾶν, ὅπερ οἱ κλέπτοντες ποιοῦσιν. Ἀριστοφάνης· ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους.

α 1545 Ἀμελεϊστί: χωρὶς βραδυτῆτος. Διαμελεϊστὶ δὲ μεληδόν, κατὰ μέλος.

α 1546 Ἀμέλει: τοιγαροῦν. ἀντὶ τοῦ μή σοι μελέτω διὰ τοῦτο.

α 1547 Ἀμέλεια καὶ Ἀμελία: ἀμφότερα Ἑλληνικά. καὶ γὰρ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι γράφεται.

α 1548 Ἀμελλητί: ἀνυπερθέτως, ταχέως. καὶ Ἀμελητέα γενικῇ.

α 1549 Ἀμέλιος· Ἀπαμεύς, φιλόσοφος, μαθητὴς Πλωτίνου, διδάσκαλος Πορφυρίου, συγχρονίσας Ἀμμωνίῳ καὶ Ὠριγένει.

α 1550 Ἀμελῶ σοῦ.

α 1551 Ἀμενηνός: ἀσθενής. Ὅμηρος· ἀμενηνῶν ὀνείρων. καὶ ὁ καπνὸς ἀμενηνός. καὶ παροιμία· Καπνὸν εἶναι ἡγούμην. ἐπὶ τῶν οὐδαμινῶν καὶ οὐδενὸς ἀξίων.

α 1552 Ἀμενήνωσεν: ἀσθενῆ ἐποίησεν.

α 1553 Ἀμενητί: χωρὶς τοῦ ἐπιμεῖναι.

α 1554 Ἀμεργῆ σώματα· ζήτει ἐν τῷ ἄτομα.

α 1555 Ἀμεριμνία: ἡ ἄνεσις.

α 1556 Ἀμερμηρεί: χωρὶς φροντίδος.

α 1557 Ἀμετάκλητον· ἀμετάκλητον τὴν ὁρμὴν ἔσχε τὸ πλῆθος εἰς τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεσθαι παρ’ αὐτοῦ λαμβάνειν.

α 1558 Ἀμετάπτωτον: κυρίως ἐπὶ σωμάτων λέγεται, τῶν δι’ ἰσχὺν μὴ τρεπομένων ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη ἀμετάπτωτος.

α 1559 Ἀμεταποίητον: ἀμετάθετον.

α 1560 Ἀμεταστρεπτί: ἀμελλητί, μὴ ἐπιστρεφόμενον εἰς τοὐπίσω. ζήτει ἐν τῷ ἀπονητί.

α 1561 Ἀμετρί: χωρὶς μέτρου. καὶ παροιμία· Ἀμετρὶ μάζαν ἔδοντες.

α 1562 Ἀμετροκάκου: πλεῖστον πληθυούσης περὶ κακίαν. ἐς τοσοῦτον δὲ ἐχώρησεν ἀμετροκάκου πλεονεξίας ὥστε καὶ ἀνδράποδα δημοσίᾳ ἀπημπόλει.

α 1563 Ἀμείβεσθαι: αἰτιατικῇ. ἀποκρίνεσθαι, καταβάλλεσθαι. Λεόντιος μὲν τοσαῦτα εἶπε. Θευδίβαλδος δὲ ἀμείβεται ὧδε. ἀντὶ τοῦ ἀνταποκρίνεται.

α 1564 Ἀμείβομαί σε τοῦδε. τούτους ὥσπερ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος.

α 1565 Ἀμείβων: ἀλλάσσων. καὶ Ἀμοιβή, ἡ ἀντέκτισις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1566 Ἀμειβοιδής: ὁ ἀντικαταλλάσσων.

α 1567 Ἀμειδές: στυγνόν, σκυθρωπόν. καὶ Ἀμειδής, σκοτεινός. καὶ κλίνεται εἰς ους. ὀργὴν οὖν πρήυνον ἀμειδέα, μήδ' ἐπιτείνειν κακόν.

α 1568 Ἀμείδητος: σκυθρωπός. καὶ Ἀμειδήτων, σκυθρωπῶν, ἀγελάστων. ἐν Ἐπιγράμμασι· εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις, Περσεφόνη.

α 1569 Ἀμείλικτον: ἀπηνῆ, ἀκαμπῆ. καὶ Ἀμείλικτος, ἀπάνθρωπος. Εὐνάπιος· οὕτως ἀμείλικτοι ἦσαν ἄμφω κατὰ τὴν ἀλήθειαν, καὶ τὸ ἔργον ἐχώρει περιφανέστερον.

α 1570 Ἀμείλιχος: σκληρός, ἀκολάκευτος.

α 1571 Ἀμεινίας: ὄνομα κύριον.

α 1572 Ἀμειψίας· Ἀθηναῖος, κωμικός.

α 1573 Ἀμειψόμεθα: ἀνταποδώσομεν.

α 1574 Ἄμη: τεκτονικὸν ἐργαλεῖον, ὃ ἡμεῖς πυράμην λέγομεν οὐκ ὀρθῶς. καὶ παροιμία· Ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας. ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἕτερα δὲ μὴ ἔχειν ἰσχυριζομένων.

α 1575 Ἀμηγέπη: ὁπωσδήποτε, καθ' ὁτιοῦν. λέγεται δὲ καὶ Ἀμωσγέπως καὶ Ἀμόθεν καὶ Ἀμουγέπου καὶ Ἀμηγέποι καὶ Ἀμωσγέποι. Ἀριστοφάνης· ὑμᾶς μὲν ἀεὶ μισθοφορεῖν ἀμηγέποι. ἀντὶ τοῦ ἁπανταχοῦ, ὅπως ἂν τύχοι, καθ' οἷον δήποτε τρόπον. καὶ αὖθις· ἀλλ' ἀμηγέπη τῶν παρατεθέντων ἀπογευσάμενος ἀωρὶ νύκτωρ περιήρχετο τὴν βασιλικὴν αὐλήν. καὶ Ἀμηγέπη Ἀγαθίας φησίν· ἀλύοντι δὲ καὶ ἕκαστα γνωματεύοντι, ἔδοξέν οἱ ἀμηγέπη ἀποπειρᾶσθαι τοῦ φρουρίου.

α 1576 Ἀμήν: πεπιστωμένως, ἀληθῶς.

α 1577 Ἀμήρυτον: πολύ, ἐκτεταμένον, ἀτέλεστον, τουτέστι διηνεκῶς ἐπιμένον, ἀπέραντον.

α 1578 Ἀμησάμενος: ἀνορύξας. ὁ δὲ τὸ χῶμα σείσας καὶ τὴν γῆν ἀμησάμενος ἐζήτει τὸν νεκρόν. καὶ ἀντὶ τοῦ ταῖς χερσὶ σωρεύσας. πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας ἀνδρομάχοιο δνοφερὰν κρατὸς ὕπερθε κόνιν.

α 1579 Ἀμήσαντες: ἀντὶ τοῦ μὴ ἀποτεμόντες. καὶ Ἀμήσαντι, θερίσαντι. ἐν Ἐπιγράμμασι· οὐδέ ποτ' ἀμήσαντι Κορινθικόν, οὔποτε πικρᾶς γευσαμένῳ πενίης.

α 1580 Ἀμησὸς καὶ Ἀμησηνός. Ἀμινσὸς δὲ καὶ Ἀμινσηνός.

α 1581 Ἄμητα: ἄμης, εἶδος πλακοῦντος γαλακτώδους. Ἀριστοφάνης Πλούτῳ· ἄμητα προσέπεμψας ἡμῖν τουτονί. οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρα, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον προντούλων. ὡς ἂν λέγων, μηκέτι πατῆσαι ἐκεῖ με. ἄμης οὖν ὁ πλακοῦς, οὐχ ὁ ἰπνός.

α 1582 Ἀμητῆρες: θερισταί.

α 1583 Ἀμητός: αὐτὰ τὰ τεθερισμένα ὀξυτόνως. οἷον ὁ στάχυς. καὶ Τρυγητὸς βότρυς, ὃ τρυγώμενος. προπαροξυτόνως δὲ Ἄμητος, ὁ καιρὸς τοῦ θέρους, ἐν ᾧ δεῖ ἀμᾶν. ὡς καὶ Τρύγητος, ὁ καιρὸς τοῦ τρυγᾶν.

α 1584 Ὅτι Φρονίμη, ἡ θυγάτηρ Ἐτεάρχου, ἀμήτωρ ἐλέγετο. καὶ ζήτει ἐν τῷ Βάττος.

α 1585 Ἀμήχανα· οἱ δέ, ἐπεὶ τὰ ἀμήχανα τῷ λιμῷ ἔπασχον, ἐκεχειρίαν ὀλίγων τινῶν ἡμερῶν ᾔτουν διαπράξασθαι.

α 1586 Ἀμηχάνητοι: ἀντὶ τοῦ πολλοί. Ξενοφῶν.

α 1587 Ἀμηχανία: ἀπορία.

α 1588 Ἀμήχανον: ὑπὲρ λόγον. ἢ ἀνεπιχείρητον, ἀδύνατον. τοῖς δὲ Ῥωμαίοις ἀμήχανος ἡ χαρὰ παρέστη πρὸς τὸ πάθος. καὶ Ἀμήχανος, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι. οὐκ αὐτὸς μὴ δυνάμενος μηχανήσασθαι. Δαμάσκιος· πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας, οἷον ἀπομαντευομένῳ ἐῴκει τὴν τῆς ἀληθείας εὕρεσιν.

α 1589 Ἄμμιγα: ἀναμεμιγμένως. εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς ἤσκησε, Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

α 1590 Ἀμίδα: οὐρητρίδα, οὐρηρὸν ἀγγεῖον. καὶ Ἀμίδας, τὰ ὑπηρέσια. σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον ἐξεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας. Ἀριστοφάνης· ἀμὶς μὲν ἢν οὐρητιάσῃς, αὑτηῒ παρὰ σοὶ ἠρεμήσεται ἐγγὺς ἐπὶ τοῦ παττάλου.

α 1591 Ἀμίδης: ὄνομα κύριον.

α 1592 Ἀμιθρῆσαι: μετρῆσαι, ἀριθμῆσαι, παρὰ Καλλιμάχῳ.

α 1593 Ἄμικτος: ὁ μὴ μιγνύμενος.

α 1594 Ἅμιλλα: ἀνταγώνισμα, φιλονεικία, ἐξίσωσις. καί ποτε ἀγῶνα ἐπιτελοῦντες τούτω τὼ μειρακίω, ἐς ἅμιλλαν ἀκοντίσεως ἀποδυσαμένω, εἶτα μέντοι τῆς σπουδῆς θερμότερον ὑπεπλήσθησαν· καί πως ὁ Ἀργέου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει καὶ ἀναιρεῖ αὐτόν.

α 1595 Ἁμιλλητήριον: τόπος ἐν ᾧ ἁμιλλῶνται.

α 1596 Ἀμίλκας, ὁ καὶ Φαβέας, Καρχηδονίων στρατηγός, ὃς ὑπῆρχε κατὰ μὲν τὴν ἡλικίαν ἀκμάζων καὶ κατὰ τὴν ἕξιν ἐρρωμένος, τὸ δὲ μέγιστον ἐφόδιον πρὸς πολεμικὴν χρείαν, ἱππεὺς ἄγαν ἀγαθὸς καὶ τολμηρός. ὅτι τούτου τοῦ Ἀμίλκου παῖδα γεγενῆσθαι φασὶν Ἀννίβαν, τὸν χρόνοις ὕστερον μακρῷ πολέμῳ τὴν Ἰταλίαν κακώσαντα Ῥωμαίοις τε φοβερὸν ἐς τὰ μάλιστα γενόμενον.

α 1597 Ἁμιλλῶμαί σοι: ἀνταγωνίζομαί σοι.

α 1598 Ἀμιναδάμ: ὄνομα κύριον.

α 1599 Ἀμινσός: ὄνομα πόλεως. οἱ δὲ Ἀμησὸς διὰ τοῦ η. καὶ Ἀμησηνός.

α 1600 Ἅμιπποι: ξυνωρίς, φησί, κατὰ τὸ παλαιὸν ἐλέγετο δύο ἵπποι συνεζευγμένοι τῶν τραχήλων. ἦν δ’ ἐπὶ μὲν τοῦ ἑτέρου ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχῆς Ἀλίβυες, οἱ προσαγορευόμενοι Ζευγνῖται. τὸ δὲ αὐτὸ καὶ ἅμιππον καλεῖται. οὕτως Θουκυδίδης.

α 1601 Ἅμιπποι: κατὰ μὲν Ἰσαῖον οἱ σὺν ἵπποις στρατευόμενοι. οἱ δέ φασιν ὅτι ζεύγνυνται μέν τινες ἵπποι, καὶ ὁ ἐπελαύνων αὐτούς, τοῦ μὲν ἐποχεῖται, τὸν δὲ παρέλκεται· καὶ καλοῦνται οὗτοι ἅμιπποι. πεζοὺς δὲ τοὺς ἁμίππους Θουκυδίδης καὶ Ξενοφῶν ὑποδηλοῦσι. καὶ μήποτε πρόδρομοί τινές εἰσιν οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι.

α 1602 Ἀμίς: τὸ κλοκίον.

α 1603 Ἀμινσηνός: ἀπὸ τόπου.

α 1604 Ἀμισθί: χωρὶς μισθοῦ.

α 1605 Ἀμισώδαρος: ὄνομα κύριον.

α 1606 Ἀμιτροχίτων: ὁ μὴ χρώμενος μίτρᾳ.

α 1607 Ἄμναμος: ἀπόγονος· κυρίως ἐπὶ τῶν προβάτων. παρὰ τὸ ἀμνός.

α 1608 Ἀμνειός: ὁ ποταμός· καὶ ὁ ἀμνός.

α 1609 Ἀμνημονῶ σου· γενικῇ.

α 1610 Ἀμνησός: ὄνομα ὄρους.

α 1611 Ἀμνηστεῖ: ἀμνημονεῖ. Σοφοκλῆς· οὐ γάρ ποτ’ ἀμνηστεῖ γ’ ὁ φύσας, Ἑλλήνων ἄναξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1612 Ἀμνηστία: ἡ λήθη. καὶ ὄνομα κύριον.

α 1613 Ἀμνοκῶν: προβατώδης, μωρός, εὐήθης· τοιαῦτα γὰρ καὶ τὰ πρόβατα. Ἀριστοφάνης· καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν, πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα. τουτέστιν εὐλαβούμενος καὶ φοβούμενος καταστῆναι εἰς πράγματα· πολλοὶ γὰρ διὰ δειλίαν καὶ τρόπων ἐπιείκειαν αἱροῦνται ζημιωθῆναι μᾶλλον ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους, φησί, συνεπιλεγόμενος ὁ Κλέων, καταστήσας εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρέαζε ῥᾳδίως.

α 1614 Ἀμνόν: τὸν ἐνιαύσιον ἄρνα. Ἴστρος ἐν ταῖς Ἀττικαῖς· ἄρνα, εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λιπογνώμονα, μοσχίων δὲ τὸν πρῶτον. καὶ Ἀμνὸς ἀρσενικῶς πρόβατον τὸ μέσον τὴν ἡλικίαν. καὶ Ἀμνὴ τὸ θῆλυ. τρεῖς γὰρ ἡλικίαι· ἀρνός, ἀμνός, ἀρνειός. καὶ Ἀμνώς, Ἀμνώ, Ἀττικῶς, ὄνομα κύριον.

α 1615 Ἀμνοὶ τοὺς τρόπους: ἀντὶ τοῦ πραεῖς, εὐήθεις, ἁπλοῖ, ὡς οἱ κριοί, ἢ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον, ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν.

α 1616 Ἀμμοάτιν: εἶδος ὄφεως.

α 1617 Ἀμογητί: ἀκόπως.

α 1618 Ἀμόγητοι: ἀμνοὶ πρᾶοι.

α 1619 Ἀμόθεν: ποθέν.

α 1620 Ἀμολγός: τὸ μεσονύκτιον, ἤτοι καθ' ἣν ὥραν ζῷα οὐκ ἀμέλγονται. ἢ ἀφαιρέσει τοῦ γ, καθ' ἣν οὐδεὶς μολεῖ. ἢ ἀφαιρέσει τοῦ λ, καθ' ἣν οὐδεὶς μογεῖ.

α 1621 Ἄμμον μετρεῖν: ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων.

α 1622 Ἁμορβός: ὁ ἅμα τινὶ ὁρμῶν· ἁμορμὸς καὶ ἁμορβός.

α 1623 Ἀμόργεια: χρώματος εἶδος, ἀπὸ νήσου Ἀμοργοῦντος, ὡς Θήρεια ἀπὸ Θήρας νήσου.

α 1624 Ἀμόργη: ἡ τρυγία.

α 1625 Ἀμόργινον: ὅμοιον βύσσῳ καὶ πολυτελές. λέγεται καὶ Ἀμοργίνα θηλυκῶς.

α 1626 Ἀμοργίς: κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα λεγόμενα. ἢ ἡ τοῦ ἐλαίου ὑποστάθμη καὶ ἡ τρὺξ τοῦ οἴνου. ἔστι δὲ ἡ ἀμοργὶς ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτὸν ὑπὸ τὴν βύσσον ἢ τὴν κάρπασον.

α 1627 Ἀμοργοί πόλεως ὄλεθρος· Κρατῖνος Σεριφίοις. καλοῦσι δὲ καὶ μοργούς, τὸ α ἀφαιροῦντες, ὥσπερ καὶ ἐπ' ἄλλων· μαῦρον γὰρ τὸ ἀμαυρὸν καὶ σφόδελον τὸν ἀσφόδελον καλοῦσιν.

α 1628 Ἀμορραῖος. τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων. Ἀμωραῖος δὲ καὶ Ἀμώριον διὰ τοῦ ω μεγάλου.

α 1629 Ἀμμορῖτις: θηλυκόν· ὄνομα πόλεως.

α 1630 Ἄμμορος: ὁ κακόμορος.

α 1631 Ἄμοτον: ἀμότως, ἀκορέστως.

α 1632 Ἀμοῦς· Αἰγύπτιος· οὗτος νέος ὢν παρῃτεῖτο τὸν γάμον. ὡς δέ τινες τῶν προσηκόντων παρῄνουν μὴ καθυβρίζειν τὸν γάμον, ἀλλὰ γυναῖκα ἄγεσθαι, πείθεται καὶ ἔρχεται ἐπὶ γάμον. καὶ πολλὰ παραινέσας τὴν παρθένον πείθει αὐτὴν πρὸ τοῦ συνελθεῖν ἀποτάξασθαι τῷ βίῳ τῷ κοσμικῷ. καὶ ἀποταξάμενοι ἄμφω ἐπὶ τὸ ὄρος τῆς Νιτρίας χωροῦσι καὶ βραχὺν χρόνον συνασκοῦντες ἰδίᾳ τὴν ἄσκησιν ἐποιήσαντο. τούτου τοῦ Ἀμοῦν τὴν ψυχὴν ἀναλαμβανομένην ὁ Ἀντώνιος ἐθεάσατο. οὗτός ποτε ἑαυτὸν γυμνὸν οὐκ ἐθεάσατο λέγων, ἀπρεπὲς εἶναι τῷ μοναχῷ καὶ τὸ ἑαυτοῦ σῶμα γυμνὸν θεάσασθαι. ἐγένετο δὲ καὶ Δίδυμος ἄλλος μοναχός, ὃς ἐννενήκοντα ἔτη βιοὺς οὐδενὶ ἀνθρώπων συνέμεινεν ἄχρι τῆς τελευτῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1633 Ἄμουσα: ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις· ἄλλως τ’ ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν ἀγρεῖον ὄντα καὶ δασύν· σκέψαι δ’ ὅτι Ἴβυκος ἐκεῖνος κ’ Ἀνακρέων ὁ Τήϊος. καὶ τὰ ἑξῆς.

α 1634 Ἀμοχθεί: χωρὶς κόπου.

α 1635 Ἀμώμενοι: θερίζοντες. καὶ Ἀμῶσιν ὁμοίως. Ἀριστοφάνης· τοὺς ἀλλοτρίους ἀμῶν στάχυας τούτους, ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι λέγεται. τουτέστιν ὁ Κλέων, τοὺς ἀλλοτρίους καμάτους αὐτὸς καρπούμενος.

α 1636 Ἄμωμον. Ἀρριανός· πέμπει παρὰ βασιλέα ἵππον χρυσοχάλινον καὶ ψέλια καὶ ἀκινάκας καὶ ἄμωμον.

α 1637 Ἄμωμος: ὁ καθαρός. καὶ ἀναίτιος. Δαβίδ· τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον.

α 1638 Ἄμμων: ὄνομα θεοῦ Ἑλληνικοῦ. Ἀριστοφάνης Ὄρνισιν· ἐσμὲν δ’ ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων· ἐλθόντες γὰρ πρῶτον ἐς ὄρνις οὕτω πρὸς ἔργα τράπεσθε.

α 1639 Ἀμμωνιανός, γραμματικός, κοσμούμενος τῇ συγγενείᾳ Συριανοῦ καὶ ἅμα τῇ συμφύτῳ ὁμοιότητι τῶν τε ἠθῶν καὶ τοῦ σώματος, κατὰ τὸν Ὅμηρον εἶδός τε μέγεθός τε φυήν τ’ ἄγχιστα ἐῴκει. τό τε γὰρ σῶμα καλός τε καὶ μέγας ἦν ἑκάτερος. καὶ ἔτι προσῆν ὑγεία καὶ ἰσχὺς οὐδὲν ἀποδέουσα τῆς ἄλλης εὐφυΐας τοῦ τε ὅλου καὶ τῶν μερῶν· ἥ τε ψυχὴ ἔρρωτο πρὸς τὸ βέλτιστον αὐτοῖς τὸ ὁμοιότροπον. ἀλλ’ ὁ μὲν θεοφιλέστερος ἦν ὁ Συριανὸς καὶ τῷ ὄντι φιλόσοφος· ὁ δὲ ἠγάπα τὴν ἐπὶ ποιητῶν ἐξηγήσει καὶ διορθώσει τῆς Ἑλληνικῆς λέξεως καθημένην τέχνην. οὗτος ἦν Ἀμμωνιανός, ᾧ κεκτῆσθαι συμβέβηκεν ὄνον σοφίας ἀκροατήν.

α 1640 Ἀμμώνιος, φιλόσοφος, Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Σακκᾶς. οὗτος ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος.

α 1641 Ἀμμώνιος, Ἀμμωνίου, Ἀλεξανδρεύς, Ἀλεξάνδρου γνώριμος, ὃς καὶ διεδέξατο τὴν σχολὴν Ἀριστάρχου πρὸ τοῦ μοναρχῆσαι τὸν Αὔγουστον.

α 1642 Ἀμωντιανός· Ῥωμαῖος, συγκλητικὸς γεγονώς.

α 1643 Ἀμωρίης· Πισαίου νόθος υἱός.

α 1644 Ἀμώριον, πόλις, καὶ Ἀμωραῖος· Ἀμορραῖος δέ.

α 1645 Ἀμωσγέπως: ὁπωσδήποτε, ἐν γέ τινι, καθ’ ὁντιναοῦν τρόπον.

α 1646 Ἀμπαλίνωρος: ἀναστρέφων τὴν αὐτὴν ὁδόν. Φιλέταιρος Μελεάγρῳ· οὐ πρὸς γυναικὸς ὁ κόρος· οἴκαδ’, ὦ κόρη, ἄπιθι ἀμπαλίνωρος.

α 1647 Ἀμπαύσας: ἀναπαύσας. ὁ δὲ ἀμπαύσας αὐτοὺς ὅσον τὴν πρώτην φυλακὴν τῆς νυκτὸς προελθεῖν.

α 1648 Ἀμπελεών: ἡ ἀμπελόφυτος γῆ. λιτός θ’ ὁ σχεδὸν ἀμπελεών.

α 1649 Ἀμπελών: ἡ οἰνόφυτος γῆ.

α 1650 Ἄμπελος· ζήτει ἐν τῷ αἶγα· ἐχθρὸν γὰρ εἶναι δοκεῖ τουτὶ τὸ ζῷον τῇ ἀμπέλῳ.

α 1651 Ἀμπέλειος βότρυς· Ἀμπέλιος δὲ ὄνομα κύριον· καὶ θηλυκὸν Ἀμπελόεσσα γῆ. Ἀμπελόφυτος καὶ Ἀμπελουργεῖον.

α 1652 Ἀμπεχόμενος· δοτικῇ. περιβαλλόμενος. καὶ Ἀμπέχῃ, ἀντὶ τοῦ περιβέβλησαι. ὦ κακόδαιμον, εἶτα λευκὸν ἀμπέχῃ; ἐπεί, φησί, τοὺς βόας ἀπώλεσας καὶ λευχειμονεῖς.

α 1653 Ἀμπεχόνη: ἀμφίον, ἱμάτιον. καὶ Ἀμπεχόνιον, λεπτὸν ἱμάτιον, παλλίον. καὶ Ἀμπίσχω, ἐνδύω.

α 1654 Ἀμπλάκημα: ἁμάρτημα. καὶ Ἀμπλακίαις, ἁμαρτίαις. ὅτι ἀρέσκει τοῖς Στωϊκοῖς ἶσα ἡγεῖσθαι τὰ ἁμαρτήματα. εἰ γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψευδὲς ψευδοῦς· οὕτως οὐδὲ

ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὁ ρʹ σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ· οὕτω καὶ πλέον καὶ ἔλαττον ἁμάρτημα ἐπίσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. οἱ δέ φασιν, ὧν καὶ Ἡρακλείδης ὁ Ταρσεύς, ἄνισα εἶναι τὰ ἁμαρτήματα. καὶ Ἀμπλακών, ἁμαρτήσας. ἀλλὰ τὸ Ἰβύκου ἔπος αὐτὸν ἐπῄει· μήτι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψειν. ἔστι δὲ πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τουτὶ ῥησείδιον.

α 1655 Ἀμπνοὰς ἔχοντα: ζῶντα ἀναπνέοντα.

α 1656 Ἄμπωτις: λῆξις. ἢ ξηρασία ἢ πλημμύρα. ὅτι τὸν σπουδαῖον οὐ δεῖ θαυμάζειν τῶν δοκούντων τι παραδόξων, οἷον Χαρώνεια καὶ ἀμπώτεις καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα. ἀλλὰ μὴν οὐδ’ ἐν ἐρημίᾳ βιώσεται ὁ σπουδαῖος, κοινωνικὸς ὢν φύσει καὶ πρακτικός.

α 1657 Ἀμπρεύοντες: παρακομίζοντες. ἄμπρον γὰρ σχοῖνός τις, μεθ’ οὗ εἰώθασιν ἕλκειν ἤτοι παρακομίζειν μεγάλα φορτία. ἀμπρεύειν δὲ κυρίως τὸ μετὰ ἁμάξης πορεύεσθαι, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωτοφόρων ζῴων λαμβάνεται. ἢ Ἀμπρεύειν, τὸ τῷ ἕλκοντι ζεύγει βοηθεῖν. καὶ Ἄμπρον, σχοινίον, ὅπερ διὰ τῶν ζυγῶν διατείνουσι καὶ φορτία ἐφ’ ἁμάξης κομίζουσιν, ὥστε ὁμοτόνως ἀπὸ τῶν ζυγῶν ἕλκεσθαι· ἄμπερόν τι ὄν, τὸ διαπερῶν τὸν ζυγὸν δεδεμένον. καὶ Ἐξαμπρεύσομεν ἄνευ κανθηλίου· ἀντὶ τοῦ ἕλξομεν τὸ ξύλον ἄνευ ὄνου.

α 1658 Ἄμπυκας: χαλινούς· Ἄμπυξ δὲ δεσμὸς τριχῶν ἢ κόσμος κεφαλῆς. οὕτως Ὅμηρος.

α 1659 Ἀμοιβαδόν: ἐξ ἀμοιβῆς. ἐφεξῆς.

α 1660 Ἀμοιβαία ἔκτισις: ἀνταπόδοσις· ἢ ἐκ διαδοχῆς ὁμοία. ὅρκοι δὲ ἐπὶ τῇ ἀμοιβαίᾳ σφῶν ἐδίδοντο πίστει, οὐ μόνον αὐτοῖς, ἀλλὰ καὶ τοῖς τῶν παραγινομένων ἐκ τῶν βασιλείων τῆς Ῥωμαίων τῆς διαλλαγῆς ἕνεκα τῶν ἀνδρῶν. Πρίσκος φησίν.

α 1661 Ἀμοίβη: ἀντέκτισις. ἀνταπόδοσις. ἀμοιβὴν τοῦ θεοειδεστάτου τρόπου θαυμαστὴν ἐφέρετο. ἔρρει γάρ οἱ κατὰ πρύμναν τὰ ἐκ τῆς τύχης καὶ πᾶσιν οἷς ἐπέθετο, τούτων ἥμαρτεν οὐδενός.

α 1662 Ἀμοιβηδής: ὁ ἀντικαταλλάσσων. Ἀμοιβηδὶς δὲ κατὰ ἐναλλαγήν.

α 1663 Ἀμοιβόν: οὐδετερόν. ἀνταποδοτικήν. πρὶν κακῶν ἔργων ἀμοιβὸν τιμωρίαν ἐκτίσαι.

α 1664 Ἀμοιρῆσαι· γενικῇ. ἀποτυχεῖν. Ἀμοιρῶ γὰρ τὸ οὐ μετέχω. καὶ Ἄμοιροι, ἀμέτοχοι ἢ κακόμοιροι. κακὸν κακῶς νιν ἄμοιρον ἐκτρίψαι βίον. ἀντὶ τοῦ κακόμοιρον ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα, ἀλλ’ ἄταφον ἐκβληθῆναι.

α 1665 Ἀμυγδαλῆ: τὸ δένδρον. Ἀμυγδάλη δὲ ὁ καρπός. καὶ δειλαὶ δάκνεσθαι ἀμυγδάλαι.

α 1666 Ἀμυγνόν: τὸ μὴ μυσαρόν, ἀλλ’ ἁγνὸν καὶ καθαρόν. οὕτως Σοφοκλῆς.

α 1667 Ἄμυδις: ὁμοῦ.

α 1668 Ἀμυδρά: ἀφανῆ, σκοτεινά. καὶ Ἀμυδρῶς, σκοτεινῶς, λεπτῶς, ἀσαφῶς.

α 1669 Ἁμύειν: τὸ σπεύδειν παρὰ Ἀττικοῖς. καὶ δασύνεται.

α 1670 Ἀμύητος: ἄπειρος, ἀτέλεστος.

α 1671 Ἀμύκλαι: κόσμιόν τι, ὅπερ ἐν ποσὶν εἶχεν Ἐμπεδοκλῆς. εἶχε γὰρ χρυσοῦν στέμμα ἐπὶ τῆς κεφαλῆς καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσίν· καὶ οὕτως ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὑτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ὃς ἔρριψεν ἑαυτὸν νύκτωρ εἰς τοὺς κρατῆρας τοῦ Αἰτναίου πυρός, ὡς μὴ φανῆναι αὐτοῦ τὸ σῶμα· τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος. ἐκαλεῖτο δὲ Κωλυσανέμας, διὰ τὸ πολλοὺς ἀνέμους ἐπιθεμένους τῇ Ἀκράγαντι, ἐξελάσαι αὐτὸν δορὰς ὄνων περιθέντα τῇ πόλει.

α 1672 Ἀμυκλαῖος: ἀπὸ τόπου.

α 1673 Ἀμύμων: ἄψογος, ἄμεμπτος.

α 1674 Ἀμυμώνειος: ἐκ τοῦ Ἀμυμῶνος. καὶ Ἀμυμώνη, ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1675 Ἄμυνα: καὶ ἐπὶ ἀμοιβῆς καὶ ἐπὶ εἰσπράξεως δίκης.

α 1676 Ἀμύνασθαι: Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι, Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδιδόναι, Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἐπὶ τῶν προηδικηκότων τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνασθαι, ὅτε οἱ κακόν τι παθόντες ἀντιπράσσουσι τοὺς προδιαθέντας. καὶ Ἀμύναιντο, ἀμύναιεν. Κρατῖνος Πυλαίᾳ· αὐτοὺς παίδευσεν, ἔθρεψέ τε δημοσίοις χρήμασιν εἰς ἥβην, ἵνα οἵ ποτε λοιγὸν ἀμύναιντο. καὶ Ἀμύνειν παρὰ Θουκυδίδῃ τὸ βοηθεῖν· Ἀμύνεσθαι δὲ τὸ κολάζειν.

α 1677 Ἀμυνίας: ὄνομα κύριον. ἢ ὁ ἕτοιμος ἀμύνεσθαι. ἀλλ’ Ἀμυνίας ὁ Σέλλου μᾶλλον, οὐκ τῶν κρωβύλων. Ἀριστοφάνης. οὗτος, ὃν ἐγώ ποτ’ εἶδον ἀντὶ μήλου καὶ ῥοιᾶς δειπνοῦντα μετὰ Λεωγόρου. πεινῇ γάρ, ἥπερ Ἀντιφῶν. ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ’· ἐκεῖ μόνος μόνοις τοῖς πενέσταισι ξυνὼν τοῖς Θετταλοῖς, αὐτὸς πενέστης ὢν ἐλάττων οὐδενός.

α 1678 Ἀμυνόμενοι: τοὺς κακόν τι πράξαντας ἀντιδιατιθέντες. οἱ δὲ Ῥωμαῖοι ἔθος εἶχον μὴ ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ’ ἀεὶ δοκεῖν ἀμυνόμενοι κατ’ ἀνάγκην ἐμβαίνειν εἰς τοὺς πολέμους. καὶ αὖθις· ὁρῶσι κἀμὲ καὶ σέ· καὶ φρονοῦς’, ὅτι ἔργοις πεπονθὼς ῥήμασιν ἀμύνομαι.

α 1679 Ἀμύνω τὸ βοηθῶ δοτικῇ, ἀμύνω δὲ τὸ τιμωρῶ αἰτιατικῇ. καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

α 1680 Ἀμύνω σοι: βοηθῶ σοι. Ἀμύνομαι σε δέ, ἀντὶ τοῦ τιμωρῶ σε.

α 1681 Ἀμύντης καὶ Ἀλκήστης, τραγικὰ καὶ Αἰσχυληρὰ τὰ ὀνόματα.

α 1682 Ἀμύντωρ: βοηθός.

α 1683 Ἀμύξεις: λυπήσεις, τρώσεις. πλήξεις. καὶ παροιμία· Μήδ’ ἄκανθα ἀμύξῃ τοὺς ἀγαθούς. καὶ Ἄμυξις· ἀμυχή, σπάραξις, ξέσις. Ἀμύσσω γὰρ παρὰ τὸ αἷμα, αἱμύσσω, καὶ ἀμύσσω. ἧς ἔπι καλὸν ἄμυξε καταρρέθος Ἀφρογένεια. ἀντὶ τοῦ ἐσπάραξεν, ἔξεσε. καὶ ἐν Ἐπιγράμμασι· ἵστασο καὶ σκοπίαζε, μάτην δὲ σὸν ἦτορ ἀμύσσου.

α 1684 Ἄμυρις μαίνεται: ἐπὶ τοῦ φρενήρους λέγεται ἡ παροιμία. θεωρὸς γὰρ ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε, ὅταν ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον πρὸς ἱερῷ μαστιγούμενον καὶ προσφυγόντα τῷ ἱερῷ καὶ μὴ ἀπολυόμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα ἀπολυθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὰ ἴδια, ἀπῆρεν εἰς Πελοπόννησον. ὃ οὖν λογισμῷ πεποίηκεν Ἄμυρις, τοῦτ’ εἰς μανίαν Συβαρῖται μετέστρεψαν. ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη.

α 1685 Ἀμύσσειν: ταράσσειν, ἑλκοῦν, ξέειν, σπαράσσειν. ποτὲ μὲν τοῖς ὄνυξιν ἀμύττων τὰς παρειάς, ὁτὲ δὲ τῷ ῥύγχει τοὺς ὀφθαλμοὺς ἔκοπτεν. ἐπεὶ δὲ προῆλθε τοῦ οἰκείου τάγματος, κόραξ ἐφιζάνει τῷ δεξιῷ τοῦ ἀνδρὸς βραχίονι, ἀντιπρόσωπος τῷ Κελτῷ κατὰ τὸν ἀγῶνα φερόμενος καὶ τοῖς τε ὄνυξιν ἀμύττων τὸ πρόσωπον καὶ ταῖς πτέρυξιν ἐπικαλύπτων τοὺς ὀφθαλμοὺς, ἀφύλακτον τῷ Βαλερίῳ τὸν πόλεμον παραδέδωκε, ὁμοῦ τήν τε νίκην καὶ τὴν ἐπωνυμίαν χαρισάμενος. Κόρβιος γὰρ ἐντεῦθεν ἐκλήθη. λέγεται καὶ Κορβῖνος.

α 1686 Ἀμύσκαρον: τὸ ἁγνόν.

α 1687 Ἀμυστὶ πιεῖν: ἐπίρρημα. λέγεται δὲ ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων. τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστίσαι. λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ. καὶ ἀμυστὶ Φερεκράτης εἶπεν. ὅτι Κόμοδος ὁ βασιλεὺς Ῥωμαίων ἔπιεν ἐν τῇ ἀγωνίᾳ καμὼν, κύλικι ῥοπαλωτῇ παρὰ γυναικὸς γλυκὺν οἶνον ἐψυγμένον λαβὼν ἀμυστί· ἐφ’ ᾧ παραχρῆμα πάντες τοῦτο δὴ τὸ ἐν τοῖς συμποσίοις εἰωθὸς λέγεσθαι ἐξεβόησαν ζήσειας. τὸ Ζήσειας ἐπὶ τοῦ τελειώσειας τὴν ζωήν φασιν οἱ γραμματικοί. κινδυνεύει οὖν ὁ τοῦτο λέγων ἀντὶ τοῦ εὔχεσθαι, καταρᾶσθαι. καὶ Ἀριστοφάνης· ἄμυστιν ἐξέλαψα. οἷον ὁμοῦ καὶ ἀθρόως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔπιον. ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου φιαλώδους. Ἄμυστις γὰρ ἡ ἀπνευστὶ πόσις.

α 1688 Ἀμυχή: ἐπιπόλαιον ἕλκος.

α 1689 Ἀμυχνόν: τὸ μὴ μυσαρόν, ἀλλ’ ἁγνὸν καὶ καθαρόν. οὕτως Σοφοκλῆς. γράφεται δὲ καὶ Ἀμυχρόν.

α 1690 Ἀμφάρης: ὄνομα κύριον.

α 1691 Ἀμφασία: ἀφωνία, ἀλαλία.

α 1692 Ἀμφ’ αὐτούς: περὶ αὐτούς.

α 1693 Ἀμφέχανε: καταπέπωκε. τοὺς δ’ ὁ μέλας ἀμφέχανε θάνατος.

α 1694 Ἄμφηκες: ἀμφοτέρωθεν ἠκονημένον. ἀπὸ τῆς ἀμφήκης εὐθείας. οἷος ἐμοὶ τρέφεται παῖς ἀμφήκει γλώττῃ λάμπων. Ἀριστοφάνης Νεφέλαις.

α 1695 Ἀμφήμερον: τὸν ἀμφημερινὸν πυρετόν. Σοφοκλῆς Ποιμέσι· κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου.

α 1696 Ἀμφηρεφές: ἀμφοτέρωθεν ἐστεγασμένον ἢ κατάσκιον.

α 1697 Ἀμφηρικόν· πέμπει δὲ σκαφίδιον ἀμφηρικόν. καὶ Θουκυδίδης· ἀκάτιον ἀμφηρικὸν ὡς λησταί, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν ἐκόμιζον τὸ πλοῖον ἁμάξῃ.

α 1698 Ἀμφήριστον: ἄνισον, ἀμφίβολον, ἐπιφιλόνεικον. πολίτης ἀμφήριστος Εὐρυβάτῃ, τῷ προεμένῳ Κροῖσον ἐπὶ πονηρίᾳ. καὶ αὖθις· ἤτοι τὸ νικᾶν ἢ τὸ μὴ λειφθῆναι, ἀλλ’ ἀμφήριστον ἀπολιπεῖν τὸ κράτος ἀφαιρεθέντες. ἀμφήριστος ἰσχὺν καὶ μέγεθος, φρονήσει δὲ καὶ ἀνδρείᾳ λίαν ὑπερφέρων.

α 1699 Ἀμφί: περί, ἐξ ἑκατέρου μέρους.

α 1700 Ἀμφιανακτίζειν: τὸ προοιμιάζειν. διὰ τὸ οὕτω προοιμιάζεσθαι. Περίανδρος· ἀμφί μοι αὖτις ἄνακτα. καὶ Ἀριστοφάνης Νεφέλαις· ἀμφί μοι αὖτε Φοῖβε ἄναξ Δήλιε. Ἀμφιάνακτας ἔλεγον καὶ τοὺς διθυραμβοποιούς· συνεχῶς γὰρ ἐκεῖνοι ταύτῃ ἐχρῶντο τῇ λέξει.

α 1701 Ἀμφιανακτίζειν: ᾄδειν τὸν Τερπάνδρου νόμον, τὸν καλούμενον Ὄρθιον, ὃ αὐτῷ προοίμιον ταύτην τὴν ἀρχὴν εἶχεν· ἀμφί μοι αὐτὸν ἄνακτ’ ἑκατηβόλον ἀοιδέτω φρήν. ἔστι δὲ καὶ ἐν Εὐναίᾳ καὶ ἐν Ἀναγύρῳ.

α 1702 Ἀμφιάρεων: Ἀττικῶς. Ἀμφιαρεῖον δέ.

α 1703 Ἀμφίας: μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ καὶ Σωσικράτης.

α 1704 Ἀμφίβιον: ἐν ἀμφοτέραις δυνάμενον βιοῦν, θαλάσσῃ καὶ γῇ. καὶ Ἀμφίβια ζῷα, ὅσα καὶ ἐν τῷ ὑγρῷ καὶ ἐπὶ τῆς χέρσου βιοῖ, οἷον ἵππος ποτάμιος, κροκόδειλος. δύναται δὲ καὶ ἄνθρωπος. εἰσὶ γὰρ οἷα ἅμα καὶ ἐν τῷ ὑγρῷ καὶ ἐν τῷ ξηρῷ διαιτᾶσθαι, ὡς ἐν Αἰγύπτῳ καὶ ἄλλῃ πολλαχῇ.

α 1705 Ἀμφίβληστρον: τὸ δίκτυον.

α 1706 Ἀμφιβολία: λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, ὥσθ’ ἅμα πλείονα ἐκδέξασθαι κατὰ τὴν αὐτὴν λέξιν· οἷον αὐλητρὶς πέπτωκε. δηλοῦται γὰρ δι’ αὐτῆς, καὶ ὅτι οἰκία τρὶς πέπτωκε καὶ ὅτι ἡ κιθαρῳδὸς ἡ αὐλοῦσα.

α 1707 Ἀμφίβολοι: πανταχόθεν βαλλόμενοι· ἢ ἀπορούμενοι, διαφόροις συνεχόμενοι λογισμοῖς ἀγνοίᾳ τοῦ αἱρετοῦ καὶ εἴτε τοῦτο εἴτε ἐκεῖνο ποιήσουσιν. Ἀρριανός· οἱ δὲ Μάρδοι ἑκατέρωθεν ἤδη ἀμφίβολοι γιγνόμενοι καὶ ὑπὸ τῶν ἀναβαινόντων παιόμενοι καὶ ὑπὸ τῶν κατὰ νώτου ἐπιθεμένων ὠθούμενοι, ἀπέθνησκον. καὶ αὖθις· ὁ δὲ Παμπρέπιος τούτοις ἀμφίβολος ὀφθείς, βραχὺ παρεωρᾶτο.

α 1708

Ἀμφίβροχος: πανταχόθεν βεβρεγμένος, τουτέστι μεθύων. ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ.

α 1709 Ἀμφιγνοεῖ: ἀμφιβάλλει. Ἀγαθίας· καὶ ὅτου δὴ ἕνεκα τοῦτο δράσειεν ἀμφιγνοούντων. ἀντὶ τοῦ ἀμφιβαλλόντων. Ἀμφιγνοεῖν οὖν ἀγνοεῖν ἢ ἐνδοιάζειν.

α 1710 Ἀμφιγυήεις: ὁ Ἥφαιστος.

α 1711 Ἀμφιγυίοισιν: τοῖς ἐξ ἑκατέρου μέρους πλῆξαι καὶ γυιῶσαι δυναμένοις.

α 1712 Ἀμφιδαής: ἡ ἀμφοτέρωθεν κόπτουσα μάχαιρα.

α 1713 Ἀμφίδεα: ψέλια.

α 1714 Ἀμφιδέας: ἁλύσεις παρ’ Ἡροδότῳ. οἱ δὲ ψέλια.

α 1715 Ἀμφιδέας: περισκελίδες τινές εἰσιν. ἰδίως δὲ Λυσίας ἐν τῷ κατ’ Εὐθυδίκου φησίν· οὐ δυνάμενος ἐκβαλεῖν, διὰ τὸ ἀμφιδέαις δεδέσθαι τὰς θύρας.

α 1716 Ἀμφιδέδηεν: ἐξῆπτο, διεγήγερτο.

α 1717 Ἀμφιδεές: περιδεές.

α 1718 Ἀμφιδείκελον: ἀμφίδηλον δέ.

α 1719 Ἀμφιδήριτον: ἀμφίδοξον, ἰσοστάσιον. συνέβη γενέσθαι τὴν μάχην ἀμφιδήριτον.

α 1720 Ἀμφίδοξον: ἀμφίβολον. οἱ δὲ οὐκ ᾤοντο δεῖν ἐς ἀμφίδοξον ἀγῶνα συγκαταβαίνειν, δυναμένοις προδήλως νικᾶν. καὶ Ἀμφιδοξούμενα βιβλία, τουτέστιν ἀμφιβαλλόμενα.

α 1721 Ἀμφίδορον: τὸ πανταχόθεν περιέχον. ἐν Ἐπιγράμμασι· καὶ σκύτος ἀμφιδόρου στικτὸν ἀχαιΐνεω. τουτέστιν ἐλάφου δέρμα. ἀχαιΐνη γὰρ ἡ ἔλαφος.

α 1722 Ἀμφιδρόμια: τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως· τὸ δὲ βρέφος περιφέρουσι τὴν ἑστίαν τρέχοντες, καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας. τῇ δεκάτῃ τοὔνομα τίθενται.

α 1723 Ἀμφίδρομον: ἑλικοειδές. ἴδεσθέ μ’ οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται. ἑλικοειδὲς, ὃ βαπτίζει τὰς ναῦς.

α 1724 Ἀμφί ἑ γιγνώσκων ἑτάρους: ἶσον τῷ ἀναλεγόμενος καὶ ἀναμιμνησκόμενος. καὶ κατ’ ὀρθὸν τόνον προενεκτέον τὴν ἀμφί ἑ. ἔστι γὰρ εἰς ἑκάτερον ἑαυτοῦ μέρος.

α 1725 Ἀμφιέννυμι· αἰτιατικῇ.

α 1726 Ἀμφιέτει: ἐν αὐτῷ τῷ ἔτει.

α 1727 Ἀμφιετηρίς: ἑορτὴ κατ’ ἔτος γινομένη.

α 1728 Ἀμφιθαλής: ἑκατέρωθεν θάλλων.

α 1729 Ἀμφιθαλὴς ἔρως: ὁ ἀμφοτέροις τοῖς γονεῦσι θάλλων, μηδενὸς ὠρφανισμένος.

α 1730 Ἀμφιθέατρον: τόπος πανταχόθεν περισκοπούμενος. Ἀγαθίας· ὁ δὲ τῶν Φράγγων ἡγεμὼν ἐς ἀμφιθέατρόν τι, ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν, οἷς ὁ βίος θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι.

α 1731 Ἀμφίθετον φιάλην: κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης, ἀπύθμενον. οὐ τὸ παρ’ ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν.

α 1732 Ἀμφίκλαστον: πάντοθεν κεκλασμένον. λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρης.

α 1733 Ἀμφίκορος: ὁ μέσος τῶν τριῶν ἀδελφῶν. Ἀμφίκουρος δὲ, ἣν ἑκατέρωθεν ἄνδρες περιλάβωσιν.

α 1734 Ἀμφίκρημνος: περίκρημνος ἢ βραχυτάτη.

α 1735

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀμφικτυόνες: οἱ ἐκ πόλεων καὶ ἐθνῶν αἱρετοὶ δικασταί. οἷον ἀμφικτυόνες καὶ περίοικοι.

α 1736 Ἀμφικτυόνες: συνέδριόν ἐστιν ὁ Ἀμφικτυὼν Ἑλληνικὸν, συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθησαν δὲ Ἀμφικτυόνες ἀπὸ Ἀμφικτυόνος τοῦ Δευκαλίωνος. αὐτὸς γὰρ συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δ’ ἦν ιβ′· Ἴωνες, Δωριεῖς, Περραιβοὶ, Βοιωτοὶ, Μάγνητες, Ἀχαιοὶ, Φθιῶται, Μολιεῖς, Δόλοπες, Αἰνιᾶνες, Δελφοὶ, Φωκεῖς. οἱ δὲ φασὶν ὠνομάσθαι ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας. καὶ Ἀμφικτυώνειος χώρα· Ἀμφιτρυώνειος δὲ μάχη. Ἀμφικτύων δὲ Ἀμφικτύωνος φυλάττει. Ἀμφικτύων δὲ Ἀμφικτύονος συστέλλει.

α 1737 Ἀμφίκοιτος: ὁ τάπης.

α 1738 Ἀμφίκοιλον ξύλον: ἀνάφορον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν. ἀμφίκυρτον οὖν γραπτέον, ὅπερ καὶ ἀληθές.

α 1739 Ἀμφιλαφές: κατάσκιον, ἀμφοτέρωθεν βοηθούμενον. καὶ θηλυκῶς Ἀμφιλάφεια, ἀμφοτέρωθεν βοήθεια.

α 1740 Ἀμφιλαφῆ: διπλοῦν, τεχνικόν τε καὶ σοφιστικόν. ἐμοὶ δὲ ἐξηγεῖτο λόγους Ἰσοκρατείους· ὅτε καὶ εἶδον ἄνθρωπον εὔρρουν τε ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις. καὶ Ἀμφιλαφής, μεγάλη· οἷον ἀμφιλαβής, ὅτι ἀμφοτέραις χερσὶ λαμβάνεσθαι αὐτῆς ἐστιν. οὐχ ἡμάρτανε δὲ οὐδὲ ἀμφιλαφοῦς περιουσίας. ἐν Ἐπιγράμμασι· ἰτέαι, ἥ θ’ ἱερὰ κἀμφιλαφὴς πλάτανος.

α 1741 Ἀμφιλεξάντων: ἀντὶ τοῦ ἀμφισβητησάντων καὶ διενεχθέντων. οὕτως Ξενοφῶν. ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶν τε τοῦ Μένωνος στρατιωτῶν καὶ τοῦ Κλεάρχου.

α 1742 Ἀμφίλογον: ἀμφιβαλλόμενον, ἐνδοιάζοντα. Ἀρριανός· Ἀξιδάρην δὲ ὅτι ἄρχειν χρὴ Ἀρμενίας, οὔ μοι δοκεῖ εἶναί σε ἀμφίλογον.

α 1743 Ἀμφιλύκη: ἡ νύξ. ἐν Ἐπιγράμμασι· ἀμάθυνε δὲ χαίτην, ἣν μόλις ἐς τρισσὴν πλέξαμεν ἀμφιλύκην. Ἀμφιλύκη οὖν τὸ τέλος τῆς νυκτός. ἡμέρα δὲ ὑπέφαινεν οὔπω λαμπρά, ἀλλ’ ἔτι πρὸς ἀμφιλύκην ἦν ἡ νὺξ καὶ ἀπέληγεν.

α 1744 Ἀμφιμάσχαλος: χειριδωτὸν ἱμάτιον. οἱ δὲ δουλικὸν, ἢ μικρὸν χιτωνίσκον. ἦν δὲ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον. Ἀριστοφάνης· οὐπώποτ’ ἀμφιμασχάλου τὸν δ’ ἠξίωσας.

α 1745 Ἀμφιμάτορας: ἀμφοτέρους τοὺς γονεῖς ἔχοντας.

α 1746 Ἀμφιματῶσαι: ἀποδῦσαι.

α 1747 Ἀμφιμήτωρ: ὁ ἑτερομήτωρ. Αἰσχύλος.

α 1748 Ἀμφίξουν· ἐν Ἐπιγράμμασι· ἀμφίξουν τε σκέπαρνον. τὸ καλῶς ξέον.

α 1749 Ἄμφιον: ἱμάτιον, ἔνδυμα. καὶ Ἄμφιος, ὄνομα κύριον.

α 1750 Ἀμφιορκία: ἐπειδὰν ὅ τε διώκων καὶ ὁ φεύγων ὀμνύωσι, κλοπῆς ἔγκλημά τισιν ἐπιφέροντες. τοῦτο δὲ πολλάκις ὤφθη μάτην γινόμενον. ἔθεντο οὖν Ἀθηναῖοι νόμον κατὰ τῶν ἀπαγόντων εἰς δεσμωτήριόν τινας ἐπὶ δίκῃ κλοπῆς, χιλίας διδόναι δραχμὰς τοὺς ἁλόντας. ἀλλὰ καὶ τοὺς οὐσίαν ἀπογράψαντας τῶν πολιτῶν τινας, ὡς τῷ δήμῳ προσηκούσαν, εἰ συκοφαντοῦντες ἁλοῖεν, καὶ οὗτοι χιλίαις ἐζημιοῦντο.

α 1751 Ἀμφίων· οὗτος παλαιᾶς μουσικῆς εὑρετής. περὶ οὗ λέγει ὁ Παραβάτης ἐν ἐπιστολῇ· περίεστι γάρ σοι καὶ σχολὴ, καὶ φύσεως ἔχεις εὖ, καὶ φιλοσοφίας ἐρᾷς, εἴπερ τις ἄλλος τῶν πώποτε· τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετὴν, χρόνος, θεοῦ πνεῦμα, ἔρως ὑμνῳδίας. οὐδὲ γὰρ ἡ τῶν ὀργάνων ἔνδεια πρὸς ταῦτα πέφυκεν ἀντιτάττεσθαι, καὶ ταῦτα ῥᾳδίως ἂν ὁ τῶν τριῶν τούτων μέτοχος ἐξεύροι· ἢ γὰρ οὐχὶ τοῦτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸν ἀκοῇ παραδεδέγμεθα οὐ τὰς ἁρμονίας μόνον, αὐτὴν δὲ ἐπ’ αὐταῖς ἐξευρεῖν τὴν λύραν, εἴτε δαιμονιωτέρᾳ χρησάμενον ἐπινοίᾳ, εἴτε τινὶ θείᾳ δόσει, διά τινα συντυχίαν ἀμήχανον; καὶ τῶν παλαιῶν οἱ πλεῖστοι τοῖς τρισὶ τούτοις ἐοίκασι μάλιστα προσχόντες οὔτι πλαστῶς φιλοσοφῆσαι, οὐδενὸς ἄλλου δεόμενοι. Ζῆθος καὶ Ἀμφίων ἕτερος· ζήτει ἐν τῷ Ἀντιόπη.

α 1752 Ἀμφιπάτορες: οἱ ἀπὸ τοῦ αὐτοῦ πατρὸς, ἑτέρας δὲ μητρός.

α 1753 Ἀμφιπλήξ: ἡ ἀμφοτέρωθεν ἐλασία. ἡ ἑκατέρωθεν πλήττουσα, ἔκ τε πατρὸς καὶ μητρός. Σοφοκλῆς· καί ς’ ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς ἐλᾷ ποτ’ ἐκ γῆς τῆσδε δεινόπους ἀρά. τουτέστιν ἡ διὰ τῶν ποδῶν δέος ἐμποιοῦσα.

α 1754 Ἀμφίπολις: πόλις ἐστὶ τῆς Θρᾴκης· πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο. φασὶ δέ τινες αὐτὴν Ἀμφίπολιν ὠνομάσθαι διὰ τὸ περιοικεῖσθαι τὸν τόπον. Ἀμφίπολις Ἀμφιπόλεως κλίνεται.

α 1755 Ἀμφίπολος: θεράπαινα, δούλη. ἀμφίπολοι στῆθ’ οὕτως ἀπόπροθι. οὕτως ὡς ἔχετε. καὶ στῆθ’ οὕτως ἐμῆς ἀπάνευθε τραπέζης.

α 1756 Ἀμφιπρύμναις: εἶδος πλοίων. ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴστρον ἐν ταῖς ἀμφιπρύμναις τῶν νεῶν.

α 1757 Ἀμφίπυρον: πανταχόθεν πυρούμενον. Σοφοκλῆς· τοὶ δ’ ὑψίβατον τρίποδ’ ἀμφίπυρον λουτρῶν ὁσίων θέσθ’ ἐπίκαιρον.

α 1758 Ἀμφιρρῶγας: πάντοθεν διερρωγότας, ἠνεῳγμένους. κλωβούς τ’ ἀμφιρρῶγας.

α 1759 Ἀμφιρύτη: περιρρεομένη κύκλῳ. ἐν Ἐπιγράμμασι· ἀμφιρύτη Κῶος, καὶ πάλιν πένθος ἔχεις οἷον ἐφ’ Ἱπποκράτει.

α 1760 Ἄμφις, κωμικὸς, Ἀθηναῖος. Ἀμφὶς δὲ χωρίς.

α 1761 Ἄμφισα: πόλις ἐστὶ τῆς Λοκρίδος. Ἄμφισα δὲ ὠνομάσθη διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν.

α 1762 Ἀμφισβατεῖν: ἔνιοι τὸ ἀμφισβητεῖν, Ἴωνες δὲ καὶ Ἀγχιβατεῖν. καὶ Ἀγχιβασίην Ἡράκλειτος.

α 1763 Ἀμφισβητεῖν: μὴ συμφωνεῖν, ἀλλ’ οἷον χωρὶς βαίνειν καὶ ἀμφιβάλλειν. ὁ δὲ Πτολεμαῖος εἰδὼς τοὺς ἑαυτοῦ προγόνους ἐσχηκότας τὴν Κοίλην Συρίαν παρασκευὰς ἐποιεῖτο μεγάλας ἀμφισβητῶν ταύταις· ἤλπιζε γὰρ τὴν ἀδίκῳ πολέμῳ πρότερον ἀνειμένην τότε δικαίως τοῖς αὐτοῖς νόμοις ἀνακτήσασθαι. καὶ Αἰλιανός· ἠμφισβήτουν γὰρ τοὺς ἑτέρους ἕτεροι προβαλλόμενοι. οὐκέτι οὖν ἦν ἀμφισβητήσιμα τὸ μὴ οὐ τοῦτον ἐκεῖνον εἶναι τὸν τεθνηκότα.

α 1764 Ἀμφισβητεῖν καὶ παρακαταβάλλειν: οἱ τὸν κλῆρον ἐπιδικαζόμενοι ἀμφισβητεῖν ἢ παρακαταβάλλειν λέγονται, οἱ μὲν φάσκοντες ἐπίδικον εἶναι τὸν κλῆρον, ὡς ὄντος παιδὸς τῷ τετελευτηκότι ἢ γόνῳ ἢ ποιήσει, οἱ δὲ ὡς ἄπαιδος τελευτήσαντος δικαιότερον λέγοντες ἔχειν αὐτοὺς τὸν κλῆρον τοῦ λαβόντος, ἢ συγγενεῖς ὄντες ἢ κατὰ διαθήκας κληρονόμοι. οὕτως Δημοσθένης καὶ Ὑπερίδης περὶ τοῦ καταβάλλειν διεσάφησαν.

α 1765 Ἀμφισβητεῖν καὶ παρακαταβάλλειν: ὅταν τελευτήσας τις ἄπαις εἶναι δοκῇ, φάσκῃ δέ τις ἑαυτὸν ἐκείνου υἱόν, οὗτος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν τοῦ θανόντος ἑαυτὸν μὴ εἰσάγοι, λέγοι δὲ ἄλλως κατὰ γένος αὐτῷ προσήκειν τὸν κλῆρον, παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουσι. πλὴν ἀμφότερα ἐπ’ ἀντιλογίας τάσσεται.

α 1766 Ἀμφισβήτησις· οἱ ἔξω φασίν· ἡ ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω. καὶ οὐ δεῖ ἀπερισκέπτως ποιεῖσθαι τὰς κρίσεις. Ἀμφισβητῶ καὶ σοὶ καὶ σοῦ.

α 1767 Ἀμφίσκω: ἐνδύω.

α 1768 Ἀμφίσματα: τὰ ἀμφισβητήσιμα. Ἑλλάνικος.

α 1769 Ἀμφίσταται: περιΐσταται. ἀμφίσταται διαπρύσιος ὄτοβος.

α 1770 Ἀμφιστεφέες: πάντοθεν πλήρεις, περιπεπλεγμέναι ἀλλήλαις.

α 1771 Ἀμφιστείδης· ζήτει περὶ τούτου ἐν τῷ γελοῖος. ἡ δοτικὴ τῷ Ἀμφιστείδῃ.

α 1772 Ἀμφιστείδης: ὄνομα κύριον.

α 1773 Ἀμφίστομος: αὕτη ἡ φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι.

α 1774 Ἀμφίταποι: τάπητες ἀμφίμαλλοι.

α 1775 Ἀμφὶ τὸ λυκόφως: περὶ τὴν αὐγήν.

α 1776 Ἀμφίτρητον: τὸ ἐξ ἑκατέρων τῶν μερῶν τετρημένον ἄντρον. Ἀμφιτρίτη δὲ ἡ θάλασσα.

α 1777 Ἀμφιτρύων: παῖς Ἀλκέως.

α 1778 Ἀμφιτρυγῆ: κατερρωγότα.

α 1779 Ἀμφιφορεῦσιν: κεραμίοις, ἀμφορεῦσιν.

α 1780 Ἀμφιφορῆα: ἀγγεῖον. ἐν Ἐπιγράμμασι· τίς με Διωνύσῳ πεπλασμένον ἀμφιφορῆα, τίς με τὸν Ἀδριακοῦ νέκταρος οἰνοδόκον Δηοῦς ἐπλήρωσε; τίς ὁ φθόνος εἰς ἐμὲ Βάκχου ἢ σπάνις οἰκείου τεύχεος ἀσταχύων; ἀμφοτέρους ᾔσχυνε· σεσύληται μὲν ὁ Βάκχος, Δημήτηρ δὲ μέθην σύντροφον οὐ δέχεται.

α 1781 Ἀμφιφῶντες: πλακοῦντος εἶδος, οἵτινες ἐγίνοντο, ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται· ἢ ὅτι ἐκόμιζον αὐτὸν δᾳδία ἡμμένα περιπηγνύντες ἐπ' αὐτῷ, ὥς φησιν Ἀπολλόδωρος.

α 1782 Ἀμφίχυτον: περικεχωσμένον.

α 1783 Ἄμφοδον: δίοδον, ῥύμην.

α 1784 Ἀμφόδοντα ζῷα: οἷον ἄνθρωπος, ἵππος, ὄνος καὶ ὅσα οὐκ ἐνηλλαγμένους τοὺς ὀδόντας ἔχει, οἷς συμβέβηκε πιμελήν, ἀλλ' οὐ στέαρ ἔχειν.

α 1785 Ἀμφορεαφόρους: τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας. καὶ Ἀμφορεαφόρος, ὁ κεράμια μισθοῦ φέρων. εἶτ' ἀμφορεαφόρος τις ἀποφορὰν φέρων. Μένανδρος Ῥαπιζομένῃ. καὶ Ἀριστοφάνης Ἥρωσι· τρέχ' εἰς τὸν οἶνον, ἀμφορέα κενὸν λαβών, τὸν ἔνδοθεν καὶ γεῦμα καὶ γευστήριον, κἄπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν. Εὔπολις Μαρικᾷ· καὶ περιήλθομεν καὶ φῦλον ἀμφορέα φέρων. Ἀμφορεὺς οὖν ἀγγεῖον, μέτρον, κεράμιον. σημαίνει καὶ ἀσκόν. ἔστι καὶ ὄνομα κύριον. καὶ Ἀμφορεῖς, κέραμοι. καὶ Θάσια ἀμφορείδια, τὰ κεράμια. Ἰώσηπος· συνωνούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμφορεῖς, ἐπίπρασκε τιμῆς ἡμιαμφόριον καὶ πλῆθος συνῆγε χρημάτων. καὶ Ἀριστοφάνης Ἀμφορεῖς λέγει τὰ μέτρα. χυτρίδια καὶ σανίδια, κἀμφορείδια. καὶ Ἀμφορεῖς νενησμένοι, κέραμοι σεσωρευμένοι. Ἀριστοφάνης· τί κάθησθ' ἀβέλτεροι πρόβατ' ἄλλως, ἀμφορεῖς νενησμένοι. καὶ Ἀμφορῆας καὶ Ἀμφορείδια τὰ κεράμια. ὅτι ἀμφορῆας λέγει τὰ Μεγαρικά.

α 1786 Ἀμφότερα: ἀντὶ τοῦ κατὰ ἀμφότερα. Θουκυδίδης. Ἀμφοτεροδέξιος· ὁ δὲ τὴν λαιὰν ἀντὶ δεξιᾶς ἔχων, ἀρρωστοτέραν ἔχει αὐτήν. ζήτει ἐν τῷ δύσεργος.

α 1787 Ἀμφοτερόπλουν· ὅταν τις ναυτικὸν δανείσῃ δάνειον ἐπὶ τῷ καὶ ἐνθένδε πλεῦσαι ποιῶν κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται. οὕτως Δημοσθένης.

α 1788 Ἀμφότεροι: ἀπρόσληπτόν ἐστιν ἄρθρου, ἐπειδὴ τὰ ἄρθρα ἀναπόλησιν δηλοῦσιν ἀγνοουμένου πράγματος. τὸ δ' ἀμφότεροι ὡρισμένα σημαίνει δύο.

α 1789 Ἀμφοῦδις: ὄνομα κύριον.

α 1790

Ἄμφω: ἀμφότεροι καὶ ἀμφοτέρους, καὶ αἱ πλάγιοι ἀμφοῖν. καὶ Ἄμφω τὼ χεῖρε, ἀμφοτέρας τὰς χεῖρας δυϊκῶς. Οὐ χειρὶ δωρούμενος, ἀλλ' ἀμφοῖν· ἐπὶ τῶν ἀφθόνως καὶ δαψιλῶς μεταδιδόντων τοῖς πᾶσιν.

α 1791 Ἀμφῶες καὶ Ἀμφωτίδες. καὶ Ἀμφωτίδων, τῶν δύο ὦτα ἐχουσῶν. καὶ παροιμία· Μέχρι τῶν ἀμφωτίδων· ἐπὶ τῶν ἄγαν πεπληρωμένων, ἀντὶ τοῦ μέχρι τῶν ὤτων.

α 1792 Ἀμφοῖν: ἀμφοτέραις ταῖς χερσίν. οὐ μιᾷ χειρὶ δωρούμενος ἀλλ' ἀμφοῖν.

α 1793 Ἀμφοῖν: ἀμφοτέρων. μέσοι δὲ ληφθέντες ἀμφοῖν πολλοὶ διεφθάρησαν. καὶ Ἀμφοῖν ποδοῖν, ἀντὶ τοῦ παντὶ σθένει. Ἀριστοφάνης Ὄρνισιν· ἀνιπτάμεθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν. ἀπὸ μεταφορᾶς τῶν ὀρνέων, ἀμφοῖν πτεροῖν· ἢ ἐκ τῶν νεῶν, αἳ οὐριοδρομοῦσαι ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν· ἢ ἀντὶ τοῦ τελέως, προληπτικῶς τῇ τῶν ὀρνέων χρώμενος μεταφορᾷ.

α 1794 Ἄν: σύνδεσμος συνδετικός. Ἀρριανός· καὶ ἂν ἤδη ἀφῖχθαι αὐτὸν παρὰ βασιλέως, εἰ μὴ ἐδεδοίκει Πάρθους.

α 1795 Ἄνα: ἀνάστηθι. Ὅμηρος. καὶ Σοφοκλῆς· ἀλλ' ἄνα ἐξ ἑδράνων. ἀντὶ τοῦ ἀλλ' ἀνάστηθι ἐκ τῶν θρόνων. καὶ Ἄνα, ἀντὶ τοῦ ἄναξ κατὰ ἀποκοπὴν τοῦ ξ.

α 1796 Ἀναβάδην: ἐφ' ὕψους, ἄνω τοὺς πόδας ἔχειν καὶ κοιμᾶσθαι. Ἀριστοφάνης· νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι. ἢ ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. καὶ αὖθις· πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν. σκώπτει τὸν Εὐριπίδην ὡς συλλογιστικὸν καὶ ὃ ἂν λέγῃ, τὸ ἐναντίον πάλιν κατασκευάζοντα. οἷον, ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. οἷον αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται· Ὁμηρικῶς· Ὅμηρος γὰρ διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα εἰπών· πολλὰς δ' ἰφθίμους ψυχάς· αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν. οὕτως καὶ Ἀριστοφάνης. ὁ νοῦς μὲν ἔξω, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν. καὶ Ἀναβάδην καθῆσθαι, μετέωρον καθέζεσθαι.

α 1797 Ἀναβαθμοί: ἀναβάσεις. λέγουσι δὲ τὴν ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον.

α 1798 Ἀναβάλλειν· αἰτιατικῇ. ἀντὶ τοῦ εἰς ἀναβολὰς καθίστησιν. Ἀναβάλλεσθαι δὲ τὸ ἱμάτιον, οὐ περιβάλλεσθαι λέγουσιν.

α 1799 Ἀναβαλλόμενος· αἰτιατικῇ. ὑπερτιθέμενος· ἀναβαλόμενος δὲ δι' ἑνὸς λ ἀντὶ τοῦ προοιμιασάμενος. ἀναβαλόμενος οὖν, ὥσπερ εἰώθει, βραχὺν διεξῆλθεν ὕμνον. καὶ Ἀναβολάς, τὰ προοίμια. καὶ Ἀναβάλλομαι· αἰτιατικῇ.

α 1800 Ἀναβαλοῦ· περισπῶσιν οἱ Ἀττικοί.

α 1801 Ἀναβάσεις: αἱ προκοπαί, εἰς τὸ ἐναντίον δὲ καταβάσεις. καὶ Ἀναβάσεις καρδίας, οἱ εὐσεβεῖς περὶ θεοῦ λογισμοί. Δαβίδ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο.

α 1802 Ἀνάβαινε· ἰστέον, ὅτι ἔλεγον οἱ παλαιοὶ τὸ ἐπὶ λογεῖον εἰσιέναι ἀναβαίνειν, καταβαίνειν δὲ τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἤθους. Ἀριστοφάνης· ἀλλαντοπώλα, δεῦρο, δεῦρ', ὦ φίλτατε, ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῶιν φανείς.

α 1803 Ἀναβεβαμένοι: ἀντὶ τοῦ ἀναβάτην ἔχοντες. οὕτως Ξενοφῶν.

α 1804 Ἀναβιβάζω· αἰτιατικῇ.

α 1805 Ἀναβιβῶμαι: ἀντὶ τοῦ ἀναβιβάσομαι. Ἀμειψίας.

α 1806 Ἀναβιῶναι: ἀναζῆσαι. ἤδη δέ τινές φασιν, ὡς τοσοῦτον ἄρα τὸν Αἴσωπον θεοφιλῆ γενέσθαι, ὡς καὶ ἀναβιῶναι αὐτὸν, καθάπερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον. καὶ Πλάτων φησὶν ὁ κωμικός· καὶ νῦν ὄμοσόν μοι μὴ τεθνάναι τὸ σῶμα ἐγώ· ψυχὴ δ' ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1807 Ἀναβιώσκεσθαι: ἀναζῆν.

α 1808 Ἀναβλυστωνῆσαι: τὸ ἀναβλύσαι. Εὔπολις Δήμοις. πάντα τὰ τοιαῦτα οἱ κωμικοὶ ποιοῦσι παρόντες. καὶ Ἀναβλυστωνῆσαι, ἀναβλαστῆσαι.

α 1809 Ἀναβοθρεύουσιν: ἀναμοχλεύουσιν.

α 1810 Ἀναβολάς: τὰ προοίμια. καινὰς ἀναβολὰς θέλω λαβεῖν. ἢ τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος· ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ Ἀριστοφάνης· ξυνελέγοντ’ ἀναβολὰς ποτώμεναι. περὶ ψυχῶν λέγων διθυραμβοδιδασκάλων.

α 1811 Ἀναβολεύς: ὁ ἐπὶ τὸν ἵππον ἀνάγων. ὁ δὲ βασιλεὺς τὸν ἀναβολέα προσκαλεσάμενος καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον ᾔτησε πιεῖν καὶ ἀκράτου σπασάμενος πλεονάκις ἐνέφαινεν ὡς εἰς τοὔμπροσθεν προάξων. Ἀναβολεὺς καὶ ἡ παρὰ Ῥωμαίοις λεγομένη σκάλα. καὶ αὖθις· ὁ δὲ Μασσία γηράσας ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν.

α 1812 Ἀναβολή: ἀνοχή. Αἰλιανός· Λοξίας δὲ καὶ Ζεὺς πατὴρ ἀναβολὴν θανάτου ἐψηφίσαντο Φαλάριδι ἔτη δύο, ἀνθ’ ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη.

α 1813 Ἀναβράσσουσιν: ἀναδιδοῦσιν.

α 1814 Ἀνάβραστα: ἑψημένα, ζεστά. Ἀριστοφάνης Βατράχοις· καὶ κρέα γε πρὸς τούτοις ἀνάβραστ’ εἴκοσιν.

α 1815 Ἀναβρυχόμενος. ἀλλ’ ἦσαν παραπλήσιοι συγκαθήμενοί τε καὶ ἀναβρυχόμενοι τὸ πάθος τοῖς ἐπὶ θέᾳ κυνηγεσίων κατακεκλεισμένοις θηρίοις, ὧν ὁ μὲν θυμὸς φλογώδης καὶ τραχὺς, ὑφ’ ὧν πάσχουσιν, ἡ δὲ ἐνέργεια τῷ κατέχοντι τῆς βίας ἀσθενεστέρα.

α 1816 Ἀναγαγών: ἀντὶ τοῦ ἀπαγαγών. Ξενοφῶν.

α 1817 Ἀναγαλλίς, ἡ Κερκυραία γραμματικὴ, ἥτις τὴν τῆς σφαίρας εὕρεσιν Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθησιν.

α 1818 Ἀναγάστης: ὄνομα κύριον. ζήτει ἐν τῷ ὑποστάς.

α 1819 Ἀνάγαιον: τὸ οἴκημα. Ἀνάγαιον καὶ κατάγαιον διὰ διφθόγγου καὶ ο μικροῦ. καὶ ζήτει ἐν τῷ ἀνώγεων σαφέστερον.

α 1820 Ἀναγγελήσεται: διηγηθήσεται.

α 1821 Ἀνάγγελον: μηδὲ ἄγγελον καταλειφθῆναι. ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ’ ἄλλον πίπτοντες. καὶ Ἀναγγέλλω· δοτικῇ.

α 1822 Ἀνάγεσθαι: τὸ ἐκ Βυζαντίου ἀπαίρειν. Προκόπιος· οὐ γὰρ θέμις τινὰ ἐκ Βυζαντίου ἀνάγεσθαι πρὸς τῶν ἀνδρῶν. καὶ Ἀνάγειν, τὸ μηνύειν τὸν πεπρακότα καὶ ἐπ’ ἐκεῖνον ἰέναι. οὕτως Λυσίας καὶ Δείναρχος.

α 1823 Ἀναγεῖς: διὰ μὲν τοῦ α τοὺς ἀνάγνους, διὰ δὲ τοῦ ε τοὺς ἐνόχους ἄγει καὶ μιάσματι. οὕτως Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

α 1824 Ἀναγινωσκομένους: ἀντὶ τοῦ ἀναπειθουμένους. οὕτως Ἀντιφῶν καὶ Ἰσαῖος καὶ Ἡρόδοτος.

α 1825 Ἀναγκαία τράπεζα: ἡ εὐτελὴς καὶ πενιχρά. καὶ Σοφοκλῆς φησίν· ὦ δέσποτ’ Αἶαν, τῆς ἀναγκαίας τύχης οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν. διπλῶς φησι τὸ ἀναγκαῖον, ποτὲ μὲν ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων, ὡς εἰ εἴποιμεν, ἀναγκαίως τὸ πῦρ ξανθὸν καὶ τὸ γάλα λευκόν, ποτὲ δὲ ἐπὶ τοῦ ἐξ ἀνάγκης γινομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τῆς βίας φήσι, τουτέστι τῆς δυστυχίας. καὶ Ἰάμβλιχος· τὴν δὲ ἄλυσιν, οὐ γάρ ἐστιν ἡμῖν ἀναγκαία, προσέπεμψά σοι.

α 1826 Ἀνάγκη οὐδὲ θεοὶ μάχονται.

α 1827

Ἀναγκαῖον: οὕτως καλεῖται τὸ αἰδοῖον, ἐπεὶ τῆς ἀνάγκης ἐστὶ συμβόλαιον. οἱ δὲ πρὸς ἀλκὴν ἐτράποντο ἐκ τοῦ ἀναγκαίου. ἀντὶ τοῦ δι' ἀνάγκας. Ἰσαῖος δὲ ἀναγκαῖον τὸ δεσμωτήριον καλεῖ. Καλλισθένης δὲ ἀνωγαίων εἶπε καὶ οὕτως δεῖ μᾶλλον λέγεσθαι. Ἀναγκαῖόν ἐστιν, ὅπερ ἀληθὲς ὂν οὐκ ἔστιν ἐπιδεκτικὸν τοῦ ψεῦδος εἶναι· ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δὲ ἐκτὸς αὐτῷ ἐναντιοῦται πρὸς τὸ ψεῦδος εἶναι, οἷον ἡ ἀρετὴ ὠφελεῖ. οὐκ ἀναγκαῖον δέ ἐστιν, ὃ καὶ ἀληθές ἐστι καὶ ψεῦδος οἷόν τε αὐτὸ εἶναι, τῶν ἐκτὸς μηδὲν ἐναντιουμένων· οἷον περιπατεῖ Δίων. ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης φησί, μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι μηδὲ εἰς τὸ μηδὲν ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους δὲ ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, φέρεσθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν. εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινὰ συστήματα, ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ στερρότητα. πάντα δὲ κατὰ ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας τῆς γενέσεως οὔσης πάντων, ἣν ἀνάγκην λέγει. διαιρεῖ δὲ τὰ ὄντα εἰς τὸ εἶναι ἢ ἐξ ἀνάγκης εἶναι, ὡς τὸν ἄνθρωπον ζῷον εἶναι. ὃ γὰρ παντί τε καὶ ἀεὶ ὑπάρχει, τοῦτο ἐξ ἀνάγκης ἐστίν· ὁμοίως ἀναγκαῖον καὶ τὸ τὸν θεὸν ἄφθαρτον εἶναι. τὰ δὲ ἐνδεχομένως, καὶ τούτων τῶν ἐνδεχομένων τὰ μὲν ὡς ἐπὶ τὸ πλεῖστον ὡς τὸ τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι καὶ γηράσκοντα πολιοῦσθαι, τὰ δὲ ἐπ' ἔλαττον, ὡς τὰ τούτοις ἀντικείμενα, τὸ τὸν ἄνθρωπον τετραδάκτυλον ἢ ἑξαδάκτυλον εἶναι. ἔστι γὰρ ἐν τούτοις οὕτως καὶ ταῦτα. ἢ τὸ μὴ πολιοῦσθαι γηρῶντα τὸν ἄνθρωπον ἢ μή, ἀποδημεῖν ἢ λούεσθαι ἢ μή.

α 1828 Ἀνάγκη· ἐν Ἐπιγράμμασι· ἴδ' ὡς ἐδίδαξεν ἀνάγκα πάνσοφος ἐξευρεῖν ἔκλυσιν ἀΐδεω. καὶ παροιμία· ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται. παρεγγυᾷ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι. ὅμοιον τῷ· ἂν μὴ παρῇ κρέα, ταρίχῳ στερκτέον.

α 1829 Ἀναγκαῖον τοῦ ἐκ περιουσίας διαφέρει· καὶ ζήτει ἐν τῷ ἐκ περιουσίας.

α 1830 Ἀνάγκης ἄτρακτον: τὸν ἄξονα λέγει.

α 1831 Ἄναγνος: μιαρός. ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν.

α 1832 Ἀναγνωσθείς: ἀναπεισθείς. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηβαῖος.

α 1833 Ἀνάγνωσις: ἀναγνώρισις ἢ ἀνάπεισις. Ἡρόδοτος. καὶ Ἀναγινώσκειν παρὰ ῥήτορσιν ἐπὶ τοῦ ἀναπείθειν. ἔστι γὰρ ἀναγινώσκειν τὸ γνῶναι διαλεχθέντα.

α 1834 Ἀνάγω: τὸ φέρω· αἰτιατικῇ.

α 1835 Ἀναγωγή: ὁ τῶν νηῶν ἔκπλους. καὶ γίνεται ἀναγωγὴ τῶν νηῶν οὐ κατὰ τὸ πλῆθος οὕτω τῆς ἐπιβαινούσης αὐτῷ στρατιᾶς ἢ κατὰ τῶν ὅπλων λαμπρότητα ἢ τὴν ἄλλην ὑπὲρ τὸ ἀναγκαῖον ἐς κάλλος παρασκευήν. καὶ αὖθις· οἱ δὲ κατασκεψάμενοι τὰ κατὰ τὴν Αἴγυπτον ἐπὶ Κύπρου κἀκεῖθεν ἐπὶ Συρίας τὴν ἀναγωγὴν ἐποιήσαντο.

α 1836 Ἀναγωγία. ὁ δὲ δι' ἀναγωγίαν ταῦτα ἔπασχε. τουτέστιν ἀπαιδευσίαν. ἔχων στρατὸν ὑπὸ μέθης καὶ ἀναγωγίας ἠμελημένον καὶ διεφθαρμένον.

α 1837 Ἀνάγωγος: ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς.

α 1838 Ἀναγωγότερον: ἁμαρτητικώτερον, ἀτακτότερον.

α 1839 Ἀναγώγῳ: φιληδόνῳ, ἐκλελυμένῳ.

α 1840 Ἀναγώνιστος: ὁ μὴ ἀγωνισάμενος. Ξενοφῶν.

α 1841 Ἀνάγραπτον: τὸ ἀναγεγραμμένον ἢ τὸ φανερῶς γεγραμμένον ἢ τὸ πᾶσιν ἐγνωσμένον. σφᾶς τε ὑπακούειν κελεύων Ἀβάροις καὶ ἐς φόρου ἀπαγωγὴν ἔσεσθαι ἀναγράπτους.

α 1842 Ἀναγυράσιος: δῆμός ἐστιν Ἀναγυροῦς τῆς Ἐρεχθηΐδος φυλῆς, ἧς ὁ δημότης Ἀναγυράσιος. καὶ Ἀναγυράσιος δαίμων. καὶ τέμενος Ἀναγύρου ἐν τῷ δήμῳ τῶν Ἀναγυρασίων. Ἀναγυράσιος δαίμων, ἐπεὶ τὸν παροικοῦντα πρεσβύτην καὶ ἐκτέμνοντα τὸ ἄλσος ἐτιμωρήσατο Ἀνάγυρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥρως. Ἀναγυράσιοι δὲ δῆμος τῆς Ἀττικῆς. τούτου δέ τις ἐξέκοψε τὸ ἄλσος. ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα.

α 1843 Ἀνάγυρος: δῆμος τῆς Ἀττικῆς. καὶ ἄνθος, ὃ τριβόμενον ὄζει. καὶ παροιμία ἐντεῦθεν, Κινεῖς τὸν ἀνάγυρον, ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ τὸ φυτὸν ὁ ἀνάγυρος ἀλεξίκακον καὶ δυσῶδες. οἱ δὲ ὀνόγυρον αὐτό φασιν.

α 1844 Ἀναγχιππεῖν: ἀντὶ τοῦ μετὰ ἀνάγκης ἱππεύειν. Εὔπολις.

α 1845 Ἀναδάσασθαι: ἀναμερίσασθαι.

α 1846 Ἀναδενδράδα: σταφυλῆς γένος. οἱ δὲ τὴν ἀμάμυξιν οὕτω καλεῖσθαι. εὕρηται δὲ καὶ παρὰ Ἐπιχάρμῳ καὶ Σαπφοῖ τὸ ὄνομα.

α 1847 Ἀναδέξασθαι: ἀναλαβεῖν, ἐκδέξασθαι. ὁ δὲ εἰς τὸ τέμενος κατεσκήνωσεν, βουλόμενος ἀναδέξασθαι τὰ μέλλοντα διακομίζειν αὐτὸν πορθμεῖα. καὶ Πολύβιος· τούς τε κατὰ πλοῦν ἀφυστεροῦντας ἐκ τῆς Μεσσήνης ἀναδεχόμενος. καὶ αὖθις· πρὶν ἀναδέξασθαι τοὺς ἐσκεδασμένους ἐν ταῖς προνομαῖς.

α 1848 Ἀναδέξασθαι: ὑπενεγκεῖν, ὑπομεῖναι. Πολύβιος· πᾶν γὰρ βουληθῆναι τὸν Φίλιππον ἀναδέξασθαι ἢ καταφανῆ γενέσθαι Ῥοδίοις τὴν ἐν τούτοις αὐτοῦ προαίρεσιν· ᾗ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς ὑποψίας. καὶ Ἀναδέχομαι, ἀντὶ τοῦ ἀναλαμβάνω. καὶ Ἀναδέχεσθαι τὴν παρουσίαν τῶν πολεμίων, ἀντὶ τοῦ προσδοκᾶν.

α 1849 Ἀναδέρω: ὑπερτίθεμαι, ἀναβάλλομαι.

α 1850 Ἀναδέσμην: ὅμοιόν τι διαδήματι· ἢ μίτραν κεφαλῆς.

α 1851 Ἀναδεύειν: φυρᾶν. καὶ Ἀναδεύσει, φυράσει, μαλάξει. Αἰλιανός· εἴπερ οὖν τὰ Ἐπικούρου βιβλία καταφλέξας, καὶ τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐκτεθηλυμμένων στιγμάτων τὴν σποδὸν ἀναδεύσει κηρῷ ὑγρῷ, καὶ ἐπιπλασάμενος τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις.

α 1852 Ἀναδέχομαι· αἰτιατικῇ.

α 1853 Ἀναδεῖ: ἀναπλέκει, στέφει. καὶ Ἀναδεῖσθαι, στεφανοῦσθαι. καὶ Ἀναδήσασθαι, στεφανώσασθαι. καὶ Ἀναδῆσαι, τὸ ταινιῶσαι νικῶντα. καὶ Ἀναδήσοντες, στέψοντες. ἀναδήσειν στεφάνῳ χρυσοῦ πεποιημένῳ. καὶ οἱ Σαμοθρᾷκες κηρύττουσι κήρυγμα, τὸν ζῶντα ἀγαγόντα αὐτὸν δύο τάλαντα ἔχειν.

α 1854 Ἀναδιδάξαι: ἀντὶ τοῦ πάνυ διδάξαι. ἐπιτατικὸν γάρ ἐστι νῦν ἡ ἀνά.

α 1855 Ἀναδιδοῦσαν: ἀντὶ τοῦ ἀναδιδομένην.

α 1856 Ἀνάδικα: τὰ ἤδη κριθέντα. ἀνάδικα τὰ δεδικασμένα ποιῶν, αἰσχροκερδείας ἡσσώμενος.

α 1857 Ἀναδικάσασθαι: τὸ ἄνωθεν δικάσασθαι. οὕτως Ἰσαῖος. ἐντεῦθεν καὶ τὸ ἀνάδικοι κινήσεις, αἱ ἄνωθεν δικαζόμεναι, ὅταν ἁλῶσιν οἱ μάρτυρες ψευδομαρτυριῶν.

α 1858 Ἀναδομή: ἀναδασμός.

α 1859 Ἀναδούμενος: στέφανον τιθέμενος. καὶ Ἀναδουμένην, στεφανουμένην. Προκόπιος· αἶσχος ἀναδουμένην οὕτω μέγα πρὸς πάντων ἀνθρώπων.

α 1860 Ἀναδούμενος· ὁ δὲ τρυφερὸς ἐκεῖνος καὶ ἁβρὸς καὶ ὑπὸ μαλακίας τοῦ σώματος κατεαγὼς καὶ λελυγισμένος καὶ τὰς κόμας ἀναδούμενος, ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέστεραι, καὶ μυροσταγὲς ἔχων ἀεὶ τὸ μέτωπον καὶ τοὺς βοστρύχους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1861 Ἀνάδοχον, οὐκ ἀναδοχέα λέγουσιν. Μένανδρος Χήρᾳ· πρὸς τὴν ἀδελφὴν ἀνάδοχον τῶν χρημάτων.

α 1862 Ἀναδρομαί: ἀναβάσεις. ἀναδρομὴ γίγνοιτο, κοὐ σφαλλόμεθα. δεῖ πρόχειρον ἔχειν ἀεὶ τὸν στίχον τοῦτον. τοῦτο μὴ ποιήσας Λεύκιος ὁ Ῥωμαῖος μεγάλως ἐσφάλη. οὕτω παρ’ ὀλίγον σφάλλεται τὰ μέγιστα τῶν πραγμάτων ἀγομένων ἀκρισίᾳ. ἱκανὰ τῶν τοιούτων ὑποδείγματα τοῖς εὖ φρονοῦσιν ἥ τε Πύρρου τοῦ τῶν Ἠπειρωτῶν βασιλέως βία καὶ πάροδος εἰς Ἄργος ἥ τε Λυσιμάχου στρατιὰ διὰ τῆς Θρᾴκης ἐπὶ Δρομιχαίτην τὸν βασιλέα τῶν Ὀδρυσσῶν· καὶ πολλὰ δὴ τούτοις ἕτερα παραπλήσια.

α 1863 Ἀναδῦναι: ἀναχωρῆσαι.

α 1864 Ἀναδύντος.

α 1865 Ἀναδυόμενος: φεύγων, ἀναβαλλόμενος. καὶ Ἀναδύομαι, μεταβουλεύομαι.

α 1866 Ἀνάζαρβον· ὅτι Νέρβας βασιλεὺς Ῥωμαίων κατενεχθείσης ὑπὸ σεισμοῦ Διοκαισαρείας, τῆς ἐν Κιλικίᾳ κειμένης, ἔπεμψε συγκλητικὸν, ὀνόματι Ἀνάζαρβον, ὃς ἀνοικοδομήσας αὐτὴν, πάλαι λεγομένην Κύϊνδαν, εἶτα Διοκαισάρειαν, ἐκ τοῦ ἰδίου ὀνόματος ἐκάλεσεν Ἀνάζαρβον.

α 1867 Ἀναζωπυρῆσαι: ἀνανεῶσαι, ἀνεγεῖραι, ζωῶσαι.

α 1868 Ἀναζυγαῖς: ἀναστροφαῖς, στρατοπεδείαις. Πολύβιος· ὁ δὲ Φίλιππος οὐδενὶ κόσμῳ ποιησάμενος τὴν ἀναζυγὴν καὶ τὸν ἀνάπλουν δευτεραῖος εἰς Κεφαλληνίαν κατῆρεν. οἱ δὲ Ῥωμαῖοι τῶν γεγονότων οὐδὲν ὅλως εἰδότες περὶ ἀναζυγὴν ἐγίνοντο.

α 1869 Ἀνάθεμα: καὶ τὸ ἀνατιθέμενον τῷ θεῷ καὶ τὸ εἰς ἀφανισμὸν ἐσόμενον· τὰ ἀμφότερα σημαίνει. λέγεται δὲ καὶ Ἀνάθημα τὸ τῷ θεῷ ἀνατεθειμένον. καὶ Ἀναθεματίζω· αἰτιατικῇ.

α 1870 Ἀναθέντας: ἀντὶ τοῦ ἐπιθέντας. Ξενοφῶν.

α 1871 Ἀναθεώρησις. μεγάλης δὲ οὔσης κατὰ τὴν νομοθεσίαν ἀναθεωρήσεως, μισοπόνηρος φαίνεται ὁ ἀνὴρ, διὰ τὸ πάντων τῶν νομοθετῶν πικρότατα πρόστιμα θεῖναι.

α 1872 Ἀναθέσθαι· Ἀντιφῶν ἐν τῷ περὶ προνοίας φησίν· ἀναθέσθαι ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν. ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐν τῷ προτέρῳ βίῳ.

α 1873 Ἀναθέσθαι: τὸ μεταθέσθαι. ἀπὸ τῶν πεττευόντων καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούντων. οὔτε δὲ τὸ ὑπερθέσθαι σημαίνει ἡ λέξις οὔτε τὸ ἀνακοινώσασθαι, ἀλλὰ τὸ μεταβουλεύσασθαι καὶ μεταγνῶναι. πολύ ἐστι παρὰ Πλάτωνι τῷ φιλοσόφῳ. Μένανδρος Ἀφροδισίῳ· ἐκφυγοῦσα δ’ ἣν εἶχεν νόσον, οὐκ ἔσχε τοὺς ῥηθέντας ἀναθέσθαι λόγους.

α 1874 Ἀνάθεσις: ἡ ὑπέρθεσις. τὰ χρήματα δώσειν ὑπέσχοντο τριῶν ἡμερῶν αἰτήσαντες ἀνάθεσιν.

α 1875 Ἀναθεῖναι: καὶ ἐπαναθεῖναι τὸ αὐτό. Ἀραρὼς Ὑμεναίῳ· ὅπως τε τὴν νύμφην ἐὰν καιρὸς ᾖ μετέωρον ἐπὶ τὸ ζεῦγος ἀναθήσει συμφέρειν. ὅτι τὸ ἀραρῶς ἐπίρρημα ἀντὶ τοῦ πρεπόντως, ἀραρὼς δὲ ἁρμόσας.

α 1876 Ἀναθείς: ἐπιτρέψας. ἐπὶ ἀψύχων τάττεται τὸ ἀναθείς. Ἀριστοφάνης δὲ ἐν Πλούτῳ ἐπὶ ἐμψύχων ἐχρήσατο αὐτῷ. ἀπολῶ τὸν ἄνθρωπον ἐπὶ κρημνόν τιν’ ἀναθείς.

α 1877 Ἀναθηλήσει: ἀναβλαστήσει.

α 1878 Ἀνάθημα: πᾶν τὸ ἀφιερωμένον θεῷ. αἰτοῦντος τῷ Πέλοπι ἀνάθημα τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια, ἔχρησεν· ὃ βούλομαι δός· μὴ δίδου δ’ ὃ μὴ θέλω. λέγεται δὲ καὶ Ἀνάθεμα.

α 1879 Ἀναθολώσει: ἀναταράξει. Πλάτων Νόμων ἑβδόμῳ· ὅπως ἀναθολώσῃ. κυρίως δὲ ἐπὶ τῆς σηπίας, ἐπεὶ τὸ μέλαν αὐτῆς θολὸς καλεῖται.

α 1880 Ἀναθορόντος: ἀναπηδῶντος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 1881 Ἀναθρούμενα: ἀνασκοπούμενα.

α 1882 Ἀναθρώσκει: ἀναπηδᾷ.

α 1883 Ἀναθύειν: τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης· πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι.

α 1884 Ἀνακαγχάσας· καὶ οὐχὶ ἀνακαχάσας.

α 1885 Ἀνακάθαρσις: ἐπίλυσις, διευκρίνησις. καὶ Ἀνακαθαίρω· αἰτιατικῇ.

α 1886 Ἀνακαθιζήσομαι καὶ Ἀνακαθίσω.

α 1887 Ἀνακαλούμενος. αἰτιατικῇ. ἀνακτώμενος, πρὸς τὴν προτέραν διάθεσιν ἐπανάγων. ὁ δὲ ἐσπούδαζεν ἀνακαλεῖσθαι τὰς τῶν ὑποτεταγμένων εὐνοίας καὶ προθυμίας ἐκ τοῦ γεγονότος ἐλαττώματος.

α 1888 Ἀνακαλυπτήρια: δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων φίλων, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ἀνδράσιν ὁραθῆναι. ἔστι δὲ ταῦτα καὶ ἐπαύλαια.

α 1889 Ἀνακάψαι: καταφαγεῖν.

α 1890 Ἀνακαίασιν: δῆμος φυλῆς Ἱπποθοωντίδος ἡ Ἀνάκαια.

α 1891 Ἀνακαίνισις: ἡ ἀνανέωσις. λέγεται καὶ Ἀνακαίνωσις. καὶ Ἀνακαινιῶ· αἰτιατικῇ.

α 1892 Ἀνάκαιον: τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους καὶ τῶν ἀπελευθέρων τοὺς ἀφισταμένους. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης· Ἑρμοκράτη δὲ εἰς τὸ ἀνάκαιον ἐνέβαλε, φάσκων ἀπελεύθερον εἶναι καὶ οὐ πρότερον ἀφῆκε πρὶν λʹ δραχμὰς ἐπράξατο.

α 1893 Ἀνακεκώφηκας: ἀνεπλήρωσας βοῆς τὰς ἀκοὰς ἡμῶν κωφὰς εἰργάσω. Ἀριστοφάνης.

α 1894 Ἀνακεφαλαιοῦται: ἀναπληροῦται, ἀνακτίζει. καὶ Ἀνακεφαλαίωσις, ἡ ἐξ ἀρχῆς ἔρευνα.

α 1895 Ἀνακεχωρηκότων· ὁ δὲ ἐκτήσατο βιβλίων μυριάδας τρεῖς καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων. ἀντὶ τοῦ ἀποκρύφων. λέγει δὲ περὶ Ἐπαφροδίτου τοῦ Χαιρωνέως.

α 1896 Ἀνακεχυμένη: ἀνειμένη, κεχαυνωμένη. ἀνετή.

α 1897 Ἀνάκειον: ὄρος. ἢ τὸ τῶν Διοσκούρων ἱερόν.

α 1898 Ἀνακεῖσθαι: ἐπὶ ἀνδριάντων. κατακεῖσθαι δὲ καὶ κατακεκλίσθαι ἐπὶ τραπέζης. καὶ Ἀνακεῖσθαι πολλάκις ἀντὶ τοῦ κατακεῖσθαι.

α 1899 Ἀνάκειται σκώμμασιν, ἀνάκειται λοιδορίαις, ἀνάκειται πόρνοις, κύβοις, συμποσίοις: σημαίνει δὲ τὸ οἷον πρόσκειται ἰσχυρῶς.

α 1900 Ἀνακηκεῖ: ἀναπηδᾷ. καὶ Ἀνακηκίει.

α 1901 Ἀνακηρύττω· αἰτιατικῇ.

α 1902 Ἀνάκλησις: ἡ προσφώνησις. Ἀνάκλισις δὲ διὰ τοῦ ι ἡ ἀνάπαυσις.

α 1903 Ἀνακλητικόν: μέλος σάλπιγγος ἀνακαλούσης τοὺς ῥαθύμους εἰς πόλεμον. καὶ Μάρκος Ἀντωνῖνός φησιν· ἔσο ἀναμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος.

α 1904 Ἀνακλῖναι: ἀνοῖξαι. Ὅμηρος. οὕτως καὶ Ἡρόδοτος. οἱ δὲ ἀνακλῖναι μὲν τὴν θύραν οὐκ ἐτόλμησαν, οὐδ᾽ εἴσω παρελθεῖν ἰσχύσαι.

α 1905 Ἀνακλώμενον: τὸ ἀπηχούμενον. ὡς ἐπὶ τοῦ κυροῦ Ῥωμανοῦ τοῦ μελῳδοῦ. σὺ γὰρ ὑπάρχεις τὸ φῶς τὸ ἀπρόσιτον.

α 1906 Ἀνακνῶνται: κνήθονται κατὰ ἰατρούς.

α 1907 Ἀνακογχυλιάσαι: ἀναγαργαρίσασθαι.

α 1908

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνακομιδή: ἀναγωγὴ, ἐπάνοδος. ἀναφορά.

α 1909 Ἀνακομῶ: τὸ ἀναφύω.

α 1910 Ἀνακόπτω· αἰτιατικῇ.

α 1911 Ἀνακῶς παρὰ Ἡροδότῳ ἀντὶ τοῦ ἐπιμελῶς, φυλακτικῶς ἢ βασιλικῶς. καὶ Ἀνακῶς ἔχειν, φροντίζειν. προειρημένον τούτοις, ὅπως ἀνακῶς ἕξωσιν, εἴ τι ἐκ τῶν πολεμίων κατὰ τὸ ἀφανέστατον πειράζοιτο.

α 1912 Ἀνακωχεύει: παρὰ Σοφοκλεῖ τὸ ἀνασειράζει. καὶ Ἀνακωχεύειν, τὸ ἐν πελάγει χειμῶνος ὄντος στήσαντας τὰ ὀθόνια σαλεύειν. ἀνακωχεύειν δὲ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν πελάγει στείλαντες τὰ ἄρμενα σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν, ὅτι οὐ δherιμιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα καὶ ἠρέμα ἤλαυνεν.

α 1913 Ἀνακωχή: ἀνάπαυσις. ἢ εἰρήνη πρόσκαιρος, πόλεμον ὠδίνουσα.

α 1914 Ἀνακωχῆς: ἀναπαύσεως, ἐνδόσεως, τῆς πρὸς μικρὸν ἐν πολέμῳ εἰρήνης. ἀνακωχὴ δὲ εἴρηται παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν.

α 1915 Ἀνὰ κράτος: ἐπίρρημα. μετὰ πάσης σπουδῆς. οἱ δὲ ἔφευγον ἀνὰ κράτος.

α 1916 Ἀνακρέων, Τήϊος, λυρικὸς, Σκυθίνου υἱός, οἱ δὲ Εὐμήλου, οἱ δὲ Παρθενίου, οἱ δὲ Ἀριστοκρίτου ἐδόξασαν. ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ. γέγονε κατὰ Πολυκράτην τὸν Σάμου τύραννον Ὀλυμπιάδι νβ′· οἱ δὲ ἐπὶ Κύρου καὶ Καμβύσου τάττουσιν αὐτὸν κατὰ τὴν νε′ Ὀλυμπιάδα. ἐκπεσὼν δὲ Τέω διὰ τὴν Ἱστιαίου ἐπανάστασιν ᾤκησεν Ἄβδηρα ἐν Θρᾴκῃ. βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναικῶν καὶ ᾠδάς. καὶ συνέγραψε παροίνιά τε μέλη καὶ ἰάμβους καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

α 1917 Ἀνάκρισις: ἐξέτασις ὑφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν, περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα. ἐξετάζουσι δὲ καὶ εἰ ὅλως εἰσάγειν χρὴ ταύτας.

α 1918 Ἀνακρίνω· αἰτιατικῇ.

α 1919 Ἀνακροτῆσαι: ἐπαινέσαι, ὑμνῆσαι. ὁ δὲ Πτολεμαῖος πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν.

α 1920 Ἀνακρουόμεθα: οἷον ἀναπροοιμιαζόμεθα.

α 1921 Ἀνακρούσασθαι: ἐπὶ ναυμαχίας τὸ συμβάλλειν καὶ πάλιν ἀναδύεσθαι.

α 1922 Ἀνακτᾶσθαι· αἰτιατικῇ. Θουκυδίδης ἀντὶ τοῦ θεραπεύειν. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ τὸ προαπολωλὸς αὖθις κτήσασθαι καὶ ἀπολαβεῖν.

α 1923 Ἄνακτες: οἱ θεοί. καὶ Ἀνάκτορα, τὰ ἱερά.

α 1924 Ἄνακτες καὶ Ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ φησί· καλοῦνται δὲ οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βασιλέως ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι. καὶ Ἀνάκτορα, τὰ ἱερά. καὶ Ἀνακτορίαν, δεσποτείαν. καὶ Ἀνακτόριον, ἱερόν. καὶ Ἀνακτόρων, ἱερατειῶν.

α 1925 Ἀνακοινώσασθαι καὶ Ἀνακοινῶσαι: ἄμφω λέγουσι. Ξενοφῶν δὲ καὶ ἀνεξυνοῦτο εἴρηκεν ἐν ταῖς Ἑλληνικαῖς.

α 1926 Ἀνακύπτω· γενικῇ.

α 1927 Ἀνακυνδάραξος· βασιλεὺς Νίνου Περσικῆς χώρας.

α 1928 Ἀνακυκλήϊον: τὸν ὀρθόν.

α 1929 Ἀναλαβεῖν: ἐνθυμηθῆναι. μὴ δ' εἰς ἐσχάτην ἀναλαβεῖν ἐλπίδα, μήποτε διὰ ταύτης πολέμιος ἐπ' αὐτοὺς ἀναβῇ στρατός.

α 1930

Ἀναλαμβάνειν· αἰτιατικῇ. ἐπὶ τοῦ ἀνέχειν. ὅτι ἔμελλε τοῖς φιλοσόφοις καὶ τοῦ κοσμίως ἀναλαμβάνειν τὴν ἐσθῆτα καὶ τοὺς μὴ τοῦτο ποιοῦντας ἔσκωπτον. Πλάτων ἐν Θεαιτήτῳ· πάντα δυναμένους ὀξέως τε καὶ τορῶς διακονεῖν, ἀναλαβέσθαι δ' οὐκ ἐπισταμένους ἐπιδεξιελευθέρως οὐδὲ ἁρμονίαν λόγων λαβόντας ὑπαντῆσαι θεῶν. Ἄλεξις δέ φησι περὶ ἐσθῆτος οὕτως· ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς, ἐξὸν καλῶς· οὗ μήτε πράττεται τέλος, μηδὲν γὰρ ἡμᾶς, μήτε δι' ἑτέρων λαβεῖν τιμὴν δόντας, φέρει δὲ τοῖς μὲν χρωμένοις δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν, κόσμον δὲ τῷ βίῳ. τὸ τοιοῦτον γέρας τίς οὐκ ἂν αὐτὸ κτῷτο φάσκων νοῦν ἔχειν. Ἀναλαμβάνειν, ἀντὶ τοῦ ἀνακτᾶσθαι. Ἀππιανός· τότε δὲ ἔθει τις δρόμῳ δηλώσων τῷ Πέρσῃ λουομένῳ καὶ τὸ σῶμα ἀναλαμβάνοντι. ὁ δὲ ἐξήλατο τοῦ ὕδατος, βοῶν ὅτι ἑαλώκοι πρὸ τῆς μάχης.

α 1931 Ἀναλγήσιον.

α 1932 Ἀναλγησία: ἀναισθησία.

α 1933 Ἀνάλγητος. καὶ δυσανάλγητος παρὰ Σοφοκλεῖ· τουτέστι δυσμετάκλητος, ἀναλγὴς, ἀπαθὴς, ἀνηλεὴς, σκληρός. δυσανάλγητος γὰρ εἴην τοιάνδε μὴ κατοικτείρων ἕδραν. καὶ Ἀναλγήτως, ἀναισθήτως, ἀπόνως. καὶ Ἀναλγήτων, ἀσυμπαθῶν· ἢ τῶν μηδ' ὅλως ἀλγούντων ἐπί τινι ἢ πολυαλγήτων, τῶν εἰς πολλαχῇ ἡμᾶς ἐκβεβληκότων. Σοφοκλῆς· ὤ μοι ἀναλγήτων δισσῶν ἐθρόησας ἄναυδον ἔργον Ἀτρειδῶν τῷδ' ἄχει. τουτέστι τῇ παρούσῃ συμφορᾷ.

α 1934 Ἀναλέγεται· αἰτιατικῇ. ἀναμφιβόλως ἔχει, ἐννοεῖται. εἰ μέν τις ἀναλέγεται τοῦτο, ὅτι κρατήσομεν ἐξ ἐφόδου τῶν πολεμίων.

α 1935 Ἀναλεξάμενος: ἀναγνοὺς, νοήσας. ὁ δὲ ἀναλεξάμενος τὴν ἐπιστολήν. καὶ Ἀναλεξαμένων, ἑαυτοὺς συναγαγόντων. μόλις δὲ τῶν Καρχηδονίων ἀπὸ τῆς καταπλήξεως ἀναλεξαμένων, μόνος ὁ Βλάνων καλούμενος οἰκείαν τῆς περιστάσεως φωνὴν προέμενος εἶπε. καὶ αὖθις· καὶ τὸ τοῦ Ἀλεξάνδρου μνημεῖον συνέκλεισεν, ἵνα μηδεὶς ἔτι μήτε τὸ τούτου σῶμα ἴδῃ μήτε τὰ ἐν ἐκείνοις γεγραμμένα ἀναλέξηται.

α 1936 Ἀνάλημμα: ὕψωμα, στήριγμα. κατανοήσας τὸ βάρος τῶν ἀναλημμάτων καὶ ὡς ἀδύνατόν ἐστι σαλεῦσαι τὰ τείχη, ἐκ χειρὸς τὴν μάχην ἐποίησεν.

α 1937 Ἀναλήψεσθαι· αἰτιατικῇ. ἀνακτήσασθαι. ὁ δὲ ἔλεγεν, ἀναλήψεσθαι τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον ἀρεταῖς.

α 1938 Ἀνάληψις: ἀνάρρωσις. σπουδὴν ἐποιεῖτο ὑπὲρ ἀναλήψεως καὶ θεραπείας τῶν ἀνδρῶν, οὐχ ἧττον δὲ καὶ τῶν ἵππων.

α 1939 Ἀναλιβόζωρα: ὄνομα τόπου.

α 1940 Ἀναλίσκειν. αἰτιατικῇ. καὶ Ἀναλοῦν, ἑκατέρως. Ἀριστοφάνης Πλούτῳ· χαίρω τε γὰρ φειδόμενος, ὡς οὐδεὶς ἄλλος πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ. Δαιταλεῦσιν· εἰς τὰς τριήρεις δεῖ μ' ἀναλοῦν ταῦτα καὶ τὰ τείχη. ἐν δὲ τῷ παρεληλυθότι καὶ διὰ τοῦ η ἀδιαφόρως, οἷον ἀνήλισκον καὶ ἀνάλισκον. καὶ αὖθις· εἰς οἷα ἀνάλουν οἱ πρὸ τοῦ τὰ χρήματα.

α 1941 Ἄναλκις: ἀδύνατος, ἀσθενής. οὐ γὰρ μόνον ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει, ὡς λέγει Πίνδαρος· ἀλλὰ καὶ ὁ μέγας ἀνὴρ οὐδένα μικρὸν ἀγῶνα προσίεται. ἀλλ' ὅπου φυγάδες ἄλλοι δι' ἀνανδρίαν ἀποδιδράσκουσιν, ἐνταῦθα καταβαίνει παραβαλλόμενος. καὶ αὖθις ἡ τραγῳδία φησὶ περὶ Αἰγίσθου· ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη, ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος. συνεργούσης γὰρ τῆς Κλυταιμνήστρας ἀνεῖλε τὸν Ἀγαμέμνονα.

α 1942 Ἀναλογεῖον: ἐν ᾧ τίθενται τὰ βιβλία.

α 1943 Ἀνάλογον: ἀναλόγου ὁρισμός ἐστιν οὗτος· ἀνάλογον ἔχει μεγέθη πρὸς ἄλληλα, ὧν ἡ αὐτὴ ἀνθυφαίρεσις. ὁ δὲ Ἀριστοτέλης τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκε. τὰ δ' ἀνάλογον

ἔχοντα πρὸς ἄλληλα καὶ ὁμοίως ἔχειν πρὸς ἄλληλα λέγεται. Ἀνάλογον δὲ ἀντὶ τοῦ ὁμοίως. καὶ αὖθις· οἱ δὲ στρατιῶται γενναῖοι ὀφθῆναι, καὶ τῷ ἴσῳ ἀξιώματι ἀναλογοῦντες. καὶ Ἀναλόγως, ἴσως. καὶ Ἀναλογώτερον, τὸ ὑψηλότερον, τὸ σοφώτερον, τὸ ἀναλογικώτερον.

α 1944 Ἀναλογῶ· ἐπὶ τοῦ ἁρμόζω δοτικῇ. οἰκοδόμοι μεγέθη δωμάτων ἐφ’ ὕψους αἴροντες, τῷ ὕψει τοὺς θεμελίους ἀναλογοῦντας ὑποβάλλουσι. καὶ ἐπὶ τοῦ ἀπεικάζω καὶ ὁμοιῶ. ὃ αὐλαίαν εἶχεν ἀναλογοῦσαν σκηνῇ οὐρανίῳ.

α 1945 Ἀναλώθησαν· αἰτιατικῇ. ἠφανίσθησαν. οὐδὲ γὰρ ἀναλώθησαν ἄλλως αἱ εὐχαί. θηρίον γάρ τι αὐτοῖς πομπῇ κρείττονι ἐντυγχάνει. καὶ Ἀνάλωσα καὶ Προανάλωσα.

α 1946 Ἀναλοῦντες: ἀντὶ τοῦ ἀναιροῦντες. Θουκυδίδης· καὶ Ἀναλῶν καὶ Ἀναλοῦν, τὸ ἀναιρεῖν.

α 1947 Ἄναλτον: Ὅμηρος καὶ Κρατῖνος ἀντὶ τοῦ ἀπλήρωτον, Δείναρχος δὲ ἀντὶ τοῦ χωρὶς ἁλῶν.

α 1948 Ἀναλλοίωτος: ὁ ἀεὶ αὐτὸς ὢν καὶ μὴ δεχόμενος ἀλλοίωσιν.

α 1949 Ἀναλλύζουσα: στενάζουσα, λυγκαίνουσα. ἔστι δέ τι πάθος γινόμενον τοῖς μετὰ συμπαθείας πολλῆς κλαίουσιν.

α 1950 Ἀναλυθῆναι: τὸ καθαρμῷ τινι χρήσασθαι φαρμάκων. Μένανδρος Ἥρῳ· ἐπεφαρμάκευσο γλυκύτατ’ ἀναλυθεὶς μόλις.

α 1951 Ἀνάλυσις: ἐξάπλωσις. ὅρος γάρ ἐστι λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος τοῦ ὁριστικοῦ καὶ κεφαλαιωδῶς. ἀνάλυσις, ἡ ἐπὶ σχήματος ἐπὶ σχῆμα τῶν τρόπων ἀνακύκλησις. ἀναλύειν γὰρ λέγεται τὸ τοὺς συνθέτους συλλογισμοὺς ἀνάγειν εἰς τοὺς ἁπλοῦς καὶ εἰς τὰς προτάσεις, ἐξ ὧν αὐτοῖς τὸ εἶναι. κατὰ γοῦν τὸ σημαινόμενον τῆς ἀναλύσεως Ἀναλυτικὰ γέγραπται τὰ Ἀριστοτέλους.

α 1952 Ἀναλφάβητος· ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον, ἀναλφάβητος. περὶ Ἰουστίνου βασίλεως.

α 1953 Ἀνάλφιτον· Φιλύλλιος Αἰγεῖ.

α 1954 Ἀναμάθω: ἐξ ἀρχῆς μάθω.

α 1955 Ἀναμαλάττεσθαι: ἀναφυρᾶν. καὶ Ἀναμάττεσθαι ὁμοίως.

α 1956 Ἄναμμα· τρέφεσθαι δὲ τὰ ἔμπυρα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, νωθρὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον οὖσαν.

α 1957 Ἀναμασώμενοι: ἀντὶ τοῦ ἀνερευνῶντες. μόλις τὸ πραγμ’ ἔγνωσαν ἀναμασώμενοι. οἱ κριταί. Ἀριστοφάνης. καὶ Ἀναματτώμεναι, ἀναμασώμεναι.

α 1958 Ἀναμαχούμενον: ἐκ δευτέρου μαχεσάμενον. ὁ δὲ ἐκέλευσεν αὐτὸν αὖθις ἥκειν ἀναμαχούμενον τὴν πρώτην ἧσσαν.

α 1959 Ἀναμέλποντες: ἀνυμνοῦντες.

α 1960 Ἀνὰ μέσον.

α 1961 Ἀναμετρήσαιμι· αἰτιατικῇ. διεκπεράσαιμι. μήποτε ἐς Ῥήγιον ἐκπλεῖν μήτε τὴν πολλὴν θάλασσαν ἀναμετρεῖν.

α 1962 Ἀναμείνω· αἰτιατικῇ.

α 1963 Ἀναμηρύσασθαι: ἀνατεῖναι.

α 1964 Ἀναμίλλητον: ἀφιλόνεικον.

α 1965 Ἀναμίξ: ἀναμίγδην, ἀναμεμιγμένως.

α 1966 Ἀναμνήσκω· γενικῇ· καὶ ἀναμνήσθητι· γενικῇ.

α 1967 Ἀνάμνησις· ἀνάμνησίς ἐστι φαντάσματος εὕρεσις. ἀρξαμένη δὲ ἀπὸ τῆς ψυχῆς διαβαίνει ἐπὶ τὸ ἐζωωμένον σῶμα. ἀναμνησθέντες γὰρ φοβεροῦ τινος ἡμῖν γενομένου ὠχριάσαμεν, καὶ τοῦ πλοῦ ἀναμνησθέντες ἐναυτιάσαμεν. πῶς δὲ λέγομεν ἀπὸ τῆς ψυχῆς ἄρξασθαι τὴν κίνησιν ἐπὶ τῆς ἀναμνήσεως; ἢ οὐχ ὡς ἐκείνης αὐτῆς ἀναμνησκομένης, ἀλλ' ὥσπερ ἐπὶ τῶν αἰσθήσεων λέγομεν· ἀρξαμένη γὰρ ἡ κίνησις ἐκ τῶν αἰσθητῶν διέβη μέχρις ἐκείνου, ἐν ᾧ ἡ κριτικὴ καὶ αἰσθητικὴ δύναμις· τοῦτο δέ ἐστι τὸ πνεῦμα· οὕτως δὲ ἐπὶ τῆς ἀναμνήσεως λέγομεν, ὅτι ἀπὸ τοῦ πνεύματος, ἐν ᾧ ἡ ψυχὴ, καὶ ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γέγονεν ἀνάπαλιν ἢ ἐπὶ τῆς αἰσθήσεως· εἰς ὃ γὰρ τελευτᾷ ἡ αἴσθησις, ἐκεῖθεν ἡ ἀρχὴ τῆς ἀναμνήσεως. ἡ γὰρ ἀνάμνησις, φαντάσματός ἐστιν εὕρεσις, ὁπότε ἐγένετο ἐν τῷ πνεύματι. ἐν τούτῳ γὰρ γίνεται τὰ φαντάσματα, ἐν ᾧ καὶ ἡ αἰσθητικὴ ψυχὴ ἵδρυται. ἀπὸ τούτων οὖν τῶν ἐν τῷ πνεύματι, ἐν ᾧ ἐστιν ἡ ψυχὴ, ἐγκαταλειμμάτων, ἅπερ φαντάσματα καλοῦμεν ἐγκαταλείμματα ἐκ τῶν κατὰ τὰς αἰσθήσεις ἀντιλήψεων ἔσχεν· ἀπὸ τούτων ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γίνεται. ἐπιβάλλουσα οὖν πάλιν τῷ φαντάσματι, ὃ πρὶν ἔσχε, τουτέστι τῷ ἐγγενομένῳ πρότερον ἐν τῷ πνεύματι τόπῳ, ἀναμιμνήσκεται καὶ δι' οὗ αἰσθητηρίου ᾔσθετο αὐτό. καὶ οὕτως συνδιατίθεται τῷ αἰσθητηρίῳ τὸ σῶμα.

α 1968 Ἀναμοχλευόντων: ἀνορυττόντων, ἀνακινούντων. βιαζομένων δὲ αὐτῶν, καὶ τὰς θύρας ἀναμοχλευόντων, δράκοντες ἄρα μέγιστοι τὸ μέγεθος ἀνέστελλον αὐτούς.

α 1969 Ἀναμύειν: ἀναβλέπειν.

α 1970 Ἀναμφήριστον: ἀναμφίβολον. καὶ Ἀναμφήριστος, ὁ ἀναμφισβήτητος.

α 1971 Ἂν ἀμφοῖν· ζήτει εἰς τὸ τέλος τοῦ βίου τοῦ ὁσίου Εὐθυμίου ἐν τῇ μεταφράσει.

α 1972 Ἀνανέμειν: ἶσον τῷ ἀναγινώσκειν. Ἐπίχαρμος. Ἡρόδοτος δὲ ἀνανέμεσθαι ἐπὶ τοῦ καταλέγειν τέθεικεν.

α 1973 Ἀνανεοῦσθαι: ὡς ἡμεῖς Θουκυδίδης ε' καὶ Πλούτοις Κρατῖνος.

α 1974 Ἀνανεωσάμενος: ἀνακαινίσας καὶ ἀνεγείρας. ἢ ἀναμνησθεὶς, εἰς ἔννοιαν ἐλθών. ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος.

α 1975 Ἄνανος: ὄνομα κύριον. ἀποκλείσας τοὺς ζηλωτὰς εἰς τὸ ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας παρεκάθητο.

α 1976 Ἄναντα: ἀνωφερῆ, δυσχερῆ.

α 1977 Ἀνανταγώνιστος: ἀκαταμάχητος. ἀνανταγώνιστος ἦν ἡ Ῥωμαίων ὁρμὴ καὶ δυσάντητος τοῖς ἐντυγχάνουσιν.

α 1978 Ἄναντες: ἀνωφερές. ὅτι ταὐτόν ἐστιν ἄναντες καὶ πρόσαντες. καὶ εἴ τι μὲν ἄναντες, τοῦτο καὶ πρόσαντες, οὐκέτι δὲ τὸ ἀνάπαλιν. τὸ γὰρ πρόσαντες ἀπότομον καὶ μὴ παρεῖκον, μηδὲ ἀποδεχόμενον τὸν ἀναβῆναι βουλόμενον. τῷ δὲ ἀνάντει καὶ προσάντει ἐναντίον τὸ κάταντες. καὶ τὰ μὲν ἡδέα καὶ τερπνὰ λέγομεν ῥᾷστα καὶ ῥάω, τὰ δὲ λυπηρὰ προσάντη καὶ ἀνάντη καὶ δυσχερῆ. καὶ Ἀνάντης, ἡ δύσβατος ὁδός. καὶ κλίνεται εἰς ους.

α 1979 Ἀναντίρρητον: τὸ ἀντιλογίαν μὴ ἐπιδεχόμενον.

α 1980 Ἄναξ: θηλυκῶς. οὕτως Αἰσχύλος.

α 1981 Ἀναξαγόρας, σοφιστὴς, Ἡγησιβούλου υἱὸς, Κλαζομένιος. Νοῦς δὲ ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν πάντων φρουρὸν εἶπεν. οὗτός ἐστιν ὁ τὸν ἥλιον εἰπὼν μύδρον διάπυρον. τουτέστι πύρινον λίθον. ἔφυγε δὲ ἐξ Ἀθηνῶν, Περικλέους αὐτῷ συνειπόντος, καὶ ἐλθὼν ἐν Λαμψάκῳ ἐκεῖσε καταστρέφει τὸν βίον ἀποκαρτερήσας. ἐξήγαγε δὲ τοῦ ζῆν ἑαυτὸν ἐτῶν ο', διότι ὑπ' Ἀθηναίων ἐνεβλήθη ἐν δεσμωτηρίῳ, οἷά τινα καινὴν δόξαν τοῦ θεοῦ παρεισφέρων. ὅτι Ἀναξαγόρας Ὀλυμπίασιν, ὁπότε ἥκιστα ὕοι, προελθὼν ὑπὸ κῳδίῳ ἐς τὸ στάδιον ἐπὶ προρρήσει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄμβρου λέγεται τοῦτο πεπραχέναι. καὶ ἄλλα δὲ πλεῖστα προλέγων. οὗτος, Κλαζομένιος ὤν, ἀγέλαις τε καὶ καμήλοις τὰ ἑαυτοῦ ἀνῆκε. περὶ τούτου ἔφη Ἀπολλώνιος ὁ Τυανεὺς προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον, οὔτε ἀνθρώποις.

α 1982 Ἀναξανδρίδης, Ἀναξάνδρου, Ῥόδιος ἐκ Καμείρου, γεγονὼς ἐν τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος, Ὀλυμπιάδι ρα′· κατὰ δέ τινας Κολοφώνιος. ἔγραψε δὲ δράματα ξε′, ἐνίκησε δὲ ι′. καὶ πρῶτος οὗτος ἔρωτας καὶ παρθένων φθορὰς εἰσήγαγεν.

α 1983 Ἀναξία: ἀξίαν οὐκ ἔχουσα, ἀλλ’ ἄτιμος. ἀλλ’ ἅπερ ἥτις ἔποικος ἀναξία οἰκονομῶ θαλάμους πατρός. ἔποικος ἀντὶ τοῦ μέτοικος, οἰκονομῶ δὲ ἀντὶ τοῦ διαιτῶμαι. καὶ Ἀναξιοπαθοῦντες, ἀντὶ τοῦ οὐκ ἄξιον ἡγούμενοι.

α 1984 Ἀναξίβιος, Λακεδαιμονίων στρατηγός.

α 1985 Ἀναξίλας, κωμικὸς ποιητής.

α 1986 Ἀναξίμανδρος, Πραξιάδου, Μιλήσιος, φιλόσοφος, συγγενὴς καὶ μαθητὴς καὶ διάδοχος Θάλητος. πρῶτος δὲ ἰσημερίαν εὗρε καὶ τροπὰς καὶ ὡρολογεῖα καὶ τὴν γῆν ἐν μεσαιτάτῳ κεῖσθαι. γνώμονά τε εἰσήγαγε καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν. ἔγραψε Περὶ φύσεως, Γῆς περίοδον, καὶ Περὶ τῶν ἀπλανῶν καὶ Σφαῖραν καὶ ἄλλα τινά.

α 1987 Ἀναξίμανδρος, Ἀναξιμάνδρου, Μιλήσιος, ὁ νεώτερος, ἱστορικός. γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος. ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν· οἷόν ἐστι τὸ ζυγὸν μὴ ὑπερβαίνειν, μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν· καὶ τὰ λοιπά.

α 1988 Ἀναξιμένης, Εὐρυστράτου, Μιλήσιος, φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου· οἱ δὲ καὶ Παρμενίδου ἔφασαν. γέγονεν ἐν τῇ νε′ Ὀλυμπιάδι ἐν τῇ Σάρδεων ἁλώσει, ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν.

α 1989 Ἀναξιμένης, Ἀριστοκλέους, Λαμψακηνὸς, ῥήτωρ· μαθητὴς Διογένους τοῦ Κυνὸς καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου γραμματικοῦ, τοῦ κακίζοντος Ὅμηρον, διδάσκαλος δὲ τοῦ Μακεδόνος Ἀλεξάνδρου. εἵπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις. οὗτος βασιλέα Ἀλέξανδρον, θυμῷ χρώμενον ἐς Λαμψακηνοὺς, τέχνῃ περιεῖλε τοιᾷδε. φρονούντων Λαμψακηνῶν τὰ Περσῶν, ὑπερζέων τῷ θυμῷ Ἀλέξανδρος ἠπείλει τὰ μέγιστα κακὰ ἐργάσασθαι. οἱ δὲ, ἅτε περὶ γυναικῶν καὶ παίδων καὶ τῆς πατρίδος θέοντες, ἀποστέλλουσιν Ἀναξιμένην ἱκετεύσοντα. Ἀλέξανδρος δὲ γνοὺς καθ’ ἥντινα αἰτίαν ἥκοι, κατωμόσατο θεοὺς, ἦ μὴν αὐτοῦ ταῖς δεήσεσι τἀναντία ἐργάσεσθαι. Ἀναξιμένης δέ, χάρισαί μοι, ἔφη, ὦ βασιλεῦ, τὴν χάριν, γυναῖκας καὶ τέκνα τῶν Λαμψακηνῶν ἀνδραποδίσασθαι καὶ τὰ ἱερὰ ἐμπρῆσαι καὶ τὴν πόλιν ἐς ἔδαφος καταβαλεῖν. Ἀλέξανδρος δὲ οὐκ ἔχων τι πρὸς τοῦτο σοφίσασθαι ἢ ἀντιμηχανήσασθαι καὶ ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου, συγγνώμην ἔνεμεν οὐκ ἐθέλων Λαμψακηνοῖς. ἠμύνατο δὲ καὶ Θεόπομπον, τὸν Δαμοστράτου, ἐχθρὸν ὄντα Ἀναξιμένης οὐκ ἀμαθέστατα, ἀλλ’ ἐπιφθονώτατα. σοφιστὴς γὰρ ὢν καὶ σοφιστῶν λόγους μιμούμενος, γράφει βιβλίον ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίους, συγγραφὴν λοίδορον ἐς τὸ ἀκριβέστατον μιμησάμενος· καὶ ἐπιγράψας Θεοπόμπου τὸ ὄνομα ἔπεμπεν ἐς τὰς πόλεις. καὶ ἐκ τούτου τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ηὔξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς.

α 1990 Ἀναξιοπαθοῦντες: οὐκ ἄξιον ἡγούμενοι. οἱ δὲ Κρῆτες ἀναξιοπαθοῦντες οὐκ ἐδέξαντο αὐτὸν ὡς μοιχογέννητον.

α 1991 Ἀνάξιππος, κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμασεν ἐπὶ Ἀντιγόνου καὶ Δημητρίου τοῦ Πολιορκητοῦ.

α 1992

Ἀνάξοιτο: ἀνασχήσοιτο. Ξενοφῶν.

α 1993 Ἀναξυρίδας: φιμινάλια, βρακία, ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα. καίπερ τῷ Θεοδοσίῳ ἐκλελυμένον τὸν ἱμάντα, τὸν ἀμφὶ τὰ αἰδοῖα τὰς ἀναξυρίδας δέοντα.

α 1994 Ἀνὰ οὐλαμόν: κατὰ τὸ ἄθροισμα.

α 1995 Ἀναπάλλει: ἀναπηδᾷ, ἀνασείει.

α 1996 Ἀναπαυδήτως.

α 1997 Ἀναπαύεσθαι· αἰτιατικῇ. τὸ κατακλίνεσθαι ὡς πρὸς ὕπνον.

α 1998 Ἀνάπαυλαν: ἀνάπαυσιν. ἀνάπαυσις δὲ ὁ μέλλων βίος. σὺν ἑτέροις ἀξιολογωτάτοις ἀνδράσι τῷ πολέμῳ δοὺς τὴν ἀνάπαυλαν. Μένανδρος· ὡδὶ γὰρ Οὔννων ἡγεμὼν μέγιστος ἔτυχεν ἀναπαύλης. τούτεστιν ἀπέθανε. καὶ Ἀναπαύλας, πέμψεις πρὸς τοὺς νεκρούς. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων; κηρύσσει ὁ Χάρων, καὶ ὡς τόπους καταλέγει· τίς εἰς τὸ Λήθης πεδίον; Λήθης πεδίον χωρίον διατετύπωκεν ἐν ᾅδου οὕτω λεγόμενον· ὡς καὶ Αὐαίνου λίθον. τίς εἰς ὄνου πόκας; οὕτω λέγουσι τὸ ἄχρηστον· οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκαι χρησιμεύουσιν. ἐπὶ τῶν ἀνηνύτων.

α 1999 Ἀνάπαιστα: κυρίως τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα, ἰδίως δὲ τὰ τῶν ῥυθμῶν. πᾶσαν δὲ παράβασιν ἀναπαίστους καλοῦσιν. αὐτὸν ἐπήνει πρότερον παραβὰς ἐν τοῖς ἀναπαίστοις· φησὶν Ἀριστοφάνης ἐν Εἰρήνῃ. γραφαί τε παιγνιώδεις ἐς τοῦτο, καὶ ἀνάπαιστα ᾔδοντο κατὰ Ῥωμαίων. σημαίνει δὲ ἀνάπαιστος καὶ εἶδος μέτρου στίχων.

α 2000 Ἀναπεμπάζειν: ἀνανεοῦσθαι, ἀναμιμνήσκεσθαι. πεποίηται ἀπὸ τῶν τοῖς πέντε δακτύλοις τῆς χειρὸς συνεχὲς ἀριθμούντων καὶ ἐπαναλαμβανόντων, οἱονεὶ κατὰ πεντάδα ἀριθμούντων. καὶ Ἀναπεμπαζόμενοι, ἀναριθμούμενοι, σκεπτόμενοι.

α 2001 Ἀναπεπταμένα χωρία: πεδία, κάμποι.

α 2002 Ἀναπεπτωκώς: ῥᾳθυμῶν, ἀφροντιστῶν, ἀμελῶν. ὁ δὲ ἐν τῷ πολέμῳ ἀναπεπτωκώς τε οὐδενὶ λόγῳ καὶ ὁ τὴν τῶν ἔργων παρασκευὴν ὀκνηρῶς ἄγαν διὰ φιλοχρηματίαν ποιούμενος.

α 2003 Ἀναπεποιημένης: ἀναπεφυρμένης, ἀνεζυμωμένης.

α 2004 Ἀναπετῶ: ἀναπετάσω. Μένανδρος· ἄλλοις ἀναπετῶ τουτὶ προσελθὼν καὶ οὐκ ἀνέξομ’ οὐκέτι. καὶ ἐν Συνερώσῃ καὶ ἑτέραις.

α 2005 Ἀναπέφηνα: ἀπεδείχθην. καὶ οὐχὶ ἐναπέφηνα.

α 2006 Ἀνάπειρα. κατασπᾶν τὰς ναῦς, τὰς ὑπηρεσίας ἐμβιβάζειν καὶ τῆς εἰρεσίας ἀνάπειραν λαμβάνειν, παρέλκοντα τὸν χρόνον ἐπίτηδες, ἕως τὰ παρὰ Ῥωμαίων αὐτῷ γένηται φανερά.

α 2007 Ἀναπείρατε· ἀναπείρατε τὰς κίχλας, τούτεστι πήξατε, κεντήσατε. Ἀριστοφάνης· φέρετε τοὺς ὀβελίσκους, ἵν’ ἀναπείρω τὰς κίχλας.

α 2008 Ἀναπείραις· Πολύβιος· τῶν δὲ ναυτικῶν δυνάμεων κατὰ θάλατταν ταῖς ἀναπείραις καὶ ταῖς εἰρεσίαις ἐγύμναζεν.

α 2009 Ἀναπείσητε: ἀντὶ τοῦ δώροις πείσητε. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον. Ἀριστοφάνης· εἰ μή μ’ ἀναπείσητ’, ἀποθανεῖσθε σήμερον.

α 2010 Ἀναπειστηρίαν: δυναμένην πείθειν τοὺς ἀκούοντας. Ἀριστοφάνης· πῶς ἂν μάθοι πόθ’ οὗτος ἀπόφευξιν δίκης ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν; καίτοι ταλάντου τοῦτ’ ἔμαθ’ Ὑπέρβολος. Κλῆσιν· τούτεστι μαρτυρίαν. Χαύνωσιν· λύσιν τῶν δικῶν, οἷον ἀπάτην καὶ κενῶν ῥημάτων ἀναπειθόντων τοὺς ἀκούοντας. ἢ ἀναπειστηρίαν, ὥστε χαυνῶσαι καὶ ἀναπεῖσαι τοὺς ἀντιδίκους. παρὰ τὸ πείθειν τὴν δίκην. ὁ δὲ Ὑπέρβολος ἐκωμῳδεῖτο ὡς ἀπαίδευτος καὶ ὀψιμαθής. ἀξιοπιστεύονται δὲ οἱ διδάσκαλοι λέγοντες· ἔλαττον τοσοῦδε οὐ λαμβάνω ἐπὶ τούτῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προνοήσασθαι τῶν καινῶν μαθημάτων, ὅσων προνοοῦσι μάλιστα.

α 2011 Ἀναπηδῶν· καὶ οὐδετέρως διὰ τοῦ ω μεγάλου.

α 2012 Ἀναπήλας. ἀνακινήσας. ὁ δὲ διὰ τοῦ κοντοῦ ὅσον πρὸς τῇ ἀκωκῇ ἀναπήλας ἐς ὕψος καὶ περιενεγκὼν, ὡς ἄν τις δόρυ τὸ κουφότατον περιφέρῃ, τῇ αἰχμῇ διαπείρων τὸ μετάφρενον κατεργάζεται.

α 2013 Ἀναπηνίζω: ἀναλέγομαι, ἐκλύω, ἀνακυκλίω.

α 2014 Ἀναπηρίαν: οὕτως Ἀριστοφάνης Πλούτῳ.

α 2015 Ἀνάπηρον ψυχήν: τὴν ἐπιβλαβῆ, μὴ ὑγιαίνουσαν, ἀλλὰ σεσινωμένην καὶ ἀχρείαν. καὶ Ἀνάπηρος, ὁ χωλός. ὁ καθ’ ὑπερβολὴν πεπηρωμένος μέλει τινὶ τοῦ σώματος. Λυσίας ἐν τῷ περὶ τοῦ διδομένου τοῖς ἀδυνάτοις ὀβολοῦ· καὶ τί κωλύει ὑμᾶς μὲν ὠφελεῖσθαι τῷ ὀβολῷ, ὡς ὑγιεῖς ὄντας, τούτῳ δὲ ψηφίσασθαι ἐάσαντας ὡς ἀναπήρῳ; ὁ δὲ δέσμιος ἐς μέσον παραγίνεται ῥῖνα καὶ ὦτα ἀνάπηρος, παιγνίων τε γεγονὼς παρανάλωμα.

α 2016 Ἀναπιδύει τὸ ὕδωρ.

α 2017 Ἀναπίμπλαται: ἀναπληροῦται.

α 2018 Ἀναπίπτειν: οὐ τὸ κατακλίνεσθαι, ἀλλὰ τὸ μεταμέλεσθαι καὶ μετατίθεσθαι καὶ ἀποκνεῖν. Θουκυδίδης α′· καὶ νικώμενοι ἐπ’ ἐλάχιστον ἀναπίπτουσιν.

α 2019 Ἀναπίπτειν τὸ ἀθυμεῖν λέγεται παρὰ τοῖς παλαιοῖς. ἀναπίπτειν ἐπὶ ψυχῆς ἐστιν, οἷον ἀθυμεῖν, ὀλιγωρεῖν. Κρατῖνος δὲ ἐπὶ τῶν ἐρετῶν κέχρηται τῇ λέξει, ἐρεσσόντων καὶ ἀνακλινομένων. καὶ Ἀναπεσεῖν, ἀνακλιθῆναι.

α 2020 Ἀναμπλάκητοι: αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι. ἢ ἄφυκτοι, ἀπλάνητοι, ἀπροσπέλαστοι, ἀφανεῖς, ἃς οὐκ ἔστιν ἀποφυγεῖν. Σοφοκλῆς· δειναὶ δ’ ἅμ’ ἕπονται κῆρες ἀναμπλάκητοι. τούτεστι τοῦ Λαΐου.

α 2021 Ἀνάπλασμα: σχῆμα.

α 2022 Ἀναπλάττομαι· αἰτιατικῇ· καὶ Ἀναπλάττω· αἰτιατικῇ.

α 2023 Ἀνάπλεως: ἔμπλεως.

α 2024 Ἀναπλήσας: ἀναπληρώσας. ὁ δὲ Πλάτων ἀντὶ τοῦ μολύνας.

α 2025 Ἀναπνέοντες: ἐν νῷ ἔχοντες. καὶ οἱ μὲν ἀναπνέοντες τὰ τοῦ βασιλέως ἐπιτάγματα διέβαινον, οἱ δὲ βάρβαροι καίπερ σιγῇ προσιόντας ᾔσθοντο.

α 2026 Ἀναποδίζειν: τὸ ἐξετάζειν, ὡσανεὶ συγκρούειν. Ἡρόδοτος. καὶ Ἀναποδιζόμενα, ἀντὶ τοῦ ἐξεταζόμενα. ἢ ἀντὶ τοῦ ἄνωθεν πολλάκις τὰ αὐτὰ λεγόμενα ἢ πραττόμενα.

α 2027 Ἀναπόδοτος· ὅτι ἡ δωρεὰ δόσις ἐστὶν ἀναπόδοτος, ἡ δὲ δόσις γένος τῆς δωρεᾶς.

α 2028 Ἀναπόδραστον: ἄφευκτον. καὶ Ἀναποδράστους, τοὺς μὴ δυναμένους φεύγειν.

α 2029 Ἀναποθήσεται: καταποθήσεται.

α 2030 Ἀναπολεῖ: ἀναμιμνήσκεται. τάττεται δὲ καὶ ἐπὶ τοῦ μηρυκίζεσθαι. Αἰλιανός· μόνος ὁ θαλάσσιος σκάρος τὴν τροφὴν ἀναπολεῖ, ὥσπερ καὶ τὰ βληχητὰ, ἃ δὴ μηρυκᾶται.

α 2031 Ἀναπολεῖ: ἀναπτύσσει. καὶ παροιμία· ἂν ἀπολῇς τοὺς ὤμους ὕδωρ πτίσσων, ὁμοίως ὕδωρ μένει· ἐπὶ τῶν ἀνήνυτα πονούντων. καὶ Ἀναπόλησις θηλυκόν.

α 2032 Ἀναπολῃκοῦν· τὸ εἴδωλον κροτοῦν τοῖς δακτύλοις, ἀνακροταλοῦν, ὥστ’ ἀναπολῃκοῦν τοῖς δακτύλοις· καὶ ζήτει ἐν τῷ Σαρδανάπαλος.

α 2033 Ἀναπόμπιμα δῶρα: τὰ ἀποστρεφόμενα.

α 2034 Ἀναπόνιπτος: μὴ νιψάμενος μηδὲ πλύνας τὰς χεῖρας, ἀλλ' ἀκάθαρτος. κᾆτ' ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος λαρυγγιῶ τοὺς ῥήτορας. καὶ Ἀναπόνιπτρον, ἀνεξάλειπτον.

α 2035 Ἀναπρήσας: ἀνακαύσας. ἀναφυσήσας.

α 2036 Ἀνάπταιστον: τὸ μὴ πταῖον.

α 2037 Ἀνάπτειν: περιτιθέναι ἢ ἀντιτιθέναι.

α 2038 Ἀναπτήτω: πετασθήτω.

α 2039 Ἀνάπτυξις: ἑρμηνεία, διασάφησις. καὶ Ἀναπτύξω, ἀντὶ τοῦ ἐπιδείξω. Εὐριπίδης.

α 2040 Ἀνάποινος: ἄνευ λύτρων.

α 2041 Ἀνάπυστα: ἔκπυστα, δῆλα. θάνατος Σθενεβοίας ἀνάπυστος ἐγένετο. ἀντὶ τοῦ φανερός. Ἀνάπυστον δὲ τὸ ἀνήκοον.

α 2042 Ἀναρᾶσθαι: ἀντὶ τοῦ διαλύειν τὴν γενομένην ἀράν. οὕτως Καλλισθένης.

α 2043 Ἀνάργυρος: ὁ ἀργύριον μὴ κεκτημένος, εἰ καὶ εἴη αὐτῷ ἱκανὴ οὐσία ἐξ ἑτέρων κτημάτων. Λυσίας ἐν τῷ περὶ τῆς Ἐπιγένους διαθήκης· ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς τριηραρχεῖν ἠναγκάζετο, ἀνάργυρος ὢν καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων.

α 2044 Ἀναρρηγνύς: πλάττων, κατασκευάζων, συντιθείς. Ἀριστοφάνης· ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη. ἔχεται δὲ καὶ τοῦτο ἐμφάσεώς τινος μείζονος.

α 2045 Ἀναρρηθῆναι: ἀνακηρυχθῆναι. καὶ Ἀνάρρημα, κήρυγμα. καὶ Ἀνάρρησις, ἀναγόρευσις. τοὺς μὲν ἀναρρήσεων καὶ στεφάνων ἀξιοῖ, τοὺς δὲ διηνεκεῖ παραπέμπει τιμωρίᾳ.

α 2046 Ἀναρίθμητος: ἄπειρος. Σοφοκλῆς· ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται. καὶ Ἀνάριθμοι, πλεῖστοι, ἄπειροι. εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι· οἱ δ' ἀνάριθμοι οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ, φησὶν Ἡράκλειτος.

α 2047 Ἀναρριπτεῖν καὶ Ἀναρρίψαι: ἀναλαμβάνειν. ὥστε πρὸς τῇ αἰσχύνῃ, ἣν πρὸ τοῦ καταλιπεῖν τὸν χάρακα ἠνέγκαντο, καὶ κίνδυνον οὐ τὸν ἐλάχιστον αὐτοὺς ἀναρρίψαι, σκοτίους ἀπιόντας διὰ τῆς πολεμίας. καὶ Ἀναρρίπτειν, μεταμελεῖσθαι, μετατίθεσθαι.

α 2048 Ἀνάριστος: μᾶλλον δὲ ἀναρίστητος. Ἀριστοφάνης Πολυίδῳ· διὰ τῆς ἀγορᾶς τρέχω ἀναρίστητος ὤν. Ἄλεξις Καταψευδομένῳ· πάντως ἀναρίστητος οὐ δυνήσομαι διακαρτερῆσαι τηλικαύτην ἡμέραν. Ἀντιφάνης Λευκαδίῳ· ἐνταῦθα ἀναρίστητος εὐθὺς κιθαριεῖ. Τιμοκλῆς Νεαίρᾳ· ἔπειτα τὸ διά τε ταῦτ' ἀναρίστητος ὤν. Μένανδρος δὲ ἀνάριστον. καὶ Ἀναρίστους, μήπω ἠριστηκότας. βουλόμενος ἀναρίστους καὶ πρὸς τὸ μέλλον ἀπαρασκεύους λαβεῖν τοὺς ὑπεναντίους.

α 2049 Ἀναρριχᾶσθαι: τὸ πρὸς ἄναντες ἐκβαίνειν ἅμα ταῖς χερσὶν ἀντιλαμβανόμενον καὶ στηριζόμενον. Ἀριστοφάνης Εἰρήνῃ· ἔπειτα λεπτὰ καὶ μακρὰ ποιούμενος, πρὸς ταῦτ' ἀναρριχᾶτ' ἂν εἰς τὸν οὐρανόν. καὶ Ἀναρριχώμενος, δρασσόμενος.

α 2050 Ἄναρθρα: ἀτύπωτα, ἀτράνωτα. λαμβάνεται δὲ ἐπὶ συλλαβῆς λειπούσης στοιχεῖον, ἢ λόγου λείποντος συλλαβήν.

α 2051 Ἄναρκτον: τὸ ἀνυπότακτον.

α 2052 Ἀνάρμοστος: ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος.

α 2053 Ἀνάρροπον: ὀπισθόρμητον. ἡ δὲ Φραγγικὴ δύναμις τοῖς Ῥωμαίοις ξυρραγεῖσα ἐξωθεῖ τε καὶ ἀνάρροπον τίθησι τὴν πεζικὴν στρατιάν. καὶ Μένανδρος· κατιόντων τῶν Ἀβάρων κατ' ὀλίγους, οἱ στρατηγοὶ γνώμῃ ἐχρῶντο παραχρῆμα ἐπιθέσθαι σφίσι, κἀκ τούτου ἀνάρροπον τιθέναι τὴν τῶν Ἀβάρων κατάρασιν.

α 2054 Ἀνάρπαστοι: οἱ ἀμύητοι, οἷς τελεταὶ καὶ ὄργια οὐκ ἐγένοντο.

α 2055

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνάρσια: ἃ οὐκ ἄν τις ἄραιτο ἄδικα. ὃν ἦν καταψευσάμενος ἔναγχος καὶ μεγάλα ἀνάρσια ἀνῃρημένος ἐκδίκως.

α 2056 Ἀνάρτησις: ἡ ἐπὶ ξύλου καθήλωσις. καὶ Ἀνάρτησον, κρέμασον. καὶ Ἀναρτώμενος, κρεμώμενος. Προκόπιος· ὁ δὲ ἐπανῆκεν ἐπιστολὴν ἔχων ταῖς ὁμοίαις ἐλπίσιν αὐτοὺς ἀναρτῶσαν.

α 2057 Ἀναρροιβδεῖν: ἀναρροφεῖν.

α 2058 Ἀναρρύει: ἀντὶ τοῦ θύει καὶ σφάττει. Εὔπολις. καὶ ἡ θυσία δὲ ἐπανάρρυσις. καὶ Ἀνάρρυσις, κυρία τῶν Ἀπατουρίων ἡμέρα. Ἀπατούρια δὲ ἑορτὴ παρ’ Ἀθηναίοις τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ Ἀναρρύειν, τὸ ἐπιθύειν ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν Ἀπατουρίων· Δόρπεια, Κουρεῶτις, Ἀνάρρυσις.

α 2059 Ἀναρύτειν: ἀναντλεῖν, ἀπὸ τοῦ ἀρύεσθαι. Κρατῖνος Διδασκαλίαις· ὅτε σὺ τοὺς καλοὺς θριάμβους ἀναρύτουσα ἀπηχθάνου.

α 2060 Ἄνασσα: βασίλισσα.

α 2061 Ἀνασεσυρμένην: ἄκοσμον, ἀπρεπῆ. κωμῳδίαν ἀνασεσυρμένην καὶ πλημμελῆ. καλοῦσι δὲ τὸν μὲν σκωπτικὸν ἐπίχαριν, τὸν δὲ εὐτράπελον ἐπιδέξιον, τὸν δ’ ἀνασεσυρμένον ἄπλαστον καὶ ἁπλοῦν. οἷς ἐπακολουθεῖ καὶ τὸν αὐστηρὸν ἄγροικον ἡγεῖσθαι, τὸν δὲ δίκαιον οὐ πολιτικὸν, οὐδ’ ἥμερον.

α 2062 Ἀνασείειν: ἐκτινάσσειν, ὡς καὶ ἡμεῖς. οὐ γὰρ ἀνασείων ἠκολούθει Καλαμίδα. καὶ Ἀνασείω, ἀναπείθω ἢ πρὸς μάχην ἐρεθίζω. ὁ δὲ τοὺς Συρακουσίους ἀνασείων καὶ τὴν ἐλευθερίαν ἀποκαταστήσειν ἐπαγγειλάμενος. καὶ Ἀνασείσας, ἀπειλησάμενος. Δημοσθένης κατὰ Ἀριστογείτονος.

α 2063 Ἀνασειράζει: ἀνθέλκει, ἀνατρέπει. ἐν Ἐπιγράμμασι· ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω. Ἀνασειράζω οὖν τὸ ἀναχαλινῶ.

α 2064 Ἀνασηκῶσαι: ἀνταποδοῦναι ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες, οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης.

α 2065 Ἀνά: σημαίνει καὶ τὸ κατά. Ξενοφῶν· ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ.

α 2066 Ἀνάσιλλος: ἀναφαλαντίας.

α 2067 Ἀνάσιμον: ἄμορφον. καὶ μηδὲν πρότερον ἀνασποδῆσαι ἀνάσιμον ἢ πρεσβύτερον. οὐ γὰρ ἀνάσχετον τοῦτό γ’ ἐλευθέρῳ.

α 2068 Ἀνασκαλεύων: ἀνακινῶν, ἀδημονῶν, ἀναλογιζόμενος.

α 2069 Ἀνασκευασάμενοι: ἀπάραντες.

α 2070 Ἀνασκευασθείσης τῆς τραπέζης φησὶ Δημοσθένης· οἷον ἀναστάτου γενομένης.

α 2071 Ἀνασκινδυλευθῆναι: ἀνασκολοπισθῆναι, ἀνασταυρωθῆναι. ὁ ἐνεστὼς Ἀνασκολοπίζω.

α 2072 Ἀνασοβηθείς: διαταραχθείς. ὁ δὲ πρὸς τὴν ἀγγελίαν ἀνασοβηθεὶς ματαίως ἀνίσταται εὐθύς. καὶ αὖθις· τοὺς δὲ ἵππους εἶναι ἀγρίους ὑπό τε τῷ ἀήθει τοῦ δεσμοῦ, καὶ ὑπὸ τοῦ ἀπηρτημένου βάρους ἔτι μᾶλλον ἀνασοβηθέντας διαφορῆσαι αὐτόν.

α 2073 Ἀνασώσων· αἰτιατικῇ. ἀνακτησόμενος. τήν τε χώραν, καὶ τὰς πόλεις, ἃς ὑπὸ Ῥωμαίων ἀπολωλεκότες ἕκαστοι τυγχάνουσιν, ἀνασώσων. τουτέστιν ἀναλαβών. καὶ Αἰλιανός· οὔ τι προσδοκῶν τὸν τόπον τὸν προειρημένον δυνήσεσθαι αὐτοὺς ἀνασῶσαι καὶ κομίσασθαί ποθεν· ἀλλ’ ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακίᾳ φθάνοντες, ἐν τῷ δευτέρῳ κινδύνῳ τε ἰσωθῶσι κολασθέντες.

α 2074 Ἀνασπᾷ: ἀντὶ τοῦ καταλύει, ἢ ἀναιρεῖ. Θουκυδίδης. ἢ Ἀνασπᾶν, τὸ ἀντλεῖν ὕδωρ. κάδους ἀνασπῶν, φησὶ Φερεκράτης. καὶ Ἀνασπῶν, οὐδετέρως, διὰ τοῦ ω μεγάλου.

α 2075 Ἀνασποδῆσαι· ζήτει εἰς τὸ ἀνάσιμον.

α 2076 Ἀνασταδόν: ἀνιστάμενοι.

α 2077 Ἀναστάσιος, Ῥωμαίων βασιλεύς. οὗτος ἐπὶ τὸ χεῖρον τραπεὶς πᾶσαν ὁμοῦ τὴν βασιλείαν εἰς ἀριστοκρατίαν μετέστησε, τὰς μὲν ἀρχὰς ἁπάσας ἀπεμπολῶν καὶ τοῖς ἀδικοῦσι συγχωρῶν καὶ πρός γε χρημάτων ἀκόρεστον ἐπιθυμίαν τραπεὶς, ὡς κενὰς ἐντεῦθεν γενέσθαι καταλόγων τὰς ἐπαρχίας, καὶ πρὸς τὸ ἄηθες καὶ ξένον καταπεπλῆχθαι τοὺς ἄνδρας. οὐδὲ γὰρ ὅπλοις τοὺς ἐπιόντας βαρβάρους ἠμύνετο, ἀλλὰ χρήμασι τὴν εἰρήνην ἐξωνούμενος διετέλει. πρὸς δέ γε τούτοις καὶ τὰς τῶν τελευτώντων οὐσίας ἐπολυπραγμόνει, κοινὴν ἅπασι δωρούμενος τὴν πενίαν. ὧν γὰρ αὐτὸς ἐλάμβανε τὰς οὐσίας, τούτοις μετ᾽ ὀλίγον διεδίδου τῷ τῆς εὐσεβείας τρόπῳ· καὶ ὧν ἐγύμνου πόλεων τοὺς ἐνοικοῦντας, τὰς οἰκοδομὰς ἀνενέου, ὡς καὶ τὴν ἐνεγκαμένην ἐπιμελῶς κοσμῆσαι καὶ τρισὶ περιβαλεῖν στεφάνοις. ἐπὶ δὲ τούτου δειναὶ ταῖς κατὰ Λιβύην πόλεσιν ἐπέσκηψαν θλίψεις ὑπὸ τῶν καλουμένων Μαζικῶν. ἐδέδοντο γὰρ θυγατριδῷ Μαρίνου ἐς ἡγεμονίαν ἀνδρὶ νέῳ καὶ πολὺ τὸ κοῦφον κεκτημένῳ· καὶ μετ᾽ ἐκεῖνον αὖθις Βασιανῷ τῷ παιδί. ὁ δὲ οἷς ἔπραξε παντοίως τὰς τοῦ πρὸ αὐτοῦ ἄρξαντος ὑπερβαλόμενος ἀσελγείας ἔδωκε Λίβυσιν αἱρεῖσθαι τὰ πρότερα, καὶ ταῦτα τοῖς μὲν πενίας, τοῖς δὲ θανάτου μνήμην καταλείψαντα. οὕτως, εἰ δέοι εἰπεῖν, οἵ τε ἀφ᾽ αἵματος τὴν Μαρίνου παρευτυχήσαντες εὔνοιαν τοῖς Λιβύων διαφερόντως καὶ Αἰγυπτίων ἐνεφορήθησαν κτήμασιν. ὅτι ἐπὶ Ἀναστασίου τοῦ βασιλέως ἦν ὁ ἅγιος Θεοδόσιος, ὁ κοινοβιάρχης. αἱρετικὸς δὲ ἦν οὗτος ὁ Ἀναστάσιος. ὅτι Ἀναστάσιος αὐτὸς ὁ βασιλεὺς ἔκτισε τὸ μακρὸν τεῖχος πρὸ μιλίων τῆς πόλεως ξʹ, διατείνας ἐκ τῆς κατὰ ἄρκτον θαλάσσης εἰς μεσημβρίαν μῆκος μὲν μιλίων νʹ, εὖρος δὲ ποδῶν κʹ· καὶ τῷ Ἰουλιανοῦ λιμένι προβόλους τίθησιν. ὁ αὐτὸς κτίζει καὶ τὸν μέγαν τρίκλινον, τὸν ἐν Βλαχέρναις, ὃς Ἀναστασιακὸς μέχρι τῆς δεῦρο λέγεται· καὶ τὴν κινστέρναν τὴν Μωκισίαν.

α 2078 Ἀναστάσιος Σελεντιάριος· ὁ μετὰ ταῦτα βασιλεύσας· ζήτει ἐν τῷ φατρία. ζήτει περὶ τῆς τριημέρου ἀναστάσεως τοῦ Χριστοῦ ἐν τῷ αὐτή.

α 2079 Ἀνάστασις: ἐπειδὴ ὁ θάνατος παρὰ φύσιν εἰσῆλθεν, ἡ δὲ ἀνάστασις κατὰ φύσιν. ὁ γὰρ πρωτόπλαστος πρὸ τῆς παραβάσεως ἀθάνατος ἦν. ἀνάστασις δὲ λέγεται, ἐπειδὴ τὸ φθαρὲν πλάσμα διὰ τῆς ἁμαρτίας ὀρθοῦται διὰ δικαιοσύνην. εἰ γὰρ παρέμεινεν ὁ Ἀδὰμ τῇ ἐντολῇ, ἔμεινεν ἂν ζῶν. ἀνάστασις οὖν ἡ δευτέρα στάσις καὶ ἡ τῆς μακροθυμίας τοῦ θεοῦ παῦλα.

α 2080 Ἀνάστασις: ἀντὶ τοῦ ἀναστάτωσις. Πολύβιος· Μάσσανα δὲ Καρχηδόνι αἴτιον τῆς ἀναστάσεως γενέσθαι, πάμπαν τὴν ἀσθενῆ Ῥωμαίοις ὑπολιπόντα.

α 2081 Ἀνάστατος: κατεστραμμένος. καὶ Ἀναστάτως, πεπορθημένως. ὁ διά τινα συμφορὰν ἢ δίκην καταλιπὼν τὴν οἰκείαν καὶ ἐν τῇ ἀλλοδαπῇ διαγενόμενος. εἴρηται δὲ καὶ ἐπὶ πόλεων ἑαλωκυιῶν καὶ οἴκων ἐξερημωθέντων τὸ ἀνάστατον.

α 2082 Ἀνάστατοι: πλακοῦντος εἶδος. οὗτοι δὲ αὐταῖς ταῖς Ἀρρηφόροις ἐγίνοντο. ἐλέγοντο δέ τινες πλακοῦντες καὶ χαρίσιοι. οὗτοι δὲ ἀπὸ τῶν καταλειπομένων συμμιγνύμενοι ἐγίνοντο, καὶ δημιουργοὶ πλάσσουσιν. Ἀριστοφάνης Δαιταλεῦσι· πέμψω πλακοῦντας ἑσπέρας χαρισίους. οἱ δὲ ἀμφιφῶντες γίνονται Μουνυχιῶνος μηνὸς ςʹ ἐπὶ δέκα, οἳ καὶ εἰς τὸ Μουνυχίας ἱερὸν τῆς Ἀρτέμιδος κομίζονται. ὀνομάζονται δὲ ἀμφιφῶντες, ὡς μέν τινες ὅτι τότε γίγνονται, ὅτε ἥλιός τε καὶ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται· ὡς δὲ Ἀπολλόδωρος, ὅτι κομίζουσιν αὐτοὺς δᾳδία ἡμμένα παραπηγνύντες ἐπ᾽ αὐτῶν. φθόϊς δέ εἰσι πέμματα, ἃ τοῖς θεοῖς καὶ μετὰ τῶν σπλάγχνων ἔθυον. αἱ δὲ σελῆναι πέμματά εἰσι πλατέα, κυκλοτερῆ· πέλανοι δὲ τὰ εἰς θεοὺς πέμματα· πόπανα δέ· καὶ ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης· καί μοι πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων, φράσον σελήνας τάσδε πυρίμου χλόης. ἐπὶ δὲ ἓξ σελήναις βοῦν ἕβδομον ἔπεττον, κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφυοῦς σελήνης. ἔθυον μὲν οὖν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τέτταρσι ποπάνοις τοῦτον τὸν βοῦν καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν. μᾶλλον δὲ ἐπὶ ταῖς ἓξ ἕβδομον βοῦν. ἐπὶ τῶν ἀναισθήτων.

α 2083 Ἀναστεῖλαι: ἀντὶ τοῦ ἀνασχέσθαι. καὶ Ἀναστέλλω· αἰτιατικῇ.

α 2084 Ἀνάστημα ἡλικίας: εὐθύτης. θαυμαστὸν ὁ θεὸς τῷ Μωϋσεῖ τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάστημα. καὶ Ἀνάστημα ψυχῆς, τὸ πρὸς ἀρετὰς ἐπιτεταμένον καὶ σύντονον ἰδίωμα.

α 2085 Ἀναστήσας: ἀναστάτους ποιήσας καὶ μετοικίσας. ἀναστήσασα ἐκ τοῦ ἱεροῦ τὸν ἄνθρωπον αἰκίαις καθυπέβαλε. καὶ αὖθις· τὴν δὲ καταφυγοῦσαν ἐς τὸ ἱερὸν ἀναστῆσαι οὐκ ἐτόλμησε. καὶ, ἀναστήτω ὁ θεός.

α 2086 Ἀναστροφάδην φασὶν, ὅταν ὁ ἐγκαλῶν τῷ ἠδικημένῳ ἐγκαλῇ. καὶ Ἀναστροφὴ, ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς εἰς τὴν προτέραν χώραν. λέγεται καὶ ἡ ἀνταπόδοσις. καὶ μὴ ἂν ἀναστροφὴν εἶναι αὐτοῖς, πταίσματός τινος γενομένου τε κατ’ ἐκείνους ἀκμῆς πληθύϊ χρώμενον.

α 2087 Ἀνάστρῳ: ἀφεγγεῖ. ἆρά γε ὀρθῶς ζῶμεν καὶ ὑπὸ φωτὶ δὲ ἢ ἐν ἀσελήνῳ καὶ ἀνάστρῳ πλέομεν;

α 2088 Ἀναστοιχειοῖ: ἀναπλάττει, ὡς Μεταστοιχειοῖ, μεταπλάττει.

α 2089 Ἀναστύψαι: ἀνασπάσαι.

α 2090 Ἀνὰ σοὶ τάδε πάντα, λέπαργε: ἐπὶ τῶν οὐδὲ μετὰ τὸν κάματον ἀνιεμένων, ἐκ μεταφορᾶς τῶν βοῶν. ἐπειδὰν γὰρ ἀπολυθῶσι τοῦ ἔργου, εἰώθασιν οἱ γεωργοὶ τῷ δυνατωτέρῳ ἐπιτιθέναι τὸν ζυγὸν καὶ τὰ σκεύη.

α 2091 Ἀνασυντάξας: ἀντὶ τοῦ ἄνωθεν συντάξας. Ὑπερίδης κατὰ Πολυεύκτου.

α 2092 Ἀνασύνταξις: τὰ διαγεγραμμένα τιμήματα ταῖς συμμορίαις, ὅταν δόξῃ τῷ δήμῳ χρῄζειν προσθήκης ἢ ἀφαιρέσεως, καὶ ἕλωνται τοὺς τοῦτο πράξοντας, τοῦτο ἀνασύνταξιν καλοῦσιν.

α 2093 Ἀνασφήλας: ἀνανήψας, ἑαυτὸν ἀναστήσας· ἢ ἀναλαβών· ἀνενεγκών.

α 2094 Ἀνασχοῦσα: ἀναδοῦσα. καὶ Ἀνασχών, ἀνατείνας. φανεὶς, ἐξελθὼν, ἀναδύς. ὁ δὲ πρῶτος ἀνασχὼν ἐκ τοῦ ὀρύγματος ἦν Μάγνος, ἀνδρώδης τε καὶ διαφερόντως τολμητής.

α 2095 Ἀνάσχω· γενικῇ· μὴ ἀνάσχῃ.

α 2096 Ἀναταθείς: ἐπαπειλήσας. οἷς δὲ ἀναταθεὶς καὶ τὸν ἐξ αὐτοῦ φόβον ἐπικρεμάσας. καὶ Ἀνατατικῶς κελεύων, ἀντὶ τοῦ προστακτικῶς, ἐμβριθῶς.

α 2097 Ἀνατάξασθαι: εὐτρεπίσασθαι.

α 2098 Ἀνατάσεις: ἐπαπειλήσεις ὑπερηφάνους. τὰ μὲν φιλάνθρωπα παρεσιώπων, τὰς δὲ ἀνατάσεις καὶ ἀπειλήσεις ἔλεγον. καὶ Ἀνάτασις, ἡ μετὰ πικρίας καὶ θρασύτητος ἀπειλή. Πολύβιος· οἱ μὲν οὖν περὶ Μητρόδωρον καταπλαγέντες τὴν ἀνάτασιν Φιλίππου τοῦ βασιλέως ἐπανῆλθον.

α 2099 Ἀνατετυρβακώς: ἀναταράξας. τυρβάσαι δὲ κυρίως λέγεται τὸ τὸν πηλὸν ταράξαι. Ἀριστοφάνης· τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς.

α 2100 Ἀνατεῖλαι· δοτικῇ. ἀνθῆσαι. ἐκ μεταφορᾶς τῶν βοτανῶν.

α 2101 Ἀνατεινάμενος: ἐπαπειλήσας. ὁ δὲ βασιλεὺς πολλὰ τοῖς ἐς τὴν πρᾶξιν ὑπουργηκόσιν ἀνατεινάμενος οὐδὲν ἔδρασε. καὶ αὖθις· οἱ δὲ Αἰγύπτιοι ἀνατεινάμενοι καὶ κατακαγχάσαντες, ἐν ὄψει τοσούτων ἀνδρῶν καὶ γυναικῶν εἴκοσιν ἀποδέοντας πεντακοσίους ἀπέκτειναν. ἀνατεινάμενοι οὖν μεθ’ ὕβρεως ἀπειλήσαντες. καὶ Ἀνατείνας τὴν ψυχήν, ἐπὶ τὰ ἄνω τρέψας καὶ ἐπὶ τὴν τῶν θεῶν θέαν.

α 2102 Ἀνατί: ἀβλαβῶς καὶ ἄνευ τίσεως καὶ τιμωρίας. ὥσπερ καὶ τὸ Ἀνουτητί.

α 2103 Ἀνατίθεμαι: ἀθετῶ.

α 2104

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνατιναγμός.

α 2105 Ἀνατλάντες: ὑπομείναντες. καὶ Ἀνάτλημα, ὑπομονή. καὶ Ἀνατλῆναι, ὑπομεῖναι.

α 2106 Ἀνατολίη: ἡ ἀνατολή. λέγεται δὲ καὶ ἀντολίη.

α 2107 Ἀνατόλιος, μάγιστρος Θεοδοσίου τοῦ βασιλέως, ὃς ἦν φιλότιμος, προσῆν δὲ αὐτῷ καὶ τὸ μὴ φείδεσθαι χρημάτων, τὸ παρὸν διαθεῖναι ἐσπουδακότι.

α 2108 Ἀνατραπέντες: σκελισθέντες, συμπεσόντες. οἱ δὲ σπῶσι τοῦ οἴνου ἄδην καὶ ἀπείρως καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαστοι εἰκῇ. καὶ Ἀνατρέπω· αἰτιατικῇ.

α 2109 Ἀνατρέχω: ἀντὶ τοῦ ἀναλύω. Μένανδρος.

α 2110 Ἀνατρητοὺς ἐμβάδας: τὰ διακεκομμένα καὶ τετρυπημένα ὑποδήματα. τὰ δ’ ἐμβάδια καὶ ταῦτα συνεχειμάζετο. Ἀριστοφάνης.

α 2111 Ἀνά τοί με πείθεις· ἀλλ’ ἐκεῖνο οὔπω λέγεις: ἀντὶ τοῦ ἀναπείθεις τοιγαροῦν με.

α 2112 Ἀνατυπῶσαι: ἀντὶ τοῦ ἀνατρέψαι. Ἀντίμαχος. καὶ Ἀνατύπωσις, διανόησις.

α 2113 Ἄναυδος: ἄφωνος. καὶ Ἀναύδητον, ἄλεκτον, ἀπόρρητον, ἀνέλπιστον. κοὐδὲν ἀναύδητον φατίξαιμ’ ἄν. ὃς ἐπ’ αἰσχύνης τοῦ πάθους περιρρεόμενος δάκρυσιν ἄναυδος ἦν, ἐξειπεῖν αἰδούμενος τὸ πάθος.

α 2114 Ἀναυλεί: χωρὶς ναύλου.

α 2115 Ἀναυμαχίου· ὡς τοῦ μὴ στρατεύεσθαι καὶ τοῦ λείπειν τὴν τάξιν καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτω καὶ τοῦ ναυμαχῆσαι. τοῦτο τὸ ὄφλημα ἀναυμαχίου ἐκαλεῖτο, ὡς Ἀνδοκίδης. οὕτω δὲ δεῖ καὶ αὐτοὺς καὶ τοὺς ἐξ αὐτῶν ἀτίμους εἶναι.

α 2116 Ἀναυσία: τὸ μὴ ναυτιᾶν.

α 2117 Ἀναφαλαντίαν, οὐκ ἀναφάλαντον λέγουσι, καὶ Ἀνάσιλλον, τὸ αὐτό.

α 2118 Ἀναφανδόν: φανερῶς.

α 2119 Ἀναφαίνεις: φανερὰ ποιεῖς.

α 2120 Ἀναφαιρέτους: μὴ ἀφαιρουμένους.

α 2121 Ἀναφῆναι: ἐκφῆναι.

α 2122 Ἀναφλασμόν: τὰ Ἀφροδίσια. Εὔπολις Αὐτολύκῳ. καὶ Ἀναφλᾶν ἔλεγον τὸ μαλάττειν τὸ αἰδοῖον.

α 2123 Ἀναφλύστιοι· Ἀναφλύστιος, δῆμος Ἀττικῆς, τῆς Ἀντιοχίδος· ἔνιοι μέντοι τῶν ἱστορικῶν ὡς πόλεως τῆς Ἀναφλύστου μνημονεύουσιν.

α 2124 Ἀναφοράν: τὸ ἀναφέρειν τὴν αἰτίαν τῶν ἁμαρτηθέντων ἐπ’ ἄλλους. Δημοσθένης κατὰ Κτησιφῶντος. καὶ Ἀναφορᾶς· τὸ κελευόμενον ὑπὸ θατέρου κοινῇ δοκεῖν κελεύεσθαι, μηδεμιᾶς εἰς τὸν ἕτερον ὑπολειπομένης ἀναφορᾶς. ἤτοι συμβουλίας.

α 2125 Ἀναφορεύς: ὁ λῶρος. καὶ πληθυντικόν. Ἀναφορεῖς, οἱ ἀνέχοντες, οἱ ἀναβαστάζοντες.

α 2126 Ἀνάφορον: ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν. Ἀριστοφάνης· φέρε σὺ τἀνάφορον ὁ παῖς. ἢ ἀμφίκυρτον γραπτέον, ὅπερ καὶ ἀληθές.

α 2127 Ἀναφρονήσαντες: ἀνανήψαντες, μεταγνόντες. οὐκοῦν οἱ πλεῖστοι ἀναφρονήσαντες ἐγνωσιμάχουν καὶ μετεβάλλοντο.

α 2128 Ἀναφοιτῆσαι: ἀνελθεῖν.

α 2129 Ἀναχάζοντες: ἀναχωροῦντες. Ξενοφῶν· ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες. ὀπίσω πορευόμενοι.

α 2130 Ἀνάχαρσις, Γνύρου, μητρὸς δὲ Ἑλληνίδος, Σκύθης, φιλόσοφος, ἀδελφὸς Καδουΐα τοῦ Σκυθῶν βασιλέως. ἔγραψε Νόμιμα Σκυθικὰ δι’ ἐπῶν, Περὶ εὐτελείας τῶν εἰς τὸν ἀνθρώπινον βίον ἔπη

πάντα ω′. εὗρε δὲ οὗτος ἄγκυραν καὶ τὸν κεραμεικὸν τροχόν. ἦν δὲ ἐπὶ Κροίσου. καὶ τετελεύτηκεν Ἑλληνικὰς τελετὰς ἐπιτελῶν ἐν Σκύθαις, ἐπιβουλεύσαντος αὐτῷ τοῦ ἀδελφοῦ· κατὰ δέ τινας ἐν γήρᾳ βαθεῖ καὶ μέχρις ἐτῶν ρ′.

α 2131 Ἀναχάσκει: ὃ ἡμεῖς ἀνέχασκεν.

α 2132 Ἀναχαυνῶ: ἀναλύω.

α 2133 Ἀναχαιτίζει· αἰτιατικῇ. ἀναποδίζει, ἐκκόπτει. Ἀναχαιτίζειν· Σοφοκλῆς τὸ ἀπειθεῖν καὶ ἀντιτείνειν.

α 2134 Ἀνὰ χθόνα: ἐπὶ τὴν γῆν.

α 2135 Ἀνοχλίζω: τὸ ἀνακινῶ.

α 2136 Ἀναχωματισμός· ζήτει ἐν τῷ χῶμα.

α 2137 Ἀναχωρίζει· ἀντὶ τοῦ ἀναχωρεῖν ποιεῖ. Ξενοφῶν.

α 2138 Ἀναχωρῶ· γενικῇ.

α 2139 Ἀναχρέμπω: τὸ ἀναπέμπω.

α 2140 Ἀνάχυσιν: βλακείαν, ἔκλυσιν.

α 2141 Ἀναψηφίσασθαι: τὸ μεταψηφίσασθαι. Δουλοδιδασκάλῳ Φερεκράτης· κἀναψηφίσασθ’ ἀποδοῦναι πάλιν τὰ χρυσία. καὶ ἐκτεταμένως λέγουσιν οἱ Ἀττικοί.

α 2142 Ἀναψυχῆναι: τὸ ἀναψύξαι λέγουσιν. Ἀμειψίας Μοιχοῖς· καὶ σὺ μὲν ἦλθες κάββαλες τριώβολον, καί τί που κατεμαρτύρησας ψεῦδος, ὥστ’ ἀνεψύχεις. καὶ Ἀναψύχω· αἰτιατικῇ.

α 2143 Ἀναψῦχον: ἀντὶ τοῦ ἀναπνοὴν διδοῦν. καὶ Ἀναψυχομένη, ἀντὶ τοῦ ἀναπαυομένη.

α 2144 Ἁνδάνει: ἀρέσκει. μέλει. ἵππων χρεμετισμὸς ἁνδάνει.

α 2145 Ἄνδηρα: τὰ χείλη τῶν ποταμῶν ἄνδηρα λέγουσι, διὰ τὸ εἶναι ἔνικμα καὶ διερά. Ὑπερίδης δὲ τὰ ἀναχώματα λέγει, διὰ τὸ ὑπεράνω εἶναι τῶν διερῶν.

α 2146 Ἄνδηρα: μέρος τι τοῦ κήπου, ὥσπερ ἡ πρασιὰ καὶ ὁ ὀχετός. Δίδυμος φησίν. ὅπως τὸ ἀνώμαλον τοῦ χωρίου τῇ τῶν ἀνδήρων καὶ τῶν ὀχετῶν ἀφαιροῖτο κατασκευῇ.

α 2147 Ἄνδιχα: διχῶς. Ὅμηρος· ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι. ἰστέον, ὅτι οἱ πολιορκούμενοι ἐξίστασαν τοὺς πολεμίους, ἐπιμεριζόμενοι τὰ χρήματα. καὶ ἀντὶ τοῦ χωρίς. εἴης ἐν μακάρεσσιν, Ἀνάκρεον, μήτ’ ἄρα τῶν κώμων ἄνδιχα, μήτε λύρης.

α 2148 Ἀνδοκίδης, Ἀθηναῖος, ῥήτωρ τῶν πρωτευόντων δέκα εἷς, υἱὸς Λεωγόρου, ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος.

α 2149 Ἄνδρα: τὸν φύσει. Ἀρριανός· ἄνδρα κατὰ νεότητα θρασὺν, κατὰ ἀπειρίαν πραγμάτων ἀνόητον, καὶ διὰ ῥώμην σώματος καὶ τὸ ἐξ τὰς μάχας προπεσὸν τῷ πλήθει πιθανόν· οὐδὲ τὰς ὑπὲρ τῶν μεγίστων βουλὰς ἐν ὀλίγοις τοῖς μάλιστα προνοοῦσιν αὐτῶν, ἀλλ’ ἐν παντὶ τῷ πλήθει γίνεσθαι. τὸ πέρα δὲ ἀντιτείνοντας ξυνδεῖν καὶ δεδεμένους μηδὲν μεῖον ἕπεσθαι.

α 2150 Ἀνδραγαθιζομένη: ἀνδριζομένη. Ἀνδραγαθῶ δέ.

α 2151 Ἀνδράγρια: σκύλα ἐξ ἀνδρῶν.

α 2152 Ἄνδραγχος: ἀντὶ τοῦ δήμιος, ὁ τοὺς ἄνδρας ἄγχων.

α 2153 Ἀνδρακάδα: ἀνδρακάς. κατ’ ἄνδρα, χωρίς. Κρατῖνος Βουκόλοις. τὸ ἴσον καὶ ἀντικείμενον καλεῖ Θουκυδίδης. ἢ Ἀνδρακάς, κατὰ δέκα ἄνδρας.

α 2154 Ἀνδραποδίζω. αἰτιατικῇ. τὰς συνθήκας συνέχεον οἱ βάρβαροι τήν τε ὁμαιχμίαν ἐς τὸ φανερὸν ἀνδραποδίζονται. καὶ Ἀνδραποδισμός, αἰχμαλωσία. καὶ Ἀνδραποδιστής. διαβάλλονται οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ ἄπιστοι. δῆλον δὲ καὶ ἀπὸ Ἰάσονος, ὃς ἠνδραπόδισε τὴν

Μήδειαν. Εὐριπίδης· πολλοὶ παρῆσαν, ἄλλ' ἄπιστοι Θετταλοί. εἴρηται δὲ ἀνδραποδιστὴς παρὰ τὸ ἀποδίδοσθαι ἄνδρα, τουτέστι πωλεῖν· ὁ τοὺς ἐλευθέρους καταδουλούμενος.

α 2155 Ἀνδραποδοκάπηλος: μεταβολεὺς ἀνδραπόδων. ἀνδράποδον δὲ εἴρηται ὁ ποῦς ὁ ἐν ἀνδράσιν, ἀπὸ τοῦ ὑποκειμένου μέρους τῷ ὅλῳ· ὑπόκειται γὰρ τῷ δεσπότῃ ὁ οἰκέτης, καθάπερ ὁ ποῦς τῷ ὅλῳ καὶ ἀνωτέρω σώματι. ὥσπερ, οἶμαι, τὰ τῶν ἀνδραπόδων ἀπιστότερα ἐκ χρόνου καιροφυλακοῦντες πολλοῦ δραπετεῦσαι μὲν τῆς τῶν κεκτημένων χειρὸς, νέους δέ τινας καὶ ἀγνῶτας αὑτοῖς δεσπότας εὑρεῖν. Ἀνδραποδοκάπηλος οὖν, ὁ σωματέμπορος· παρὰ τὸ καπηλεύειν τὰ ἀνδράποδα, ὅ ἐστι πιπράσκειν.

α 2156 Ἀνδραποδώδεις: δουλοπρεπεῖς, δουλογνώμονας. καὶ Ἀνδραποδώδης θρίξ, ἐπὶ τῶν ἠλιθίων. Πλάτων φησίν· ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπὸ ἀμουσίας.

α 2157 Ἀνδραποδώδη τρίχα: τὴν τῶν ἀνδραπόδων ἰδίως κουρὰν, ἣν ἀπελευθερωθέντες ἤλλασσον Ἀθήνησιν αἱ δοῦλαί τε καὶ δοῦλοι. καὶ ἦν ταῦτα ἀκούειν πολλῶν συνειλεγμένων ἀνδρῶν, οὐδὲ τὰ πάθη κατεσταλμένων, ἀλλ' ἔτι τὴν ἀνδραποδώδη τρίχα, φασὶν, ἐπιδεικνυμένων.

α 2158 Ἀνδράριον: ὑποκοριστικῶς ἄνδρα. θαυμάζειν δὲ τοὺς Γότθους, εἰ πεφρίκασιν ἀνδράριόν τι θαλαμηπόλον, σκιατραφές τε καὶ ἁβροδίαιτον, καὶ πόρρω τοῦ ἀρρενωποῦ τεταγμένον.

α 2159 Ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν: τουτέστιν ὑπεράγαν γεγηρακότα. ἀπὸ Τιθωνοῦ, τοῦ πάνυ γηράσαντος καὶ μεταβληθέντος εἰς τέττιγα.

α 2160 Ἀνδράχλη: διὰ τοῦ λ ἑνικῶς. ἀντὶ τοῦ αἴθρανος. τὸ τῶν γυναικῶν ποδαρούλιον. γυναιξὶν ἐπικαθέζειν ἀνδράχλης.

α 2161 Ἀνδραιμονίδης: ὁ Ἀνδραίμονος παῖς.

α 2162 Ἀνδρέας: ὄνομα κύριον.

α 2163 Ἀνδρεών: ὁ μέγας οἶκος παρ' Ἡροδότῳ.

α 2164 Ἀνδρεία: ἡ τῶν ἀνδρῶν ἡλικία. Ἀντιφῶν ἐν τῷ Περὶ ὁμονοίας. καλεῖται δὲ πρός τινων ἀνδρεία καὶ τὸ αἰδοῖον. διαφέρει δὲ ἀνδρία καὶ δικαιοσύνη, ὁμογενεῖς οὖσαι ὑπὸ τὸ αὐτὸ γένος τὴν ἀρετήν. καὶ ζήτει ἐν τῷ δικαιοσύνη.

α 2165 Ἀνδρείκελον: ὅμοιον ἀνδρί. σημαίνει δὲ καὶ τὸ μίγμα τῶν ζωγράφων, ὃ καλεῖται χρωμάτων κρίσις.

α 2166 Ἀνδρεῖος ἀνήρ: ὁ ἄφοβος. ἁμαρτάνει οὖν ὁ λέγων τὴν ἀνδρείαν ἐγκράτειαν φόβων. καὶ Ἀνδρειφόντης, ὁ ἀνδροφόνος.

α 2167 Ἀνδρηλατεῖν: ἄνδρας ἐξελαύνειν καὶ φυγαδεύειν.

α 2168 Ἀνδρία: οὐχ ἡ πολιτικὴ ἀρετὴ, ἀλλ' ἡ μείζων ταύτης, τῷ αὐτῷ ὀνόματι χρωμένη, περιγινομένη τοῦ θυμουμένου τῆς ψυχῆς. Ἀνδρεία δὲ ψυχὴ, διὰ διφθόγγου, ἀπὸ τοῦ ἀνδρεῖος.

α 2169 Ἀνδριάντα γαργαλίζειν: ἐπὶ τῶν ἀδυνάτων.

α 2170 Ἀνδρίζω· τὸ ἀνδρός τι ποιῶ.

α 2171 Ἀνδρικῶς: Ἀριστοφάνης· ἀνδρικῶς ἐμβάλλετον, καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν. οὐδὲν γὰρ, ὦ πόνηροι, λευκῶν ὀδόντων ἔργον ἐστὶν, ἣν μή τι καὶ μασσῶνται. καὶ Ἀνδρικώτερος, ἀνδρειότερος.

α 2172 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν· ὁ δὲ ἐξελθὼν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων.

α 2173 Ἀνδρὶ πεινῶντι κλέπτειν ἔστ' ἀναγκαίως ἔχον: ἐπὶ τῶν ἐξ ἀνάγκης τι ποιούντων.

α 2174 Ἄνδριοι: ἐκ τῆς Ἄνδρου.

α 2175

Ἀνδροβόρων: ἀνθρωποφάγων. ἀνδροβόρων ὁμότεχνε κυνῶν, αἴλουρε κακίστη, τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων. διὰ τοῦ ο μικροῦ διὰ τὸ μέτρον.

α 2176 Ἀνδρόγεως καὶ Ἀνδρόγεων οὐδετέρως.

α 2177 Ἀνδρόγυνος: ὁ Διόνυσος, ὡς καὶ τὰ ἀνδρῶν ποιῶν καὶ τὰ γυναικῶν πάσχων. ἢ ἄνανδρος, καὶ ἑρμαφρόδιτος. καὶ Ἀνδρογύνων, ἀσθενῶν, γυναικῶν καρδίας ἐχόντων.

α 2178 Ἀνδρόδομος: ὁ τρίκλινος.

α 2179 Ἀνδρόκλειος.

α 2180 Ἀνδροκλείδης, ὁ τοῦ Συνεσίου τοῦ Λυδοῦ τοῦ Φιλαδελφέως υἱός. οὗτος δὲ ἐπὶ Πορφυρίου τοῦ φιλοσόφου ἐδίδασκεν, ἐπειδὴ μέμνηται αὐτοῦ ἐν τῷ Περὶ τοῦ ἐμποδὼν τεχνολόγων.

α 2181 Ἀνδρόκμητος: τάφος.

α 2182 Ἀνδροκόβαλος: ὁ κακοῦργος.

α 2183 Ἀνδροκτασιάων: ἀνδροφονιῶν.

α 2184 Ἀνδροληψία καὶ Ἀνδρολήψιον: ἐὰν ἔξω τῆς Ἀττικῆς ἀνὴρ Ἀθηναῖος ἐτελεύτησε, καὶ μὴ ἐξεδίδοσαν οἱ ἐν ἐκείνῃ τῇ πόλει, ἐν ᾗ τὸ ἔργον ἐπράχθη, τὸν δοκοῦντα ἐν τῇ αἰτίᾳ εἶναι, ἐφεῖτο ἐκ τοῦ νόμου τρεῖς τῶν ἐκείνῳ ὑπόντων ἄγειν εἰς Ἀθήνας δίκην ὑφέξοντας τοῦ φόνου· καὶ τοῦτο ἀνδρολήψιον ἐκαλεῖτο. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους· πρὸς δὲ τούτοις ὁ νόμος, ἐὰν μήτε δίκας ὑπόσχωσι, παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δεδρακότας ἐκδιδῶσι, κελεύει κατὰ τούτων εἶναι μέχρι τριῶν τὸ ἀνδρολήψιον. Ἀνδροληψία οὖν τὸ ἁρπάζειν ἄνδρας ἔκ τινος πόλεως· ἠνεχύραζον γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφόνον καὶ μὴ προϊεμένην αὐτὸν εἰς τιμωρίαν. καὶ τοῦτο ἐκαλεῖτο ἀνδροληψία.

α 2185 Ἀνδρόμαχος, Νεαπολίτης ἐκ Συρίας, σοφιστής, υἱὸς Ζωνᾶ ἢ Σαβίνου, παιδεύσας κατὰ Νικομήδειαν ἐπὶ Διοκλητιανοῦ βασιλέως.

α 2186 Ἀνδρομέοιο: ἀνθρωπείου κρέατος.

α 2187 Ἀνδρόπαις: ὁ ἤδη ἀνδρούμενος παῖς.

α 2188 Ἀνδροπλήθεια: πλῆθος ἀνδρῶν.

α 2189 Ἀνδροσάθων: μεγάλα ἔχων αἰδοῖα.

α 2190 Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον: ἀπὸ μέρους. ἐπὶ τῶν μηδαμοῦ χρησιμευόντων, παρόσον ὅλον τὸ σῶμα ἀσθενές. καί, Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρίαι, ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων. καί, Ἀνδρὸς γέροντος μήποτ' ἐς πυγὴν ὁρᾶν, ἐπὶ τῶν πρὸς ἔνια μὴ χρησίμων. καί, Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι, ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων παρὰ τῶν φίλων ὠφέλειαν.

α 2191 Ἀνδροτίων, Ἄνδρωνος, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, μαθητὴς Ἰσοκράτους.

α 2192 Ἀνδροφόνος: οὕτως λέγεται κἂν γυναῖκά τις κτείνῃ.

α 2193 Ἄνδρων· εἷς ἦν τῶν υ'.

α 2194 Ἀνδρῶνα: οἶκον, ἔνθα οἱ ἄνδρες εἰώθασιν ἀθροίζεσθαι. Ἀριστοφάνης· τὰ δικαστήρια καὶ τὰς στοὰς ἀνδρῶνας πάντα ποιήσω.

α 2195 Ἀνδρώνιος ὄνος: ἐπὶ τῶν παμμεγέθη καὶ νωθρὰ σώματα ἐχόντων· ἢ διὰ τὸ ἐκεῖσε παμμεγέθεις καὶ νωθροὺς ὄνους γίνεσθαι.

α 2196 Ἀνδρωνῖτις· καὶ τὸ λεγόμενον, ἐκνεύσας τὴν ἀνδρωνῖτιν εἰς τὴν γυναικωνῖτιν κωμάσαι· διὰ τὸ δοκεῖν τὸν στρατηγὸν βραχεῖ χρόνῳ πρότερον ὑπὸ τῶν Λυσιτανῶν ἡλαττῶσθαι.

α 2197 Ἀναία: πόλις.

α 2198 Ἀναιδές: τὸ θρασὺ βλέπειν. καὶ Ἀναίδην, ἀθρόως, σφοδρῶς, ἀπηρυθριασμένως. καὶ Ἀναιδῶς: ἀναισχύντως. καὶ Ἀναιδής, καὶ Ἀναίδεια, ἡ ἀναισχυντία.

α 2199 Ἀνεμάξατο· πάντα ὅσα ἔδρασεν ἀνεμάξατο καὶ ἔτισε τῇ ἑαυτοῦ κεφαλῇ. οὕτως Αἰλιανὸς ἐν τῷ Περὶ θείων ἐναργείων.

α 2200 Ἀναίμονες: ἀναίματοι. καὶ Ἄναιμος, ὁ μὴ ἔχων αἷμα. καὶ Ἀναιμωτὶ, ἄνευ αἵματος. καὶ Ἀναίμονι δίψῃ, τουτέστιν ἀγγελικῇ· αἷμα γὰρ οὐκ ἔχουσιν οἱ ἄγγελοι, καθὸ οὐδὲ ἐσθίουσι. περὶ τοῦ ἁγίου Δανιήλ φησιν ὁ Λογοθέτης εἰς ἐπίγραμμα δῆθεν τοῦ κίονος αὐτοῦ.

α 2201 Ἀναίνεσθαι: κοινῶς μὲν τὸ ἀρνεῖσθαι, ἰδίως δὲ ἐπὶ τῶν κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια. καὶ Ἀναίνομαι, ἀπαρνοῦμαι, προΐεμαι.

α 2202 Ἀναιρεθείς: ἀντὶ τοῦ ἀναληφθείς. οὕτως Ἰσοκράτης. καὶ Ἀναιρεῖν, τὸ ἐν γαστρὶ συλλαβεῖν, καὶ τὸ τεχθὲν ἀνατρέφειν, καὶ τὸ φονεῦσαι, καὶ τὸ ἀναλαβεῖν. ὁ δὲ καθεὶς τὴν χεῖρα εἰς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιστολήν. καὶ ἔτι τὸ ἀπολλύναι, καὶ τὸ αἴρειν ἢ προσενέγκασθαι. καὶ Ἀναίρεσις, ἡ ἀνάληψις. ὁ δὲ τὴν πανοπλίαν ἔρριψεν εἰς ἀναίρεσιν τῷ βουλομένῳ. καὶ Ἀναιρεῖται, λαμβάνει. ὁ δὲ ἀναιρεῖται τὸ μεῖζον μέρος τοῦ κρεαδίου. καὶ Ἀναιρεῖσθαι, ἀναδέχεσθαι, ἀναλαμβάνειν. τῷ Σκιπίωνι ἦν τὰ διωμολογημένα πρὸς Καρχηδονίους, ὁμήρους σφᾶς δοῦναι καὶ τοὺς ἐλέφαντας καὶ τὰς τριήρεις καὶ μήτε καταλόγους ποιεῖσθαι μήτε μισθοφόροις χρῆσθαι μήτε πόλεμον πρὸς μηδένα παρὰ τὴν τῶν Ῥωμαίων γνώμην ἀναιρεῖσθαι. καὶ αὖθις· οὐ τὴν τυχοῦσαν πρόνοιαν ἐποιοῦντο Ῥωμαῖοι τοῦ μὴ κατάρχοντες φαίνεσθαι μήδ’ ἀναιρούμενοι τοὺς πολέμους. καὶ Ἡρόδοτος Ἀναιρεόμενον ἀντὶ τοῦ ἐν γαστρὶ συλλαμβανόμενον. καὶ Ἀναιρούμενοι, ἀναλαμβανόμενοι, ἐπιχειροῦντες.

α 2203 Ἀναισίμου: ἀνήλισκε, κατεδαπάνα. καὶ Ἀναισιμοῦν παρὰ Ἡροδότῳ ἀντὶ τοῦ δαπανᾶν, ἀναλίσκειν. καὶ Ἀναισιμῶσι, καταναλίσκωσι. τὰς δὲ γυναῖκας ἀπέπνιξαν, ἵνα μὴ τὸν σῖτον ἀναισιμῶσιν.

α 2204 Ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος: ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τοῦ τρόπου ποιουμένων.

α 2205 Ἀναίτιος παρὰ ἀφροσύνῃ: ἀντὶ τοῦ ἀνέγκλητος ἐπὶ ἀφροσύνῃ.

α 2206 Ἄναιτος: ἀβλαβὴς καὶ ἀναιτίατος. Σοφοκλῆς· πόλις δέ σοι κακῶν ἄναιτος τῶνδ’ ἀπαλλαχθῇ χθονός.

α 2207 Ἀνέβαλλεν· Ξενοφῶν· ὁ δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ, ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν. ἀντὶ τοῦ ἀνεβίβαζεν.

α 2208 Ἀνέβαλλεν: ἀναβολὴν ἐδίδου.

α 2209 Ἀνεβάλλετο: προοιμιάζετο, ἀνεκρούετο, ἐνήρχετο, καὶ ἀντὶ τοῦ ὑπερετίθετο. Ἀρριανός· ἀνεβάλλετο τὴν τῆς ἄλλης χώρας δῄωσιν, οἰόμενος ἐνδώσειν Ἀθηναίους. Ἀναβολὰς γὰρ καὶ τὰς ἀνακρούσεις καὶ τὰς ἀρχάς. ὅθεν καὶ τὸ ἤρχετο καὶ ἀπήρχετο. καὶ Ἀνεβάλλοντο, ἀντὶ τοῦ ἐσχηματίζοντο.

α 2210 Ἀνέβησεν: ἀντὶ τοῦ ἀνεβίβασεν. Ἡρόδοτος.

α 2211 Ἀνεβίω: ἀνέζησε. καὶ Ἀνεβιωσάμην, ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα. Κράτης. Ἀναβιώσκεται καὶ Ἀναβιώσκει μᾶλλον ἢ ἀναβιοῖ· λέγουσι δὲ καὶ ἀναζῆν.

α 2212 Ἀνεβόησεν οὐράνιον: ἀντὶ τοῦ μέγα καὶ οὐρανοῦ ἐφικνούμενον.

α 2213 Ἀνεβορβόρυξαν: ἀνέκραγον.

α 2214 Ἀνεβρύαξαν: ἀνεθορύβησαν, ἀνέκραγον. Ἐκβαλεῖν δὲ λέγουσιν ἰδίως τὸ κροῦσαι ταῖς ναυσίν.

α 2215 Ἀνεγνάμφθη: ἀνεκάμφθη.

α 2216 Ἀνέγνωσαν: ἀνέπεισαν, ἀνεδίδαξαν. ἠρέθισαν. Ἡρόδοτος· τοὺς ὀνειροπόλους ἀνεσκολόπισεν, οἵ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον.

α 2217 Ἀνέγρετον: ἀνυπόστροφον.

α 2218 Ἀνεδέχετο: προσεδέχετο, ἐξυπέμεινεν. ὁ δὲ ἀνεδέχετο τὴν Ἀσδρούβου παρουσίαν. καὶ ἀντὶ τοῦ ἐξήνεγκεν. ὁ δὲ τούτοις πιστεύων ἀνεδέχετο τὸν πρὸς Ἀριαράθην πόλεμον.

α 2219 Ἀνεδείματο: ἀνῆλθεν. ἀνῳκοδόμησε, κατεσκεύασεν.

α 2220 Ἀνέδην: δαψιλῶς, ἀκωλύτως, κατακόρως, ὡς ἔτυχεν. Ἀρριανός· οἱ δὲ τοῖς φρέασι φύλακας ἐπέστησαν, ὡς μὴ ἀνέδην ὅπως τις ἐθέλοι ὑδρεύεσθαι, ἀλλ' ἐς τὸ κοινὸν ξυλλέγεσθαι πᾶν ὅσον περ ἀνιμῷτο τοῦ ὕδατος· ἐκεῖθεν δὲ διανομὴν γίνεσθαι τὴν ἴσην ἑκάστοις. καὶ αὖθις· τὸ δίθυρσον, τὸ λογχωτὸν, καὶ τὸ περισφύριον, οἷς ἀνέδην ἐβάκχευεν, ὅτ' ἐς Διόνυσον ἐφοίτα. καὶ αὖθις· τὸ ἱερὸν περιστοιχίσαντες οὐκ εἴων τοὺς βουλομένους καὶ δεομένους τοῦ Πυθίου ἀνέδην παριέναι. ἀντὶ τοῦ ἀκωλύτως. καὶ αὖθις· ἀνέδην ἐξεπόρθουν μετὰ ἀγριότητος ἅπαντες. καὶ αὖθις· ὁ δὲ ἀνέδην διῃτᾶτο.

α 2221 Ἀνεδήσατο: ἀπηνέγκατο. ὁ δὲ τὰ πρακτέα ὀρθῶς διατάττων πολλὰς ἀνεδήσατο νίκας.

α 2222 Ἀνεδίδοτο: ἀνεπέμπετο. καὶ Ἀνεδίδου, συνεβούλευεν. ὁ δὲ συναθροίσας τοὺς φίλους ἀνεδίδου διαβούλιον, τί δέον εἴη πράττειν.

α 2223 Ἀνέδουν: ἐστεφάνουν, ἀνεδέσμευον. προσιόντες δὲ αὐτῶν ἐταινίαζον οἱ νησιῶται καὶ ἀνέδουν.

α 2224 Ἀνέδραμεν: ἀντὶ τοῦ ηὐξήθη. Ἡρόδοτος.

α 2225 Ἀνεζεύγνυ: ἀνέστρεφεν. Ἀππιανός· ὁ δὲ μετὰ πολλῆς λείας ἀνεζεύγνυ.

α 2226 Ἀνεζωπυρήθη: διεθερμάνθη.

α 2227 Ἀνέηκεν: ἀνέπεισεν.

α 2228 Ἀνέθει: ἀνέτρεχεν. καὶ ἀνέθορεν.

α 2229 Ἀνεθουσία: ἐμαίνετο.

α 2230 Ἀνεθυμιᾶτο: ἀνενεοῦτο. καὶ πρῶτον μὲν ἀρτύσαι φόνον Λυσιμάχῳ, ὃς ἦν υἱὸς Ἀρσινόης. μετὰ ταῦτα πολλῆς ἐπαγομένης ὕβρεως, ἀνεθυμιᾶτο πάλιν ἐν τοῖς πολλοῖς τὸ προϋπάρχον μῖσος.

α 2231 Ἀνέκαθεν: κατὰ τὴν ἄνωθεν ἀκολουθίαν. ἢ ἀνέκαθεν, μακρόθεν. τοιοῦτος οὖν εἰς ἡμᾶς κατήντηκε λόγος, ἀνέκαθεν ἐκ πατρὸς παιδὶ παραδεδομένος, περὶ τοῦ ἁγίου Διονυσίου, ὡς ὅτι κατὰ τὸν τοῦ σωτηρίου πάθους καιρόν, ἡνίκα μεσούσης ἡμέρας ὁ ἥλιος ἐκρύπτετο, τῷ παραδόξῳ σφόδρα τεθηπὼς καὶ τὴν ἀνθρωπείαν ὑπερβεβηκὼς γνῶσιν, κατανοήσας τὸ γεγονός, ἄγνωστος, ἔφη, θεὸς πάσχει, δι' ὃν τόδε τὸ πᾶν ἐζόφωται καὶ σεσάλευται.

α 2232 Ἀνεκαλάμησεν: ἀντὶ τοῦ ἀνεκαλέσατο.

α 2233 Ἀνεκαλοῦντο: εἰς δίκην ἦγον. οἱ δὲ ἔφοροι ἀνεκαλοῦντο αὐτὸν εἰς τὰς συναρχίας, ὡς ἂν τὰ ἀπολωλότα τοῖς Μεσσηνίοις ἀποκαταστήσῃ.

α 2234 Ἀνεκάς: ψιλῶς, τὸ ἄνω λέγουσι, καὶ Ἀνέκαθεν τὸ ἄνωθεν. Εὔπολις Αὐτολύκῳ· ἀνεκάς τ' ἐπαίρω καὶ βδελυρὸς σὺ τὸ σκέλος. Κράτης Ἥρωσι· τὸν αὐχέν' ἐκ γῆς ἀνεκὰς εἰς αὐτοὺς βλέπων.

α 2235 Ἀν' ἑκάστην: καθ' ἑκάστην. ὅτι Φαμέας τις Καρχηδόνιος δεινὰ διατίθησι Ῥωμαίους ἀν' ἑκάστην ἡμέραν.

α 2236 Ἀνεκήκιεν: ἀνεφέρετο.

α 2237 Ἀνεκλίθη: ἀνέπεσεν ἐν τῇ τραπέζῃ.

α 2238 Ἀνεκώχευον: ἀνεχώρουν. Ἡρόδοτος· ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι τὸν πόλεμον, ᾗ πεσέεται. ἀντὶ τοῦ τὰ ὀθόνια στήσαντες ἐσάλευον.

α 2239 Ἀνέκραγεν, οὐκ ἀνεκραύγασεν. καὶ ἀνακραγεῖν καὶ πάντα τὰ ὅμοια οὕτως.

α 2240 Ἀνεκρούετο: ἀνέκοπτεν, ἀνέστελλεν.

α 2241 Ἀνεκτά· Ἀγαθίας φησὶν περὶ Θευδερίχου· πρόσοικα ἔθνη συνέλεξεν. οὐ γὰρ ᾤετο ἀνεκτὰ εἶναι. ἀντὶ τοῦ ἀνέσεως ἄξια. καὶ Πολύβιος· διόπερ οὔτε τὸ λαθεῖν, οὔτε κατὰ τούτους τοὺς καιροὺς εἰσβάλλοντας εἰς Μακεδονίαν τοὺς Ῥωμαίους ἀνεκτὸν ἦν. ἀντὶ τοῦ δυνατόν. καὶ Πισίδης· οὐκ ἦν ἀνεκτὴ τοῖς παροίκοις ἡ βλάβη. ἀντὶ τοῦ ὑπομονῆς ἀξία.

α 2242 Ἀνέλεγκτον: μὴ δυνάμενον ἐλεγχθῆναι.

α 2243 Ἀνεκτησάμην: ἀνωρθωσάμην, ἀνελαβόμην.

α 2244 Ἀνεκυμβαλίαζον: κτύπον ἐποίουν, ἐκρότουν.

α 2245 Ἀνελέγετο: ἀνεπόλει, ἐξησκεῖτο. ὁ δὲ Σιμωνίδης διαμνημονικός τις ἦν, εἴπερ τις ἄλλος. τούτῳ δ' ἦν ἐοικὼς Ἀπολλώνιος ὁ Τυανεύς, ὃς τὴν μὲν φωνὴν σιωπῇ κατεῖχε, πλεῖστα δὲ ἀνελέγετο. καὶ τὸ μνημονικὸν ἑκατοντούτης γενόμενος ἔρρωτο ὑπὲρ τὸν Σιμωνίδην. καὶ ὕμνος αὐτῷ τίς ἐστιν εἰς μνημοσύνην, ὃν ᾖδεν, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον ὑπὸ τῆς μνημοσύνης εἶναι. γράφεται· καὶ ὕμνος αὐτῷ τις ἐς τὴν μνημοσύνην ᾔδετο.

α 2246 Ἀνελεήμων· ὅτι ἀστόργους τοὺς ἀπηνεῖς καὶ ἀφίλους φασίν, ἀσπόνδους δὲ τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους, ἀνελεήμονας δὲ τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον.

α 2247 Ἀνελεύθερος: ὁ μικρολόγος· ἢ ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τι. οἱ δὲ ἐς ἀταξίαν ἰδόντες καὶ ἀνάστατοι γενόμενοι ἀγεννῆ καὶ ἀνελευθέραν ἐποιήσαντο τὴν ἀναχώρησιν, οἴκαδε ἀπονοστήσαντες.

α 2248 Ἀνελεῖν: ἀνατρέψαι. πρεσβεύονται, πρῶτον τὸ κατὰ Μεγαρέων ψήφισμα ἀνελεῖν κελεύοντες καὶ τοὺς Ἕλληνας αὐτονόμους ἀφιέναι. λέγεται δὲ ἀνελεῖν καὶ τὸ ἀναλαβεῖν τὰ ἔκθετα βρέφη καὶ τρέφειν, καὶ ἁπλῶς, ὅπερ ἄν τις ἀναλαμβάνοιτο. Ἀνελοῦσα γὰρ τὸν νόμον ἐξειροτόνησεν αὐτήν· τοῦτο τὸ χωρίον Δημοσθένης μὲν ἐν τῷ κατ' Ἀνδροτίωνος εἶπε· διττὴ δὲ φέρεται ἡ γραφή, ἡ μὲν ὡς προγέγραπται, ἡ δὲ ἀντὶ τοῦ αὑτῇ αὑτὴν λέγει κατ' αἰτιατικήν. καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἤτοι παραβᾶσα διαχειροτονίαν περὶ ἑαυτῆς ἔδωκεν, ὅτι χρὴ στεφανοῦν αὐτήν· ἡ δὲ κατὰ δοτικήν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ.

α 2249 Ἀνέλῃ: παρὰ Ἡροδότῳ ἀντὶ τοῦ χρήσει. καὶ Ἀνεῖλεν, ἀντὶ τοῦ ἔχρησεν, ὅ ἐστιν ἐχρησμοδότησεν.

α 2250 Ἀνελλιπής: ἀνενδεής.

α 2251 Ἀνελκυσθῆναι: ἀναχθῆναι εἰς ὕψος. ἑτερόν τε πρὸς τούτῳ ἱστίον μετὰ τάχους ἀνελκυσθῆναι ἐγκελευσάμενος.

α 2252 Ἀνέλπιστον βίον: τὸν κάλλιστον εἰρήκασιν Ἀττικοί, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεστιν ἤδη τὰ ἀγαθά.

α 2253 Ἀνεμάξατο· πάντα ὅσα ἔδρασεν ἀνεμάξατο καὶ ἔτισε τῇ ἑαυτοῦ κεφαλῇ. οὕτως Αἰλιανὸς ἐν τῷ Περὶ θείων ἐναργειῶν.

α 2254 Ἀνέμβατος: δυσχερῶς δεχόμενος, δυσπειθής. γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν Ἐρώτων.

α 2255 Ἀνεμεστώθη: ἀντὶ τοῦ ἀνεπληρώθη τὸ γραμματεύειν βουλόμενον καὶ μὴ στρατεύεσθαι, ἢ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. Ἀριστοφάνης Βατράχοις· ἐκ τούτων ἡ πόλις ἡμῶν ὑπὸ γραμματέων ἀνεμεστώθη.

α 2256 Ἀνέμητα: ἀμέριστα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2257 Ἀνεμοκοῖται: οἱ ἀνέμους κοιμίζοντες· γένος δέ φασι τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ.

α 2258 Ἄνεμος: τὸ πνεῦμα τοῦ ἀνέμου. καὶ τὸ στοιχεῖον, ἐν ᾧ πνέει ὁ ἄνεμος. καὶ Ἀνεμίδιον. Πλάτων ἐν Θεαιτήτῳ· γόνιμον ἀνεμίδιον τυγχάνει.

α 2259 Ἀνεμοτρεφές: τὸ ἐν εὐηνέμοις τόποις τεθραμμένον· εὔτονον γὰρ τοῦτο. καὶ εὐαυξές. ἢ Ἀνεμοτρεφές, τὸ ὑπὸ ἀνέμων περιστρεφόμενον.

α 2260 Ἀνέμου παιδίον: ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

α 2261 Ἀνέμους γεωργεῖς: ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μετεχόντων. καὶ γὰρ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, οὐδὲν δὲ ἕτερον ἢ μόνην ἄχνην ἀποφέρεται, ὥστε οὐδενὸς μεταλαμβάνει.

α 2262 Ἀνεμοφθορία: ἡ πληγὴ τῶν ἀνέμων.

α 2263 Ἀνέμῳ διαλέγῃ: ἐπὶ τῶν ἀνηκούστων. παροιμία· Ἀνέμων στάσεις· ἐγχώριοι γὰρ οὐ μόνον τὰς τῶν ἀνέμων στάσεις κατὰ τὴν παροιμίαν, ἀλλὰ καὶ τὰ τῶν ἐγχωρίων ἀνθρώπων ἤθη κάλλιστα γινώσκουσι.

α 2264 Ἀνεμώκεος: ὁ ταχύς.

α 2265 Ἀνεμώλιος: ὁ μάταιος.

α 2266 Ἀνεμώνη: εἶδος βοτάνης.

α 2267 Ἀνεμύτας· Θηβαῖος τὸ γένος.

α 2268 Ἀνενδοίαστον: τὸ ἀναμφίβολον.

α 2269 Ἀνενέγκω· γενικῇ.

α 2270 Ἀνενεγκών: ἀνανήψας. ὁ δὲ ἀνενεγκὼν ἠρώτα, πόθεν ἧκον. καὶ αὖθις· ὁ δὲ ἐλειποψύχησεν· ἀνενεγκόντα δὲ αὐτὸν ἀράμενοι οἱ φύλακες παρὰ τὸν βασιλέα φέρουσιν ἐκ τῆς νόσου περισωθέντα. καὶ Ἀνενήκατο καὶ Ἀνένηκεν ὁμοίως, ἀνήνεγκεν.

α 2271 Ἀνενεοῦτο: ἀνεμιμνήσκετο. ὁ δὲ βασιλεὺς ἐπῄνει τε αὐτοὺς καὶ ἀνενεοῦτο τὸ μέγεθος τοῦ κατεργασαμένου πολέμου.

α 2272 Ἀνενεχθείσας: ἀνενεγκούσας.

α 2273 Ἀνεννόητον: ἀδίδακτον, ἀμελέτητον, ἀνάσκητον. οὐ δεῖ παραβάλλεσθαι καὶ κυβεύειν τῷ βίῳ, τὸ παράπαν ἀνεννόητον ὄντα τῆς μάχης καὶ τῆς βαρβαρικῆς χρείας. ἢ Ἀνεννόητοι, μηδεμίαν ἔννοιαν περὶ τούτου ἔχοντες. Πολύβιος· πάντων δὲ ἦσαν τούτων οἱ στρατηγοὶ ἀνεννόητοι.

α 2274 Ἀνέντες: ἐνδόντες, ἀνατείναντες. οἱ δὲ ἔπλεον τὰ ἱστία τοῖς ἀνέμοις ἀνέντες.

α 2275 Ἀνεξάλειπτος: ὁ μὴ ἐξαλειφόμενος, ὁ μὴ ἐπιλείπων.

α 2276 Ἀνεξέλεγκτος: ἀβασάνιστος, ἀγύμναστος, ἀδόκιμος.

α 2277 Ἀνεξεπίμονον: τὸ μὴ ὑπερμένον.

α 2278 Ἀνεξερεύνητον: τὸ μὴ ἐπιδεχόμενον ἔρευναν.

α 2279 Ἀνεξίτητον: ἀνεξέλευστον. ἀδιόδευτον.

α 2280 Ἀνεξιχνίαστον: ἀνεξεύρητον, οὗ μηδὲ ἴχνος ἐστὶν εὑρεῖν.

α 2281 Ἀνεξυνοῦτο: ἀνεκοινοῦτο. Ξενοφῶν.

α 2282 Ἀνεῴγεισαν: ἠνοίχθησαν. καὶ Ἀνέῳγεν, οὐχὶ ἤνοιγε· καὶ Ἀνεῴγετο. λέγει καὶ Ἀμειψίας Μοιχοῖς, καὶ οἱ νεώτεροι πολλαχοῦ. ἤδ’ ἀνέῳγε τὴν θύραν. Θετταλῇ· καὶ τὸ κεράμιον ἀνέῳχεν. Εὔπολις Πόλεσιν· οἵ δ’ οὐκ ἀνέῳξα πώποτ’ ἀνθρώποις ἐγώ. καὶ Φερεκράτης Κραπατάλοις· οὐδεὶς γὰρ ἐδέχετο, οὐδ’ ἀνέῳγέ μοι θύραν.

α 2283

Ἀνεῳγμέναι Μουσῶν θύραι: ἐπὶ τῶν ἐξ ἑτοίμου μεταδιδόντων ἢ λαμβανόντων τὰ κάλλιστα τῶν ἐν παιδείᾳ.

α 2284 Ἄνεως: ὁ ἄφωνος. ἐν Μυθικοῖς· ὣς φάσαν· οὐδὲ ἄναξ ἄνεως ἦν.

α 2285 Ἀνεπάγγελτος: ἄκλητος. Κρατῖνος Διονυσαλεξάνδρῳ· τῶν βδελλολαρύγγων ἀνεπαγγέλτων αὐτῶν φοιτήσας ἐπὶ δεῖπνον.

α 2286 Ἀνέπαλτο: ἀνεπήδησεν.

α 2287 Ἀνεπαρίασαν: εἰς μετάμελον ἦλθον. ἐπειδὴ οἱ Πάριοι πολεμούμενοι ὑπὸ Ἀθηναίων ἀνοχὰς τὸ πρῶτον αἰτήσαντες ἐπὶ τῷ δοῦναι τὴν πόλιν, εἶτα συμμαχίαν ποθὲν προσδοκήσαντες ἔλυσαν τὰ ὁμολογηθέντα.

α 2288 Ἀνεπάτησας: ἀντὶ τοῦ κατεπάτησας.

α 2289 Ἀνέπαφον: ἀνεύθυνον, καθαρὸν, ἀθιγὲς, ἀψηλάφητον. Μένανδρος Περινθίᾳ· τὰ δ’ ἄλλα ἀνέπαφα σώματα οὐδέλη.

α 2290 Ἀνεπαφρόδιτος: ὁ μὴ ἐπίχαρις καὶ ἀηδής.

α 2291 Ἀνεπαίσθητον: οὗ αἴσθησις οὐκ ἔστιν.

α 2292 Ἀνεπίδικα: τῶν μὴ θεμένων διαθήκας ἐπιδικάζεσθαι τοῖς κλήροις ὁ νόμος συγχωρεῖ τοὺς ἐγγυτάτω γένους, ὅσα ὡς υἱός τις ἢ ὑιδοῦς τοῦ τετελευτηκότος ἀξιοῖ κατέχειν. ταῦτα ἀνεπίδικα λέγεται.

α 2293 Ἀνεπιεικές: ἀνοίκειον, ἀπρεπές. Ἀρριανός· ὁ δὲ Ἀλέξανδρος τοσοῦτον ἀνεδέησεν ἀνεπιεικές τι ἐς τοῦτο ἐργάσασθαι ἢ ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐκεῖνο ἐπιτρέψαι.

α 2294 Ἀνεπικλήτως: μηδὲν ἐγκληθέντες. Θουκυδίδης· οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ’ οἴκου ἀνεπικλήτως. καὶ Ἰώσηπος· ἄξιον δέ μοι τυγχάνειν σοῦ χρηστοῦ, ἀνεπίκλητόν σοι παρασχόμενος τὴν ἐμαυτοῦ πίστιν.

α 2295 Ἀνεπίληπτον: ἄμεμπτον. καὶ Ἀνεπιλήπτως, ἀκαταγνώστως, ἢ ἀνεπιλήστως.

α 2296 Ἀνεπίπληκτος: ᾧ οὐδεὶς ἐπιπλήττει ἁμαρτάνοντι. Εὔπολις.

α 2297 Ἀνεπισήμαντον: ἀκλεᾶ, ἄδοξον. Πολύβιος· οὐκ ἄξιον ἀνεπισήμαντον παραλιπεῖν τὸν Ἀσδρούβαν, ἄνδρα ἀγαθὸν γενόμενον.

α 2298 Ἀνεπισταθμεύτους: σταθμὸν μὴ δεχομένους ἤτοι ἀγγαρείαν. Πολύβιος· συγχωρεῖν τὸν βασιλέα Φίλιππον Θασίους ἀφρουρήτους, ἀφορολογήτους, ἀνεπισταθμεύτους. ἢ σταθμὰ μὴ δεχομένους, τούτεστιν ζυγοστατουμένους.

α 2299 Ἀνεπιστάτητον: ἀφύλακτον. καὶ Ἀνεπιστάτως, ἄνευ ἐπιστασίας. οὐκ ἄξιον ἀνεπιστάτως παραδραμεῖν περὶ τῶν τοιούτων.

α 2300 Ἀνεπίτροπος· οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς ἀνεπίτροπος, οὔθ’ ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.

α 2301 Ἀνεπιφάτως: ἀπροσδοκήτως, ἀμιγῶς, καταμόνας. ἐντειλάμενος ἀνεπιφάτως ἐντυχεῖν τῷ βασιλεῖ καὶ ἀναδοῦναι τὴν ἐπιστολήν. ἢ ἀφθόνως.

α 2302 Ἀνεπόλει: ἀνέπραττεν, ἀνέστρεφεν εἰς ἑαυτὸν τὰ μαθήματα.

α 2303 Ἀνεπόπτευτον: τὸ μὴ ἐποπτεῦον· οὕτως Ὑπερίδης. τὸ δὲ Ἐποπτεῦσαι δηλοῖ Φιλόχορος λέγων· ἀδικεῖ πάντα τά τε μυστικὰ καὶ τὰ ἐποπτικά. καὶ πάλιν· Δημητρίῳ μὲν οὖν ἴδιόν τι γέγονε παρὰ τοὺς ἄλλους, τὸ μόνον μυηθῆναί τε ἅμα καὶ ἐποπτεῦσαι καὶ τοὺς πατρίους χρόνους τῆς τελετῆς μετακινηθῆναι.

α 2304 Ἀνεπόψιος: ὁ ἀθεώρητος.

α 2305

Ἀνεπτεροῦτο: ἐλπίσι χρησταῖς ᾕρετο. ὁ δὲ Νεμεσίων ἀνεπτεροῦτο καὶ μετέωρος ἦν ταῖς ἐλπίσι καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι, ἐμοὶ περιτυχών. καὶ Ἀνεπτερῶσθαι τὴν ψυχὴν, οἷον ἀνασεσοβῆσθαι. Κρατῖνος.

α 2306 Ἄνερ· παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· φίλτατε ἄνερ. χρῆσις τοῦ ἄνερ· οὐκ ἐπὶ τοῦ ἀνδρὸς τῆς γυναικὸς εὑρέθη ἡ κλητικὴ, ὥσπερ ἐκεῖ ἐστι παρὰ τῷ Ποιητῇ· ἄνερ, ἀπ’ αἰῶνος νέος ὤλετο.

α 2307 Ἀνεργήσει: ἀναρτήσει καὶ οἷον κολάσει.

α 2308 Ἀνερίναστος: παροιμία. ἐπὶ τῶν ἅπερ ἂν λάβωσι μὴ διακατεχόντων. καὶ Ἀνερίναστος συκῆ, ᾗ μὴ προβέβληνται οἱ ἐρινεοί. ἐρινεὸς δέ ἐστι τῆς ἀγρίας συκῆς ὁ καρπὸς, ὃν καὶ ἀπαρτῶσι τοῖς ἡμέροις, ὡς ἂν οἱ ἐξ αὐτῶν καλούμενοι ψῆνες εἰς τοὺς ὀλύνθους μεταστάντες τελεσφορηθῆναι τούτους παρασκευάσωσι. τοῦτο δ’ ἐρινάζειν λέγεται. οἱ δὲ τὸ ἀνερίναστος, ἀντὶ τοῦ μαλακὸς καὶ ἄγονος.

α 2309 Ἀνερρίπιζεν: ἀνεκίνει, ἐτάρασσεν, ἀνήγειρεν.

α 2310 Ἀνέρριπτον: ἀνελάμβανον. καὶ Ἀνέρριπται κύβος· οἷον ἀποκεκινδύνευται. φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.

α 2311 Ἀνέρριψαν: ἀνέβαλον, ἢ ἀπηρνήσαντο, ἢ ἀνεβάλοντο. οἱ δ’ ἅμα πάντες ἀναρρίψαντες ὄλεθρον.

α 2312 Ἀνέριστα: ἀφιλονείκητα.

α 2313 Ἀνερριχῶντο: χερσὶ καὶ ποσὶ περιδρασσόμενοι ἀνήρχοντο. κυρίως τὸ τοῖς ποσὶ καὶ χερσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν ἀναρριχᾶσθαι ἔλεγον. Ἑλλάνικος· ἀναρριχᾶται δὲ ὥσπερ πίθηκος ἐπ’ ἄκρα τὰ δένδρα. τουτέστι πρὸς ὕψος ἀνέβαινε, πρὸς δένδρα καὶ τοίχους. εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων. εἶδος δέ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καί ἐστιν οἷον ἀραχνᾶσθαι· αἱ γὰρ ἀράχναι νήθουσι κατὰ τὰς ἐναερίους ὁδούς. Ἀριστοφάνης· πρὸς ταῦτ’ ἀνερριχᾶτ’ ἂν πρὸς τὸν οὐρανόν. περὶ τοῦ κανθάρου λέγων.

α 2314 Ἀνερμάτιστον: ἀστήρικτον, ἄοπλον, ἀπαρασάλευτον.

α 2315 Ἀνέρρωσεν: ὑγιᾶ εἰργάσατο. ὁ δὲ Νικάνωρ ἐνόσησε, καὶ πολλάκις ὁ θεὸς ἀνέρρωσεν αὐτόν.

α 2316 Ἄνες· δοτικῇ.

α 2317 Ἀνέσαντες: ἀνακαθίσαντες.

α 2318 Ἀνέσαιμι: ἀναπαύσαιμι.

α 2319 Ἀνέσειον: ἐτάραττον, ἀνεκίνουν. οἱ δὲ Κρῆτες, φοβούμενοι μή τι τιμωρίας τύχωσιν, ἀνέσειον τὰ πλήθη παρακαλοῦντες τὴν ἐξ αἰῶνος παραδεδομένην ἐλευθερίαν διαφυλάττειν.

α 2320 Ἀνεσίαν: τὴν ἄνεσιν, καὶ τὴν ἄδειαν. Κρατῖνος Βουκόλοις.

α 2321 Ἀνεσκευάσαντο: τὸ ἀναστάτους γενέσθαι καὶ οἷον ἀπείπασθαι. καὶ Ἀνεσκευασμένοι, τὰ ὅπλα ἐνδυσάμενοι.

α 2322 Ἀνεσκολοπισμένον: ἀνεσταυρωμένον· σκόλοπες γὰρ τὰ ὀρθὰ ξύλα ἢ κάλαμοι.

α 2323 Ἀνεσόβησαν: διήγειραν. οἱ δὲ Ἄβαροι τῷ σκληρά τε καὶ ὀγκώδη φρονήματα ἔχειν τὴν ὡς ἀλλήλους ἀνεσόβησαν ἔριν.

α 2324 Ἀνεσώσατο: ἀνεκτήσατο. ὁ δὲ ἐκστρατείαις χρώμενος φρούρια ἀνεσώσατο τοῖς Ῥωμαίοις.

α 2325 Ἀνέσπακε· Θουκυδίδης. ἀνεύρηκεν, εἴληφεν. Μένανδρος Ῥαπιζομένῃ· πέποθε γὰρ, ὦ φίλοι θεοὶ, τούτους ἀνεσπάκασιν οὗτοι τοὺς λόγους.

α 2326 Ἀνεστάλη: ἐσείσθη, μετεκινήθη.

α 2327 Ἀνεσταυρώθη: ἀνεσκολοπίσθη.

α 2328 Ἀνέστελλον: ἀπεῖργον, ἐκώλυον. δράκοντες ἄρα μέγιστοι τὸ μέγεθος ἀνέστελλον αὐτούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2329 Ἀνεστηκώς: ἀνάστημα ἔχων. Εὐνάπιος· ἐλεύθερος δὲ ὢν καὶ ἀνεστηκὼς ἐκ παιδὸς τὴν ψυχὴν γενόμενος.

α 2330 Ἀνέστησαν: μετῴκισαν. νεμεσᾷ τε καὶ ἀγανακτεῖ ὁ Καῖσαρ, ὅτι μὴ ἀνέστησαν ἁπαξάπαντας Σαβείρους τε καὶ Ἀλβανούς.

α 2331 Ἀνέστιος: ἄοικος. μηδὲν ἐς Λυσίστρατον, μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ. οὗτοι ὡς πένητες διεβάλλοντο.

α 2332 Ἀνεστομώθησαν: ἀνεκρούσθησαν, ἢ ἐπληρώθησαν.

α 2333 Ἀνεσύρατο: ἐγύμνωσεν.

α 2334 Ἀνέσφηλεν: ἀνέζησεν.

α 2335 Ἀνέσχετο: ἀνέτεινεν.

α 2336 Ἀνεσχήκει: ἀνέτειλε. καὶ ἡ σελήνη ἀνεσχήκει λαμπρὰ, οἷα δὴ οὐ πολὺ πανσελήνου ἀποδέουσα.

α 2337 Ἄνετέ μ’, ἄνετε παρήγοροι. τάδε γὰρ ἄλυτα κεκλήσεται. οὐδέποτ’ ἐκ καμάτων παύσομαι, ἀνάριθμος ὧδε θρήνων: Σοφοκλέους ἐξ Ἠλέκτρας πρὸς τὸν χορόν. ἀντὶ τοῦ ἐάσατε, παύσασθέ με παραμυθούμεναι, ὅ ἐστιν ἐπιτρέπετε ὀδύρεσθαι καὶ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. τὸ γὰρ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἔσται, ὅ ἐστιν οὐδέποτε παύσομαι, ἀλλ’ ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι· οἷον οὐκ ἀριθμοῦσα αὐτοὺς, ἀλλὰ δαψιλῶς χρωμένη. ἐν ὑπονοίᾳ δὲ κεῖται ἀνάνομος, οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνάριθμος, τουτέστιν ἐν θρήνοις ἀριθμηθήσομαι, ἀεὶ θρηνοῦσα.

α 2338 Ἀνετίμων· τὸν πόλεμον τὸν πρὸς Ἀντώνιον ἐσόμενον ὑπετόπουν καὶ διὰ τοῦθ’ ἑαυτοὺς ἀνετίμων οἱ στρατιῶται.

α 2339 Ἀνέτλη: ἔπαθεν, ὑπέμεινεν. παραβὰς δὲ τῆς ἀρᾶς ἀνέτλη. καὶ αὖθις· ἀνέτλησαν γοῦν πολλὰ καὶ ποικίλα καὶ πανδημεὶ καὶ ἰδίᾳ ἕκαστος.

α 2340 Ἄνετον: Ὑπερίδης τὸ ἀνειμένον θεῷ ἱερόν. λέγεται δὲ καὶ ἄνετος βίος, ὁ ἀνειμένος καὶ μαλακός.

α 2341 Ἀνετύφετο: ὑπεκαίετο, διηγείρετο. καὶ γὰρ ἀπαραίτητόν τι μέγεθος αὐτοῖς ὑπετύφετο φιλοτιμίας λαβεῖν τὸν ἀρχιληστήν.

α 2342 Ἀνευάσαι: τὸ εὐοῖ ᾆσαι. ἔστι δὲ τοῦτο ὕμνος εἰς Διόνυσον.

α 2343 Ἀνευθέτου: ἀχρήστου.

α 2344 Ἀνεύθυνος: ἀκατάκριτος. ὁ δὲ ἀνεύθυνον ἐπ’ αὐτοῖς τὴν ἐξουσίαν λαβών.

α 2345 Ἄνευ ξύλου μὴ βαδίζων: περὶ Κλεομένους λέγει· ὃς στρατηγὸς ὢν Ἀθηναῖος προσεποιεῖτο πρὸς τοῖς ἄλλοις κακοῖς καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι’ ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ.

α 2346 Ἀνεῦρον· καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ. ὅτι ἡ ἀνὰ πρόθεσις χάριν κόσμου κεῖται· ὥσπερ καὶ τὸ κερδαίνω, παρακερδαίνω, καὶ κληρονομῶ, ἀποκληρονομῶ. τῆς αὐτῆς ἐστι νοήσεως καὶ τὸ ἐτρύγησα καὶ ἀπετρύγησα.

α 2347 Ἀνευφημῶ σε.

α 2348 Ἀνευφήμησεν: ἀντὶ τοῦ ἐθρήνησε. Πλάτων.

α 2349 Ἀνέφαπτον: ἀψηλάφητον. ἀλλ’ ὥσπερ τι ἐξ οὐρανοῦ πάθος ὅλῳ τῷ γένει ἐπιπεσὸν ἀνέφαπτον οὐδένα παντελῶς εἴασαν.

α 2350 Ἀνέφαινον: φανερὸν ἐποίουν.

α 2351

Ἀνέφελον: ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον. Σοφοκλῆς· ἀνέφελον ἐπέβαλες οὔποτε καταλύσιμον, οὐδέποτε λησόμενον ἡμέτερον οἷον ἔφυ κακόν. ἀντὶ τοῦ οὐ καταλυόμενον, λήθης τυχεῖν μὴ δυνάμενον.

α 2352 Ἀνέφερε: διεδείκνυτο, ἀνήγετο. ὁ δὲ πρῶτος εἰσελαύνει θρασὺν ἵππον ἔχων καὶ γενναῖον, καὶ μόλις ἀνέφερεν ὑπὲρ τοῦ κλύδωνος. καὶ αὖθις· τὰ μὲν αὖος ἦν ὑπὸ τοῦ φόβου, τὰ δὲ ἀνέφερεν αὐτὸν ἡ ἐκ τοῦ θεοῦ πρόσταξις.

α 2353 Ἀνέφερεν: ἀνέπεμπεν. ὅς γε οὐ πρὸς τὴν παρατρέχουσαν καὶ κενὴν δόξαν ἀνέφερε τὸν ἑαυτοῦ βίον, ἀλλὰ πάντα εἰς τὸ θεῖον ὑπερτιθεὶς ἐκεῖθεν πάντα ἔπραττεν.

α 2354 Ἀνέφερε: παρεμυθεῖτο, παρεκάλει.

α 2355 Ἀνέφερον: ἀνεμιμνήσκοντο. ἀνέφερον τοὺς ἐπιτηδείους, ὅπου τις εἶεν. ἢ Ἀνέφερον, ἑαυτὸν ἀνεκτώμην. διὰ ταῦτα ῥᾴων ἦν, καὶ ἀνέφερον. ἀντὶ τοῦ ἤμην. καὶ αὖθις· διὰ δὲ τὸ βάρος τῶν ὅπλων ἐκ τῶν καταδυομένων ἀνέφερεν οὐδὲ εἷς.

α 2356 Ἀνέφικτον: ἀκατάληπτον.

α 2357 Ἀνεφρόνησεν: ἐκ τῆς μέθης ἀνένηψεν. ἐπεὶ δ’ ἀνεφρόνησε καὶ τὸ τολμηθὲν ἐσκοπεῖτο καὶ ἐνενόει τὸ ἀσέβημα, διπλαῖ ἔννοιαι τοῦτον εἰσῄεσαν.

α 2358 Ἀνέφυ: ἀνέζησεν.

α 2359 Ἀνεφυσῶντο: ἀντὶ τοῦ μετεωρίζοντο.

α 2360 Ἀνεχαίτισεν: ἀντὶ τοῦ ἀνέκοψεν ἢ ἀνέτρεψεν.

α 2361 Ἄνεχε: ἀντὶ τοῦ πάρεχε. Θεόπομπος. ἄνεχέ μοι τὴν χεῖρα.

α 2362 Ἀνέχει: σῴζει· οὐχ ὥς τινες ἀντὶ τοῦ ἐπέχει. καὶ Θουκυδίδης· αἱ περιουσίαι τῶν χρημάτων τοὺς πολέμους ἀνέχουσιν. ἀντὶ τοῦ σῴζουσι. καὶ αὖθις· τὴν πορθουμένην ἀνέχονται σιγήν. ἢ Ἀνέχειν, βαστάζειν. ὡς τὸν πηλὸν ἐς ἀχανὲς ἐκπίπτειν βάθος καὶ μηδὲν ἐπιπολῆς ἀνέχειν δύνασθαι.

α 2363 Ἀνέχει: ἀνυψοῖ, τιμᾷ. Σοφοκλῆς· ἐπεί σε λέχος δοριάλωτον στέρξας ἀνέχει θούριος Αἴας. ἀντὶ τοῦ ἐπεί σε τιμᾷ ὁ Αἴας δοριάλωτον, στέρξας τὸ λέχος σου. ἢ οὕτως· ἀλλ’ ἐπεί σε ἀνέχει ὁ Αἴας δοριάλωτον λέχος σου στέρξας. πρὸς Τέκμησσαν δὲ ὁ λόγος, γυναῖκα Αἴαντος αἰχμάλωτον. ἢ Ἀνέχει, ἀντὶ τοῦ ὑπερκεῖται. μέχρι ἐς τὸ ὄρος, ὃ ταύτης ἀνέχει. καὶ πόνοις τε ἀνέχων ῥᾷστα, καὶ σκληρῷ βίῳ καὶ τραχεῖ ἐνειθισμένος. καὶ Σοφοκλῆς· οὐκ ἀνέχουσι τῶν πόνων. ἀντὶ τοῦ οὐ περιγίνονται τῶν πόνων. ἢ Ἀνέχειν, ἀντὶ τοῦ ἐπέχειν. κωλύειν. ἀνέχειν τε αὐτοῦ τὰς ἐπὶ πλεῖον ὁρμὰς καὶ ἐκδρομὰς καὶ πρὸς ἑαυτὸν τὴν σχολὴν ἄγειν.

α 2364 Ἀνέχομαι· μετὰ γενικῆς. ἀνέχομαί σου τοῦ θράσους. καὶ Ἀνέχομεν, ἀντὶ τοῦ αὐξάνομεν. Ἀριστοφάνης· ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν. ὅταν τὰ μυστήρια αὔξωμεν, φησὶν, τῶν θεῶν, Δημήτρας καὶ Περσεφόνης, ὅταν τὰς τελετὰς αὔξωμεν· τοῖς γὰρ ὕμνοις ἐπαίρομεν αὐτάς. τοῦτό ἐστι τὸ ἀνέχομεν. ὅτι τὸ Ἀνέχομαι, ἀντὶ τοῦ καταφρονῶ, μετὰ γενικῆς· τὸ δὲ ὑπομένω, μετὰ αἰτιατικῆς. οὐ γὰρ ἀνέχομαι τὸν ἥλιον γυμνῇ τῇ κεφαλῇ. ὁ δὲ ἀνέχομαι ἀεὶ γενικῇ. ἀνέχομαί σου τοῦ θράσους. καὶ ὁ ἰατρὸς δυσωδίας ἀνέχεται. εἰ μή πώς ἐστι φανερὸν, τὸν λόγον ὡς ψευδῆ οὐκ ἠνέσχετο.

α 2365 Ἀνεχρήσαντο: διέφθειραν. οὕτως Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ εἰς χρείαν τινὲς παρειλήφασιν.

α 2366 Ἀνεχύθη: μετωχετεύθη. καὶ χάλαζα ἰσχυρὰ ἐπέρρευσε, καὶ διὰ πάσης ἡμέρας σκότος ἦν βαθύτατος. ἀρσενικῶς. καὶ Ἀνεχύθησαν, ἐπλήμμυραν. καὶ οἱ ποταμοὶ πληρωθέντες ἀνεχύθησαν.

α 2367

Ἀνεψύχησεν: ὅπερ ἐν τῇ συνηθείᾳ ἀνέψυξεν.

α 2368 Ἀνείδεος: ὁ ἀσχημάτιστος.

α 2369 Ἀνεικάσασθε: ἀνασκώψατε. Δραπέτισι Κρατῖνος.

α 2370 Ἀνείκαστος: ὁ εἰκασμῷ τινι μὴ ὑποβαλλόμενος.

α 2371 Ἀνεῖλεν: ἀντὶ τοῦ ἐμαντεύσατο. διφορεῖται γὰρ ἡ λέξις. Λακεδαιμόνιοι ἐτείχιζον τὸν Ἰσθμόν. Ἀθηναίοις δὲ ὁ θεὸς τὰ μὲν πρῶτα χρωμένοις ἀνεῖλε φεύγειν· λιπαροῦσι δὲ ἔχρησε· τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ᾽ ὀνήσει. μηδὲ σύ γ᾽ ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα πολλὸν ἀπ᾽ ἠπείρου στρατὸν ἥσυχος, ἀλλ᾽ ὑποχωρεῖν νῶτον ἐπιστρέψας· ἐπί τοί ποτε κἀντίος ἔσσῃ. ὦ θεία Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν ἤπου σκιδναμένης Δημήτερος ἢ συνιούσης. ταῦτα ἐξηγήσατο Θεμιστοκλῆς ὁ Νεοκλέους, ὃς δι᾽ ἐλευθεριότητα ἀπεκηρύχθη, τεῖχος μὲν ξύλινον τὰς ναῦς εἰπών. τὴν δὲ Σαλαμῖνα θείαν οὐκ ἂν ὀνομάσειν τὸν θεὸν, εἰ τὰ τέκνα τῶν Ἑλλήνων ἔμελλεν ἀπολέσειν. συνεβούλευσε δὲ περὶ τὴν Σαλαμῖνα ναυμαχῆσαι, καὶ σοφὸς ἐκλήθη διὰ τοῦτο καὶ στρατηγὸς ἀπεδείχθη, καὶ τὴν πρὸς Αἰγινήτας ἔχθραν ἀποθέσθαι, καὶ τὴν πόλιν ἐκλιπεῖν, καὶ τὰ γένη Τροιζηνίοις καὶ Αἰγινήταις παρακαταθέσθαι. καὶ αὖθις· ἔπεμψαν οἱ Σπαρτιᾶται χρησόμενοι τῆς μήνιδος ἄκος λαβεῖν γλιχόμενοι· καὶ ἀνεῖλεν οὕτως· ἶσον τοι Δῆλόν τε Καλαβρίην τε τίθημι Πυθώ τ᾽ ἠγαθέην, καὶ Ταίναρον ἠνεμόεσσαν. ἐπεὶ ἔστιν ὅτε τὸ ἀνεῖλεν ἀντὶ τοῦ ἐφόνευσε λαμβάνεται. ἀνελεῖν δὲ τὸ μαντεύεσθαι, ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ πνεῦμα καὶ πληροῦσθαι τοῦ θεοῦ, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ φονεύειν φαμὲν ἀνελεῖν ἢ ἀπὸ τοῦ ἄνω λαμβάνειν τὸ ἐν βάθει πνεῦμα τοῦ ἀνδρὸς ἢ ἐκ τοῦ ἐναντίου, ἀπὸ τοῦ ἀνελεῖν τὴν γνῶσιν. λέγεται δὲ ἀνελεῖν καὶ τὸ ἀναλαβεῖν τὰ ἔκθετα βρέφη καὶ τρέφειν, καὶ ἁπλῶς ὅπερ ἄν τις ἀναλαμβάνοιτο.

α 2372 Ἀνείλλεσθαι: συστρέφεσθαι, καὶ ἀλλήλους τοῖς δόρασι τύπτειν. καὶ Ἀνείλλεται, ἀνειλεῖται. καὶ Ἀνείλετο, ἀνέλαβεν.

α 2373 Ἀνειλήθυιαν: ἄτοκον. Εὐριπίδης.

α 2374 Ἀνείληπτός ἐστι τὸ Ἑλληνικὸν, οὐχὶ ἀνάληπτος, οὐδὲ ἕτερον τοιοῦτον οὐδέν.

α 2375 Ἀνήλιπος: ὁ ἀνυπόδητος.

α 2376 Ἀνείλιττε τὴν τυραννίδα.

α 2377 Ἀνειλόμην: δύο δηλοῖ, τό τε ἔθρεψα καὶ τὸ ἐβάστασα.

α 2378 Ἀνειλύσπω: ἀνέβαινες.

α 2379 Ἀνειμέναι: ἐκλελυμέναι. παρειμέναι. καὶ παρὰ Σοφοκλεῖ ἀνειμένη, ἀντὶ τοῦ ἄνεσιν ἔχουσα πανταχόθεν. ἀνειμένη μὲν, ὡς ἔοικας, αὖ ἐκτρέφῃ· οὐ γὰρ πάρεστ᾽ Αἴγισθος. καὶ Ἀνειμένον ἄλσος, τὸ τῷ θεῷ ἀφιερωμένον. καὶ τὸ ἠνεῳγμένον. καὶ τὸ ῥᾳθύμως τι ποιεῖν. ἀδύνατόν τε ἦν αὐτοῖς οὕτως ἀνειμένα πως καὶ πονουμένοις ἐπικρατήσειν. καὶ, ἀνειμένων πόλοιο παμφαῶν πτυχῶν. ἀντὶ τοῦ ἀνεῳγμένων.

α 2380 Ἀνείμονες: ἀνίματοι, ἄνευ ἱματίων.

α 2381 Ἀνείμουν τοῖς δόρασιν: ἀντὶ τοῦ ἀνεῖλκον.

α 2382 Ἀνεῖν· Ξενοφῶν. ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσι καὶ ἀνεῖν.

α 2383 Ἀνεῖναι: ἀφεῖναι. καὶ Ἀνεῖναι κύβον, ἀντὶ τοῦ ἀναρρίψαι κύβον.

α 2384 Ἀνεῖπεν: ἀνεκήρυξεν, ἀνηγόρευσεν. Ἀριστοφάνης· ὁ δ᾽ ἀνεῖπ᾽ εἴσαγ᾽, ὦ Θέογνι, τὸν χορόν.

α 2385 Ἀνεῖργεν· αἰτιατικῇ. ἀπεκώλυσε. καὶ Ἀνεῖρξαν, ἀπεκώλυσαν. ἀργύριον αἰτοῦντα ἀπειλοῦντά τε πολεμήσειν, εἰ μὴ λάβοι, οἱ Ῥωμαῖοι ἀνεῖρξαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2386 Ἀνείρηκε τὸν χρησμόν· καὶ τὸν κήρυκα ἀνειπεῖν λέγουσιν.

α 2387 Ἀνεῖρπεν: ἐσύρετο.

α 2388 Ἀνειρύσω: ἀνελκύσω. ἢν δέ μέ χ’, ὡς ἐκ νόσου ἀνειρύσω, ὧδε καὶ ἐχθρᾶς ἐκ πενίης ῥύσῃ, δέξο χιμαιροθύτην.

α 2389 Ἀνείς: ἀφείς. καὶ Ἀνεῖσα, ἀφεῖσα.

α 2390 Ἀνεῖσθαι: λελύσθαι.

α 2391 Ἄνεισιν: ἀνέρχεται.

α 2392 Ἀνείσθω: συγχωρείσθω.

α 2393 Ἀνεῖται: παρεῖται. καὶ Ἀνεῖται, ἀπολέλυται.

α 2394 Ἀνεῖτο δὲ αὐτῷ ἡ κόμη, καὶ ποτὸν ὕδωρ ἦν: ἀντὶ τοῦ ἀπολελυμένη ἦν. περὶ Σαμουὴλ τοῦ προφήτου φησίν. Ἀνεῖτο δέ, ἀντὶ τοῦ ἀνέκειτο. ἐπεὶ δὲ ὁ Ναρσῆς, ὁ τῆς Ἰταλίας στρατηγὸς, ἐς πάντα ξυγκατεμίγνυε τῷ μεγαλουργῷ τὸ νουνεχὲς, καὶ ἐκοινώνει αὐτῷ τῆς φρονήσεως ἡ ῥώμη καὶ ἅπας τῷ κρείττονι ἀνεῖτο, ταύτῃ τοι οὐ πρὸς τὸ ἐμμελὲς ἐκκλίνας, αὐτίκα καὶ ὅγε ἐπεραιώθη τὸ ῥεῖθρον σὺν τῷ ῥείθρῳ.

α 2395 Ἀνεῖχεν: ἐκώλυε. Χαριέττων μὲν οὖν καὶ πρὸ τούτου φανερός τις ὢν καὶ ἀνυπόστατος τῷ τε πλεονάζοντι τοῦ δραστηρίου φοβῶν ἀνεῖχεν ἀπὸ λῃστείας ἅπαντας. ἢ Ἀνεῖχε, παρεδέχετο. τὸ μὲν πρῶτον οὐθεὶς ἐπίστευεν οὐδ’ ἀνεῖχε τὸν λόγον.

α 2396 Ἀνηβητηρίαν: πᾶν ἀνελὼν νεότητος.

α 2397 Ἄνηβος: ὁ ἀνήλικος. ὁ μήπω τὴν ὀφειλομένην ἡλικίαν ἐπιφθάσας. ἥβη γὰρ ἡ ἀκμή. καὶ Ἀνηβῶν, ἀνανεάζων.

α 2398 Ἀνηγμένος: ηὐξημένος.

α 2399 Ἀνῆγον· οἱ δὲ ὡς ἐπὶ μεγίστην ἑορτὴν, ἣν τότε ἀνῆγον, συνεληλύθεισαν αὐτοὶ ἕκαστος.

α 2400 Ἀνήειμεν: ἀνηρχόμεθα.

α 2401 Ἀνήϊξεν: ἀνώρμησεν.

α 2402 Ἄνηθον: εἶδος βοτάνης ἀρτυματικῆς.

α 2403 Ἀνῆκεν: ἀφῆκεν.

α 2404 Ἀνήκεστον: ἀνίατον, ἀθεράπευτον. ἐς τί μοι βλέψασα θάλπῃ τῷδ’ ἀνηκέστῳ πυρί; ἀντὶ τοῦ παρακόπτῃ τὰς φρένας ὡς ἐν πυρετῷ. ἀνηκέστῳ δὲ πυρὶ, ἀνελπίστῳ προσδοκίᾳ.

α 2405 Ἀνήκει: Ἀντιφῶν ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ ἀνῆκα ἀντὶ τοῦ ἀναβέβηκα ἔφη, Θουκυδίδης δὲ ἀνήκουσιν ἀντὶ τοῦ τελευτῶσι, λήγουσι. καὶ Δημοσθένης ἀνήκοντος ἀντὶ τοῦ διαφέροντος. καὶ Ἀνήκοντες, ἀνελθόντες. τῆς μὲν ἐν τῷ λέγειν δυνάμεως οὐκ ἐπὶ τοσοῦτον ἀνήκοντες, ὥστε μέγα τι καὶ λαμπρὸν ἀπ’ αὐτοῦ δυνηθῆναι εἰς ὄχλων προαγωγήν, τῷ γε μὴν κατεσκληκότι τοῦ βίου καὶ τῇ εἰς μετριότητα πλάσει τῶν ἠθῶν μέγα δυνηθέντες οὐκ ἐλάχιστα καὶ οὗτοι πλήθη περιεβάλλοντο. Ἀνῆκον δὲ τὸ πρέπον.

α 2406 Ἀνηκόντιζεν: ἀνεφέρετο.

α 2407 Ἀνήκοος· λόγων ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν. οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι.

α 2408 Ἀνηκούστησεν: οὐκ εἰσήκουσεν. παρήκουσεν. ὁ δὲ μὴ ἀνηκουστῆσαι τοῦ ὑπάτου κατατολμήσας ἀφίκετο. καὶ Ἡρόδοτος· οἱ δὲ ἐμάχοντο ἀνηκουστήσαντες τοῖς στρατηγοῖσιν.

α 2409 Ἀνήλατος: ὁ μηδέπω δαμασθείς.

α 2410 Ἀνηλεής: ὁ ὠμός.

α 2411 Ἂν ἡ λεοντῆ μὴ ἐξικνῆται, πρόσαπτε καὶ τὴν ἀλωπεκῆν: ὁ νοῦς· ἐὰν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι. καὶ Ὅμηρος· ἠὲ δόλῳ ἠὲ βίῃ. ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν.

α 2412 Ἀνήλιπος: ὁ ἀνυπόδετος.

α 2413 Ἀνήλωται: πεφόνευται.

α 2414 Ἀνημμένος: ἐξηρτημένος· ἢ καιόμενος.

α 2415 Ἀνήμερος: ἄγριος.

α 2416 Ἀνημιωβολιαῖα: ἀντὶ τοῦ ἕκαστον αὐτῶν ἥμισυ ὀβολοῦ, ἄξια ἡμιωβολίου. ἀπὸ δὲ συντάξεως ὀνόματα γίνεται· καλὸς καὶ ἀγαθὸς, καλοκαγαθία· θεὸς ἐχθρὸς, θεοεχθρία· οὕτως ἀνημιωβόλιον, ἀνημιωβολιαῖα.

α 2417 Ἀνήνασθαι: ἀπαρνήσασθαι. Ὅμηρος· αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ’ ὑποδέχθαι. καὶ Αἰλιανός· οἱ δὲ, οὐδὲ γὰρ ἔσχον ἀνήνασθαι τὸ πρόσταγμα, ἐπ’ Ἀντιγόνῳ τίθενται τὴν κρίσιν, ὑπὲρ τοῦ τίνα χρὴ Λοκρικὴν πόλιν πέμπειν δασμόν.

α 2418 Ἀνηνέγκατο: ἐκ βάθους ἐβόησεν. Αἰλιανὸς περὶ Κροίσου· ὁ δὲ ἀνηνέγκατο ἄρα στενάξας καὶ ἐς τρὶς ἐκάλεσε τὸν Σόλωνα.

α 2419 Ἀνηνείκαντο· γενικῇ. ἀντὶ τοῦ ἀνεμνήσθησαν.

α 2420 Ἀνήνιος: ἄνευ ἀνίας καὶ λύπης.

α 2421 Ἀνήνοθεν: ἀνήρχετο.

α 2422 Ἀνήνυτον: ἄμετρον, πολύ. Πολύβιος· μεγίστης προφαινομένης δυσχρηστίας περὶ τὰς τροφὰς, ἅτε κατὰ τὸ μῆκος ἀνήνυτον ἔχειν τι δοκούσης τῆς ὁδοῦ. καὶ, ἀνήνυτα τὴν ἀρετὴν μετιόντων. δεδυστυχηκότων ὅτι μάλιστα. τὸν ἀνήνυτον οἶτον ἔχουσα κακῶν. τὸν ἀτελείωτον μόρον, ἡ Ἠλέκτρα φησί. καὶ Ἀνήνυτος, ἀναρίθμητος, πολύς. ἀπλήρωτος. ἄπρακτος, ἀτέλεστος. ὅπλα τε χαλκευόμενος καὶ βελῶν ἀνήνυτον ἀριθμὸν κατασκευάζειν προστάσσων.

α 2423 Ἀνῆπται: ἐξῆπται.

α 2424 Ἀνὴρ ἀνδρὸς διαφέρει: τὸ γὰρ Λουκούλλου στράτευμα στασιάζον ἀεὶ, τοῦτο παραλαβὼν ὁ Πομπήϊος οὐδ’ ὁπωστιοῦν στασιάζοντας ἔσχεν.

α 2425 Ἀνὴρ δὲ φεύγων οὐ νένει λύρας κτύπον: παροιμία ἐπὶ τῶν ὀξέως καὶ ταχέως ὀφειλόντων ἕκαστα πράττειν.

α 2426 Λύσις ὀνείρου. εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῳ.

α 2427 Ἀνήρεαι: ποιητικῶς ἀνερωτᾷ.

α 2428 Ἀνηρέθιζεν: ἐπί τι παρώτρυνε καὶ παρέθηγεν. Εὐνάπιος· ὁ δὲ τά τε φρονήματα καὶ τοὺς θυμοὺς τῶν στρατιωτῶν ἀνηρέθιζεν.

α 2429 Ἀνήρετο: ἀνέλαβεν.

α 2430 Ἀνὴρ ἔοικε ναῦς ἱκετεύειν πέτραν: παροιμία ἐπὶ τῶν ἀναισθήτων, ἀπὸ μεταφορᾶς τῆς ἐποκελλούσης νεώς. πρὸς τῇ πέτρᾳ.

α 2431 Ἀνηρείψαντο: ἀνήρπασαν.

α 2432 Ἀνῄρηκεν: ἀντὶ τοῦ ἐκποδὼν ἐποιήσατο. Δημοσθένης.

α 2433 Ἀνῃρημένος: ἀναλαβὼν, ἑλόμενος, ἀπενεγκάμενος. ὁ δὲ βασιλεὺς τοσαύτην νίκην ἀδάκρυτον καὶ ἀναίμακτον ἀνῃρημένος εἰς τὰς Σάρδεις ὑπέστρεψε. καὶ αὖθις· ὁ δὲ ἀνάρσια ἀνῃρημένος ἐκδίκως.

α 2434 Ἀνήρρησεν: ἀνεφθάρη. ὡς μόλις ἀνήρρησαν, οὐδέν ἐσμεν οἱ σαπροί. Εὔπολις Πόλεσιν.

α 2435 Ἀνῃρῆσθαι: πεφονεῦσθαι.

α 2436 Ἀνήριθμος: ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ περιερριμμένος.

α 2437 Ἀνὴρ κόπριος: ὡς ἀπὸ δήμου. λέγει δὲ τὸν κοπρολόγον· ἢ κηπουρός, παρὰ τὴν κόπρον.

α 2438 Ἀνήροτον: ἀγεώργητον.

α 2439 Ἀνηρώτιζεν: ἀντὶ τοῦ ἀνηρώτα. Τηλεκλείδης.

α 2440 Ἀνηρτημένοι: ἐπηρμένοι. οἱ δὲ ταῖς ψυχαῖς ἀνηρτημένοι κατεφρόνησαν μὲν τῶν κοινῶν τῆς ἱκεσίας νόμων, παρ' οὐδὲν δὲ ἡγήσαντο τὴν τῶν συγγενικῶν ἀφιδρυμάτων θεῶν εὐσέβειαν.

α 2441 Ἀνήρτησαν: ἀνεποίησαν, ἀνεκαίνισαν.

α 2442 Ἀνήσει: καταλείψει.

α 2443 Ἄνηστις: ὁ γεγευσμένος. καὶ Ἄνηστις, ἡ νῆστις παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ. ἰοὺ γὰρ σύ γε πρῶτος ἄκλητος φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις.

α 2444 Ἄννηττον: τὸ ἄννησσον διὰ δύο νν καὶ διὰ δύο ττ.

α 2445 Ἀνήφθη: ἐξήφθη, ἐκρεμάσθη. ἢ ἀνεφλέχθη ὑπὸ πυρός.

α 2446 Ἀνήχθημεν: ἀνεπλεύσαμεν.

α 2447 Ἀνῆψεν: ἀνεκρέμασε θεοῖς. Εὐνάπιος.

α 2448 Ἀνία: λύπη. τὸ νι μακρόν. Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἐστὶν, ἀλλ' ἐμοὶ λιπὼν ἀνίας καὶ γόους διοίχεται.

α 2449 Ἀνιαθείς: λυπηθείς.

α 2450 Ἀνιακκάς: ᾠδῆς ὄνομα. ὁ περιμανὼς καὶ μανέρως. Εὔβουλος Καμπυλίωνι.

α 2451 Ἀνιαρόν: λυπηρόν. καὶ Ἀνιαρότερον. λέγεται καὶ Ἀνιγρόν.

α 2452 Ἀννίβας ὁ Καρχηδόνιος οὕτως ἐκαλεῖτο. οἱ γὰρ Καρχηδόνιοι στρατηγὸν ἀπέφηναν Ἀσδρούβαν, τὸν τοῦ Βάρκα κηδεστήν. ὁ δὲ Ἀννίβαν τὸν οὐ πολὺ ὕστερον ἀοίδιμον ἐπὶ στρατηγίαις, παῖδά τε ὄντα τοῦ Βάρκα καὶ τῆς γυναικός οἱ γινόμενον ἀδελφὸν ἔχων ἐν Ἰβηρίᾳ νέον ὄντα καὶ φιλοπόλεμον καὶ ἀρέσκοντα τῷ στρατῷ ὑποστράτηγον ἀπέφηνε, καὶ τῆς τε Ἰβηρίας τὰ πολλὰ προσηγάγετο, πιθανὸς ὢν ὁμιλῆσαι, ἔς τε τὰ βίας δεόμενα τῷ μειρακίῳ χρώμενος. φύσει δὲ φιλοπόλεμος ἦν ὁ Ἀννίβας, καὶ οὔ ποτε ἀργίαν ἔφερεν. ὕστερον δὲ ἐπὶ τρυφῆς ἦν οὐ συνήθους, ἐρωμένην τε εἶχεν ἄγριος ἀνήρ· καὶ εὐθὺς αὐτῷ κατ' ὀλίγον ἐτρέπετο πάντα. φησὶ δὲ Πολύβιος, ὡς Ἀννίβας νέος μὲν ἦν, πλήρης δὲ πολεμικῆς ὁρμῆς, ἐπιτυχὴς δὲ ἐν ταῖς ἐπιβολαῖς, πάλαι δὲ παρωρμημένος πρὸς τὴν κατὰ τῶν Ῥωμαίων ἔχθραν. ὅτι Ἀννίβᾳ τῷ Καρχηδονίων στρατηγῷ ἐδηλώθη παρὰ Ἄμμωνος, ὡς ἀποθανὼν γῇ καλυφθήσεται Λιβύσσῃ. καὶ ὁ μὲν ἤλπισεν ἀρχὴν τῶν Ῥωμαίων καθαιρήσειν καὶ ἐν Λιβύῃ τελευτήσειν. Φλαμινίου δὲ τοῦ Ῥωμαίων στρατηγοῦ σπουδὴν ποιουμένου λαβεῖν αὐτὸν ζῶντα, ἀφίκετο παρὰ Προυσίαν ἱκέτης καὶ ἀπωσθεὶς ἀπ' αὐτοῦ ἀνεπήδα τε ἐπὶ τὸν ἵππον καὶ γυμνωθέντος τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον. προελθόντι δὲ οὐ στάδια πολλὰ πυρετὸς ἀπὸ τοῦ τραύματος καὶ ἡ τελευτὴ τοῦ βίου συνέβη. τὸ δὲ χωρίον, ἔνθα συνέβη ἀποθανεῖν, ἐκάλουν οἱ Νικομηδεῖς Λίβυσσαν. καὶ Ἀθηναίοις δὲ μάντευμα ἦλθεν ἐκ Δωδώνης, Σικελίαν οἰκίζειν. καὶ οὐ πόρρω τῆσδε λόφος ἐστὶν ἡ Σικελία οὐ μέγας. οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον ἔς τε ὑπερορίους στρατιὰς προήχθησαν καὶ ἐς τὸν Συρακουσίων πόλεμον. ὅτι θαυμαστόν ἐστι καὶ μέγιστον σημεῖον γεγονέναι τῇ φύσει τὸν ἄνδρα τοῦτον ἡγεμονικὸν καὶ πολύ τι διαφέροντα τῶν ἄλλων πρὸς τὸν πραγματικὸν τρόπον· ιζ' γὰρ ἔτη μείνας ἐν τοῖς ὑπαίθροις πλεῖστά τε ἔθνη καὶ βάρβαρα διεξελθὼν καὶ πλείστοις ἀνδράσιν ἀλλοφύλοις χρησάμενος συνεργοῖς πρὸς ἀπηλπισμένας καὶ παραδόξους ἐπιβολὰς, ὑπ' οὐδενὸς ἑκουσίως ἐγκατελείφθη τῶν ἅπαξ αὐτῷ κοινωνησάντων καὶ δόντων ἑαυτοὺς εἰς χεῖρας. ὅπερ καὶ τὰ νῦν ἐμπολιτεύεται. ὅτι τὸ μέγεθος τῆς τοῦ Ἀννίβου νίκης τῆς πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ῥωμαίους καὶ τῆς τῶν ἐναντίων συμφορᾶς ὑπ’ ὄψιν ἀγαγεῖν τοῖς Καρχηδονίοις μηχανώμενος, τρεῖς μεδίμνους Ἀττικοὺς πλήρεις χρυσῶν δακτυλίων εἰς τὴν Λιβύην ἀπέπεμψεν, οὓς ἄρα τοὺς ἱππικοὺς καὶ βουλευτικοὺς ἄνδρας σκυλεύσας ἀνήρητο. ὅτι ἄνδρες τινὲς Καρχηδονίων ἐπὶ κατασκοπῇ τῶν ἐναντίων σταλέντες ὑπὸ Ἀννίβου τοῖς Ῥωμαίοις περιπίπτουσιν. οὓς ἀχθέντας ὡς αὐτὸν ὁ Πόπλιος κακὸν μὲν οὐδὲν εἰργάσατο, περινοστῆσαι δὲ κελεύει τὸ στρατόπεδον καὶ δεῖπνον ἑλομένους ἀποχωρεῖν σώους, ἀπαγγελοῦντας Ἀννίβᾳ τὰ περὶ τὴν στρατιὰν ὡς ἔχει Ῥωμαίοις.

α 2453 Ἀνιγρός: ὁ φαῦλος. λέγεται καὶ Ἀνιγρὸν, τὸ ἀνιαρόν.

α 2454 Ἀνιδιτὶ καὶ Ἀνιδρωτί: χωρὶς ἱδρῶτος. οὐ γὰρ ἀνιδρωτὶ καὶ ἀπεριμερίμνως τάδε παρεστήσαντο τὰ πολίσματα. καὶ αὖθις· ἀνιδρωτὶ πρὸς τὸ ἄριστον οὐκ ἤρχοντο οἱ τοῦ Κύρου στρατιῶται, διὰ τὸ ἡδέως ἐσθίειν καὶ ὑγιαίνειν. καὶ ἄλλα πλεῖστα.

α 2455 Ἀνιδρωτί· ζήτει ἐν τῷ ἀπονητί.

α 2456 Ἀνίδρυτοι: ἀστήρικτοι. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ἀντὶ τοῦ ἀνεξίλαστοι.

α 2457 Ἀνιεμένη κόλπον: ἀνέλκουσα καὶ ἀναχαλῶσα τὸν πέπλον, ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς κόλπωμα. καὶ αἶγας ἀνιεμένους.

α 2458 Ἀνιέντα: ἐνδόντα.

α 2459 Ἀνιέρειος: ᾧ ἱερεῖα μὴ θύεται. καὶ Ἀνίερος, ὁ ἱερῶν μὴ μετέχων.

α 2460 Ἀνιερώσαντες: ἀναθέντες.

α 2461 Ἀνίει: ἠφίει, ἐνεδίδου, ἐχαυνοῦτο. οὐδέν τι πλέον ἀνίει ὁ νεανίας. καὶ αὖθις· ὁ δὲ οὐκ ἀνίει τοῦ δρόμου. καὶ ἀντὶ τοῦ ἔληγεν. ὁ δὲ ἱκετεύων ὑπὲρ πάντων οὐκέτι ἀνίει. καὶ αὖθις· ὁ δὲ ζητῶν οὐκ ἀνίει καὶ λαμβάνων οὐκ ἐνεπίμπλατο. καὶ αὖθις· ὁ δὲ κακούμενος πλέον ἤπερ διατιθεὶς ὅμως οὐκ ἀνίει. καὶ αὖθις· οἱ δὲ τὸ πολὺ τῆς τόλμης παρεληλύθεισαν. οὐ μὴν ἀνίεσάν γε, ἀλλὰ παρακελευόμενοι σφίσιν αὐτοῖς πάσῃ δυνάμει προσέκειντο τῇ πολιορκίᾳ. καὶ αὖθις· μήτε νύκτωρ μήτε μεθ’ ἡμέραν ἐπανιέντι τοῦ πλοῦ.

α 2462 Ἀνιείς: ἀφιείς, ἢ παρορμῶν.

α 2463 Ἀνιηθέντα: λυπηθέντα.

α 2464 Ἀνιηρέστερος: λυπηρότερος.

α 2465 Ἀνίησι: καταλιμπάνει.

α 2466 Ἀννίκερις, Κυρηναῖος, φιλόσοφος, ὃς Ἐπικούρειος ἐγένετο, καίτοι ὢν Παραιβάτου γνώριμος, τοῦ Ἀριστίππου ἀκηκοότος. ἦν δὲ τῷ Ἀννικέριδι καὶ ἀδελφὸς Νικοτέλης ὄνομα, φιλόσοφος, μαθητὴς δὲ αὐτοῦ ἐπιφανὴς Ποσειδώνιος. ἐκ τούτου αἵρεσις ἡ καλουμένη Ἀννικέρειος. ἦν δὲ ἐπὶ Ἀλεξάνδρου.

α 2467 Ἄνιθι: ἄνελθε.

α 2468 Ἀνιλλομένη: καθυποκρινομένη. κυρίως δὲ ἀνίλλεσθαι τὸ ἀπαξιοῦν.

α 2469 Ἀνιλυσπῶ: ἀνέβαινες.

α 2470 Ἀνιμᾶσθαι: ἀντλεῖν, ἀρύεσθαι. ἀναφέρειν. καὶ Ἀνιμώμενος, ἀντλῶν, ἀνέλκων. ἱμωνιὰ γὰρ τὸ ἀντλητήριον, ἀπὸ τοῦ ἱμάς. καὶ Ἱμητόν, τὸ ἀντλητόν. καὶ Ἀνιμῆσθαι, διὰ τοῦ η.

α 2471 Ἀνίμων τοῖς δόρασιν: ἀντὶ τοῦ ἀνεῖλκον.

α 2472 Ἀνιώμενος: λυπούμενος.

α 2473 Ἀνιῶ σε· αἰτιατικῇ.

α 2474 Ἀνιωχμός: ἡ μάχη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2475 Ἀνιππασία καὶ Διϊππασία: τῶν ἵππων ἅμιλλα. ὥσπερ δὴ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῖ.

α 2476 Ἄνιππος: ἵππων ἐστερημένος. Ἀριστοφάνης Νεφέλαις· ἀλλ' οὐ περιόψεταί με ὁ θεῖος Μεγακλέης ἄνιππον.

α 2477 Ἀνίπτοις ποσίν: ἀντὶ τοῦ ἀνετοίμοις, καὶ χωρίς τινος παρασκευῆς. καὶ παροιμία· Ἀνίπτοις ποσὶν ἀναβαίνων ἐπὶ τὸ στέγος, ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικνουμένων. καὶ Ὅμηρος· ἀνιπτόποδες, χαμαιεῦναι.

α 2478 Ἀνίεισιν: ἐνδίδωσιν.

α 2479 Ἄνισον: τὸ μὴ ὂν ἴσον. σημαίνει καὶ εἶδος βοτάνης. καὶ Ἀνισοφυές, ἀνόμοιον. ἰστέον ὡς ἔνια τῶν ἐναντίων στερήσει θατέρου λέγεται, οἷον ἄνισον ἐναντίον μέν ἐστι τῷ ἴσῳ, στερητικὸν δὲ ὄνομα. οὐ γὰρ οἰκείαν τινὰ φύσιν σημαίνει, ὥσπερ τὸ κακὸν τὸ ἐναντίον τῷ ἀγαθῷ ὄν· ἀλλὰ σημαίνει ἀπόφασιν τοῦ ἐναντίου ἐν τῷ πεφυκότι δέχεσθαι ἀμφότερα. τὸ γὰρ ἄνισον οὐκ ἶσόν ἐστιν ἐν ποσοῖς, ἃ πέφυκε δέχεσθαι καὶ ἰσότητα. ὁμοίως καὶ τὸ ἀνόμοιον οὐχ ὅμοιον ἐν τοῖς ὁμοιότητος δεκτικοῖς. τοιοῦτον δ' ἡ στέρησις· ἀπόφασις γάρ ἐστιν ἐν τοῖς τὴν ἕξιν πεφυκόσι δέχεσθαι. οὐ μὴν ἄντικρυς στέρησις καὶ τὸ ἀνόμοιον· ἀλλ' ἐναντία, τὸ μὲν τῷ ἴσῳ, τὸ δὲ τῷ ὁμοίῳ. διαφορὰ δ' αὐτῶν πρὸς τὰς κυρίως στερήσεις, ὅτι ἀπὸ μὲν τῆς στερήσεως οὐκ ἔστιν ἐπάνοδος πρὸς τὴν ἕξιν· ταῦτα δὲ μεταβάλλειν οἷά τε ἐπὶ τὰ ἀντικείμενα. καὶ γὰρ τὸ ἄνισον ἶσον ἂν γένοιτο, καὶ τὸ ἀνόμοιον ὅμοιον. περὶ τοῦ ἴσου καὶ ἀνίσου ζήτει ἐν τῷ ἀμπλάκημα.

α 2480 Ἀνιστάμεναι: αἰχμαλωτιζόμεναι.

α 2481 Ἀνίστη: ἀντὶ τοῦ ἐφίστη. καὶ Ἀνίστω, ἀντὶ τοῦ ἀνίστασο. Ἀμειψίας. καὶ Ἀνιστῶ· αἰτιατικῇ.

α 2482 Ἀνίσχαδον: τὴν ἄτοκον καὶ ἀθήλαστον.

α 2483 Ἀνίσχων: ἀνατέλλων. καὶ Ἀνίσχουσα, ἀναδύνουσα.

α 2484 Ἀνίτω: ἀναδιδόσθω.

α 2485 Ἀνιχνεύω σε.

α 2486 Ἀνθεμίδων· ἄλσος δ', Ἄρτεμι τοῦτο, καὶ ἂν Χαρίτεσσι θεούσαις εἴη ἐπ' ἀνθεμίδων σύμβολα κοῦφα βαλεῖν. ἀντὶ τοῦ ἀνθέων. καὶ Ἀνθεμίδης, πατρωνυμικόν.

α 2487 Ἀνθέμιον: τὸ χρυσίον τὸ ἐκλεκτόν. καὶ Ἀνθέμιος, ὄνομα κύριον.

α 2488 Ἀνθεκτέον· γενικῇ.

α 2489 Ἀνθεμόεντα: ἀναθεματικὸν, διηνθισμένον, ποικίλον. καὶ Ἀνθεμόεις λειμών, ὁ ἔχων ἄνθη. καὶ Ἀνθεμοείσιος, ὄνομα κύριον.

α 2490 Ἀνθεμόκριτος, Ἀθηναῖος μὲν ἦν κήρυξ, ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ὀργάδα μὴ ἐργάζεσθαι.

α 2491 Ἀνθεμοῦς: πόλις ἐστὶ Μακεδονική. καὶ Ἀνθεμουσία γῆ. ὁ δὲ Τραϊανὸς ἐξελαύνει ὡς ἐπὶ τὴν Ἀνθεμουσίαν γῆν. ἐπὶ ταύτην γὰρ καὶ Αὔγαρος ὑφηγεῖτο ἰέναι.

α 2492 Ἀνθέμων: ῥόδων. Ἀριστοφάνης· πῶς ἂν ἐμὲ καὶ σέ τις ἔρως ξυναγάγοι λαβὼν, ὥσπερ ὁ γεγραμμένος φησί. καὶ αὖθις· ἔχων στέφανον ἀνθέμων. τουτέστι ῥόδων. Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἔγραψεν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις.

α 2493 Ἀνθεμωνίδης: πατρωνυμικόν.

α 2494 Ἀνθέων: τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί. Ἕρμιππος Ἀθηνᾶς Γοναῖς· κηροσπάθητον ἀνθέων ὕφασμα καινὸν ὡρῶν. καὶ ἐν τοῖς ἑξῆς· λεπτοὺς διαψαίρουσα πέπλους ἀνθέων γέμοντας. καὶ Ἀρισταγόρας Μαμμακύθῳ. οὕτως δὲ καὶ βελέων καὶ ὀρέων καὶ ἕτερα πλείονα Ξενοφῶν διαιρεῖ.

α 2495 Ἀνθέξεται: ἀντιλήψεται. καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου.

α 2496 Ἀνθερεών: ὁ ὑπὸ τὸ γένειον τόπος, λάρυγξ.

α 2497 Ἀνθέρικες: αἱ τῶν σταχύων προβολαί. τὰ ἄκρα. Ἡρόδοτος δὲ τοὺς καυλούς φησι τῶν ἀσφοδέλων. εἰσὶ δὲ ἄθραυστοι. ἢ Ἀνθερίκων, ἀνθηρῶν ἢ λαμπρῶν.

α 2498 Ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας: ἀντὶ λίθου· ἐπεὶ αἱ γέρανοι πετόμεναι ἐν τῷ στόματι ψήφους φέρουσι στηρίγματος ἕνεκα, πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις.

α 2499 Ἀνθ' Ἑρμίωνος: ἐπὶ τῶν ὁμοίως ἱερὰ διασῳζόντων. Ἑρμιόνη γὰρ ἐν Πελοποννήσῳ πόλις Κόρης καὶ Δήμητρος ἄσυλος, ὥστε σκέπην παρέχειν τοῖς ἱκετεύουσιν.

α 2500 Ἀνθεστηριών: ὄγδοος μήν ἐστι παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. κεκλῆσθαι δὲ αὐτὸν οὕτως, διὰ τὸ πλεῖστα τῶν ἐκ γῆς ἀνθεῖν τότε.

α 2501 Ἄνθεια: πόλις. καὶ ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ διὰ τοῦ θῆτα διὰ τοῦ τ Ἄντεια γράφουσιν.

α 2502 Ἀνθείλοντο: προέκριναν.

α 2503 Ἀνθεινός: ὁ ἐξ ἀνθέων· καὶ ὁ καιρός.

α 2504 Ἄνθεια: ἐπίθετον Ἥρας.

α 2505 Ἄνθη: μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

α 2506 Ἀνθηδονιάς: ἀπὸ Ἀνθηδόνος οἶνος.

α 2507 Ἀνθήλιος: ἡ σελήνη· καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου ἀνταυγείας· ἐνίοτε δὲ καὶ τὸ μίμημα ἢ ἀντάλλαγμα, ὡς Θεόπομπος. σημαίνει δὲ καὶ τὰ ἐπισκοτοῦντα τῷ ἡλίῳ νέφη, ἃ καὶ Ἀνθήλια καλεῖται.

α 2508 Ἀνθηρά· Ξενοφῶν· ὥσπερ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ τὰ ἀνθηρὰ εὐδοκιμεῖν. τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ τοὺς οἴκους ἀνατρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν. Ἀριστοφάνης Ἀχαρνεῦσιν· εἶδες, ὦ πᾶσα πόλι, τὸν φρόνιμον ἄνδρα, τὸν ὑπέρσοφον, οἷον ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν· ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν.

α 2509 Ἀνθηρημένος: ἀντιλαμβανόμενος. ἢ προκεκριμένος.

α 2510 Ἀνθηρός· σταθερὸς δέ.

α 2511 Ἄνθης: ἀνθήσεως.

α 2512 Ἀνθίας: ὄνομα ἰχθύος.

α 2513 Ἀνθίνη: πόλις· καὶ ἡ ἐπωμίς. καὶ Ἄνθινον, ἀνθηρὸν, βαπτόν. καὶ Ἄνθινος χιτών, καὶ ἡ τροφή.

α 2514 Ἀνθιππασία: ὁ ἱππικὸς ἀγών.

α 2515 Ἀνθίσασθαι μουσικῆς· καὶ Ἠνθισμένοι μουσικῆς, οἱ ἠθροικότες τὰ ἄνθη τῆς μουσικῆς.

α 2516 Ἀνθίσταμαι· δοτικῇ.

α 2517 Ἀνθομολογησόμεθα: ἀντὶ τοῦ εὐχαριστήσομεν. Δαβίδ· ἀνθομολογησόμεθά σοι ὁ θεός. ὑπὲρ τῆς εὐεργεσίας ὁμολογοῦμεν χάριτας καὶ ἀναγράπτους ταύτας ποιήσομεν. καὶ Ἀνθωμολογεῖτο, διηγεῖτο. ὁ δὲ ἀνθωμολογεῖτο πρός τινας τῶν ἐν Ῥώμῃ μετὰ ταῦτα μηδὲν ἑωρακέναι φοβερώτερον καὶ δεινότερον φάλαγγος Μακεδονικῆς. καὶ αὖθις· ταῦτα μὲν οὖν ἀνθωμολογήσαντο πρὸς ἀλλήλους. ἀντὶ τοῦ συνέθεντο, συνεφώνησαν. καὶ αὖθις· περὶ Σωκράτους τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλητος.

α 2518 Ἀνθοσμίας: εὐώδης οἶνος. εὔοσμος. ἀπὸ τόπου Ἀνθοσμίου· ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου, ἢ ἡδὺς καὶ περίοσμος καὶ ἀνθηρός. Ἀνθοσμίας, εὐώδης οἶνος, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς. παραγώγως Ἀνθόσμιος, Ἀνθοσμίας· τὸν δὲ χυδαῖον οἶνον καρηβαρίτην ἔλεγον. Ἀριστοφάνης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βατράχοις· Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν. ἀντὶ τοῦ μεθύεις, κραιπαλᾷς, σκληρὸν οἶνον πίνων. Ἄνθος λέγεται καὶ ἡ λευκὴ θρίξ, ἔνθεν καὶ φάλανθος, ὁ φαλακρός.

α 2519 Ἀνθ' ὅτου: ἀνθ' οὗτινος.

α 2520 Ἀνθῶ ἀεί.

α 2521 Ἄνθρακες ὁ θησαυρὸς ἦσαν: παροιμία ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθὰ, κακουμένων δὲ ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

α 2522 Ἄνθραξι βαίνειν ἐχθρικὴν δηλοῖ βλάβην.

α 2523 Ἀνθρακιά: πεπυρακτωμένοι ἄνθρακες. Ὅμηρος· ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσε. καὶ ἐν Ἐπιγράμμασι· τρῖγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῆτιν, Ἄρτεμι, δωρεῦμαι. καὶ Ἀνθρακίδες, λεπτοὶ ἰχθύες ὀπτοί· καὶ πάντα τὰ ἐπ' ἀνθράκων ὀπτώμενα οὕτω λέγονται. καὶ Ἀνθράκιον, βραχὺ τριποδίσκιον παρὰ Ἀλέξιδι.

α 2524 Ἀνθρήνη: εἶδος σφηκὸς ἡ ἀνθρήνη. καταχρῶνται δὲ οἱ ποιηταὶ καὶ ἐπὶ μελισσῶν. καὶ Ἀνθρήνια· ἐξελεῖν ἡμῶν πρὸς βίαν τἀνθρήνια. τὰς μελίσσας δηλονότι. τὼ ὀφθαλμὼ κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν, ὑπὸ τῶν γνωμῶν ἀπολεῖται. συγγενής ἐστι τῇ μελίσσῃ ἡ ἀνθρήνη, σφηκὶ παραπλησία. καὶ τὸ πλάσμα ἀνθρήνιον.

α 2525 Ἀνθρωπαρέσκια: ἡ πρὸς ἀνθρώπους σπουδή.

α 2526 Ἀνθρωπεία φύσις.

α 2527 Ἀνθρωπίζω: τὰ τῶν ἀνθρώπων φρονῶ.

α 2528 Ἀνθρώπινον. δῆθεν διωκομένην ὑπό τινων τὴν ἑταίραν καταφυγεῖν εἰς τὸ οἰκίδιον· τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι αὐτήν. καὶ Ἀνθρωπινώτερος.

α 2529 Ἀνθρωπίως: ἀντὶ τοῦ συμμέτρως παρὰ Ἀριστοφάνει ἐν Βατράχοις. καὶ Ἀνθρωπίνως, ἀντὶ τοῦ καρτερικῶς, ὑπομονητικῶς. Πολύβιος· συμβέβηκε τὰς μὲν ἐν ταῖς ἐπιτυχίαις ἐξουσίας μὴ δύνασθαι φέρειν ἀνθρωπίνως, ἐν δὲ ταῖς περιπετείαις εὐλαβῶς ἵστασθαι καὶ νουνεχῶς.

α 2530 Ἀνθρωποδαίμονες· δαίμονες ὄντες ἀνθρώπειόν τε ἠμπέσχοντο σῶμα, καὶ ἀνθρωποδαίμονες γεγενημένοι τῷ τρόπῳ τούτῳ ξύμπασαν κατέσεισαν τὴν οἰκουμένην.

α 2531 Ἀνθρωπόλεθρος: ὁ φονεύς.

α 2532 Ἄνθρωπος: τὸ προσηγορικόν. καὶ Ἄνθρωπος, ἴδιον ὄνομα τοῦ ὀλυμπιονίκου πύκτου, οὗ ἐν Ἠθικοῖς Ἀριστοτέλης μνημονεύει. ἀλλ' ἔγωγε, ἔφην, ταύτης μόνης ἐπιδεῖσθαι νομίζω τῆς μαντικῆς τοὺς ἀνθρώπους εἶναι βουλομένους καὶ μὴ δίκην θηρίων ἔξω κεχηνέναι ἐς προνομὰς ἀπεράντους. οὕτω φησὶ Δαμάσκιος ὁ φιλόσοφος.

α 2533 Ἄνθρωπος αὐτὸς ἑαυτοῦ βελτίων γίνεται κατὰ πέντε τρόπους, πρῶτον μὲν ὁμιλίᾳ τῇ πρὸς θεόν· ἀνάγκη γὰρ προσιόντα αὐτῷ κατ' ἐκεῖνο καιροῦ χωρίζεσθαι πάσης κακίας, εἰς δύναμιν ὁμοιοῦντα ἑαυτὸν τῷ θεῷ· δεύτερον ἐν τῷ εὖ ποιεῖν· θεοῦ γὰρ τοῦτο καὶ θείας μιμήσεως· τρίτον ἐν τῷ ἀποθνήσκειν· εἰ γὰρ κατὰ ποσόν τι ἡ ψυχὴ τοῦ σώματος ἐν τῷ ζῆν τὸ ζῷον χωριζομένη βελτίων γίνεται ἑαυτῆς, ἔν τε τοῖς ὕπνοις κατὰ τοὺς ὀνείρους καὶ ἐν ταῖς ἐκστάσεσι τῶν νόσων μαντικὴ γίνεται, πολλῷ μᾶλλον βελτιοῦται καὶ ὅταν τέλεον χωρισθῇ ἀπὸ τοῦ σώματος.

α 2534 Ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρὸς πλὴν ὅσον εἰκάσαι, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλάμενος.

α 2535 Ἄνθρωπος· τὸ τῶν ἀνθρώπων γένος δοκοῦν πανουργότατον εἶναι τῶν ζῴων πολὺν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν. τὰ μὲν γὰρ ἄλλα ζῷα ταῖς τοῦ σώματος ἐπιθυμίαις αὐταῖς δουλεύοντα διὰ μόνας ταύτας σφάλλεται· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ προσδεδοξοποιημένον οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν ἢ διὰ τὴν φύσιν ἁμαρτάνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2536 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: παροιμία ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σῳζομένων καὶ δι’ αὐτῶν εὐδοκιμούντων. καὶ Ἄνθρωπος Εὔριπος, Τύχη Εὔριπος, Διάνοια Εὔριπος. ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

α 2537 Ἄνθρωπος λυπησιλόγος: σημαίνει μὲν ὁ λυπῶν διὰ τὸ λέγειν τοὺς πέλας. Κρατῖνος.

α 2538 Ἄνθρωπος πρόδοξος: ὁ πρὶν ἢ σαφῶς ἐξετάσαι δοξάζων.

α 2539 Ἄνθρωπος φιλοπραγματίας: ἐπὶ πολυπράγμονος.

α 2540 Ἄνθροισκα: ἄγρια λάχανα παραπλήσια ἀνήθοις, οἷα καὶ τὰ μάραθρα.

α 2541 Ἀνθυπομοσία: ἀντὶ τοῦ ὑπειπεῖν τῇ ὑπωμοσίᾳ. οὕτως Δημοσθένης κατὰ Ὀλυμπιοδώρου.

α 2542 Ἀνθυπουργῆσαι: τὸ ἀνταποδοῦναι χάριν. Σοφοκλῆς Κολχίσιν· ἦ φὴς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν; ὅτι ὁ Ἀριστοτέλης τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκεν.

α 2543 Ἀνὰ κράτος ἐλαύνοντα: Ξενοφῶν, ἀντὶ τοῦ πάνυ ἐλαύνοντα.

α 2544 Ἂν μὴ παρῇ κρέα, ταρίχῳ στερκτέον· παρεγγυᾷ ἡ παροιμία, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

α 2545 Ἀνοδίᾳ: ἐπίρρημα τοπικόν. οἱ δὲ πλείους ἀνοδίᾳ καὶ κατὰ τὰς νήσους διεσπάρησαν.

α 2546 Ἄνοδον: ἀδιέξοδον. Ξενοφῶν· τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος.

α 2547 Ἀνόδοντον· Κοριάννοις Φερεκράτης· ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει.

α 2548 Ἀνόητα: τὰ ἀφροδίσια καὶ ἡ λαγνεία, τουτέστι μωρά. μωραίνειν γὰρ τὸ ἀφροδισιάζειν ἔλεγον. Ἀριστοφάνης· οἴνου τ’ ἀπέχῃ καὶ τῶν ἄλλων ἀνοήτων. τουτέστι μωρῶν· ἢ ἀνοήτων, ἀνεπιστημόνων.

α 2549 Ἀνόθευτον: γνήσιον, ἀπαραποίητον· καθαρόν.

α 2550 Ἀνόκαιον: τὸ ὑπερῷον οἴκημα. Ξενοφῶν ἐν Κύρου Ἀναβάσει καὶ τὸν κωμῳδοποιὸν οἱ περὶ Ἀντιφάνην.

α 2551 Ἀνομβροῦσαι: ἀναβλύζουσαι.

α 2552 Ἀνομένης: παυομένης, ἀνυομένης.

α 2553 Ἀνομείτω: παρανομείτω.

α 2554 Ἀν’ ὅμιλον: κατὰ τὸ πλῆθος.

α 2555 Ἄνομος: ὁ παράνομος. Ἄνωμος δὲ διὰ τοῦ ω μεγάλου, ὁ μὴ ἔχων ὦμον. ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι. καὶ ἀνωμότερος.

α 2556 Ἀνόνητα: ἀνωφελῆ. τὰ γὰρ περιττὰ κἀνόνητα σώματα πίπτει βαρείαις πρὸς θεῶν δυσπραξίαις. οἷον ὁ Αἴας.

α 2557 Ἀνονόμαστος: ὁ μὴ ἔχων ὄνομα.

α 2558 Ἄνοντος: ἀνύοντος.

α 2559 Ἀνόπαια: εἶδος ὄρνιθος.

α 2560 Ἀν’ ὄπιν: εἰς πρόσωπον. κατόπιν.

α 2561 Ἄνοπτοι: ἀθέατοι. οἱ δὲ Ἕλληνες ἐπὶ θάτερα τῆς νήσου ὥρμησαν ἄνοπτοι τοῖς πολεμίοις.

α 2562 Ἀνοργίας: ἀμυησίας· ὄργια γὰρ τὰ μυστήρια. καὶ Ἀνοργιάστοις, τῶν μυστηρίων ἀπείροις. τὰ τῆς Ἀφροδίτης ἀνοργίαστά σοι ἐστίν. ἀντὶ τοῦ οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ· ἀτέλεστά σοί ἐστιν.

α 2563 Ἄνοργοι: ἀντὶ τοῦ ἄνευ ὀργῆς. Κρατῖνος.

α 2564 Ἀνόρεκτος: ὁ μὴ ὀρεγόμενός τινος, ὁ πρὸς τὰ προσφερόμενα βρώματα ἀηδῶς διακείμενος.

α 2565 Ἀνορθῶ· αἰτιατικῇ.

α 2566 Ἄνορον: τὸ ὀξύ.

α 2567 Ἀνορωρυγμένον, οὐχὶ ἀνωρυγμένον λέγουσιν. Μένανδρος Ὑδρίᾳ· εὐθὺς καταχρήσεσθαι τὸν ἀνορωρυγμένην ταύτην ἰδόντα.

α 2568 Ἀνορταλίζειν· καὶ Ἀνωρτάλιζες, κούφως ὠρχοῦ, ἐπῄρου, καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσαι. ὀρταλίζειν δὲ λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτεροῦσθαι ὀρνέων. Ἀριστοφάνης· τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις, ἀνωρτάλιζες κἀκερουτίας. ἀντὶ τοῦ μετεωρίζου καὶ μέγα ἐφρόνεις. ἀπὸ δὲ τῶν κερατοφορούντων ἡ λέξις.

α 2569 Ἀνόσιον: βέβηλον, ἀνίερον, ἄθυτον. Αἰλιανός· ὁ δὲ τὰ ἄλλα ὢν ἀνόσιος τοῦτο γοῦν πείθεται τῷ θεῷ. καὶ Ἀνοσιώτατος, ὁμοίως.

α 2570 Ἄννος κρίβανον: παροιμία ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄννος γὰρ Αἰγύπτιος εἰς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον.

α 2571 Ἀνόστους: ἀνυποστρέπτους. νόστος γὰρ ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος, παρὰ τὸ τῆς πατρίδος ἡδύ. Αἰλιανός· ὁ δὲ τοὺς θεοσύλας ἀπέκτεινε καὶ ἔθηκεν ἀνόστους τοῦτο δὴ τὸ Ὁμηρικόν.

α 2572 Ἀνουβείδιον: τόπος τις. Βενδίδειον δέ.

α 2573 Ἀννουμῖνος: ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ ἀδνούμιόν φασιν.

α 2574 Ἀν’ οὖς ἔχων: ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων. καὶ Σοφοκλῆς· τὸν οἴνωπ’ ἀνέχουσα κισσόν. ἀντὶ τοῦ ἄνω ἔχουσα.

α 2575 Ἀνουτητί: ἄνευ τρώσεως.

α 2576 Ἀνοχή: ἡ ὑπομονή. Ἀνακωχὴ δέ.

α 2577 Ἀνοχλίσας: ἀνακινήσας.

α 2578 Ἀνοψία: σπάνις τῶν ὄψων.

α 2579 Ἄνω: ἀντὶ τοῦ ἀνά. Ὅμηρος· οὐδ’ ὅσα Λέσβος ἄνω μακάρων ἕδος ἐντὸς ἐέργει. καὶ τὴν πρόθεσιν κολλητέον τῷ ἐέργει, ἵνα ᾖ ἀνείργει, ἀναστέλλει· ὃ καταστρέφει εἰς τὸ περιορίζει.

α 2580 Ἄνω καὶ κάτω: τὸ πάντα λίθον κινεῖν.

α 2581 Ἄνωγε: παρεκελεύσατο.

α 2582 Ἀνώγεων: οἴκημα. Ἀνώγειον δέ. ὅτι Καλλισθένης τὸ δεσμωτήριον ἀνώγεων εἶπεν. Ἀνάγαιον καὶ Κατάγαιον διὰ διφθόγγου καὶ ο μικροῦ. τὸ δὲ ἀνώγεων καὶ κατώγεων εἰ τάχα καὶ οἱ κανόνες διὰ τοῦ ω μεγάλου καὶ 〈ε〉 ψιλοῦ γράφουσιν, ἀλλ’ οὖν ὁ τῶν λέξεων θηρατὴς καὶ τῶν τούτων ἀντιστοίχων ἀκριβὴς ὀρθογράφος Καπνογένειος ὁ Μαΐστωρ διὰ τοῦ ε ψιλοῦ καὶ ο μικροῦ ἐξέδοτο ταῦτα γράφεσθαι. τὸ δὲ μεσόγαιον μόνον διὰ διφθόγγου εἴασεν· ἐπειδὴ εὕρηται μεσογεία γῆ καὶ μεσόγειος γῆ.

α 2583 Ἀνωγή: παρακέλευσις.

α 2584 Ἀνωδύρετο: ἐθρήνει, ἔκλαιεν. ὁ δὲ ἀνωδύρετο τὴν συμφορὰν ἐπιδακρύων τῷ πάθει.

α 2585 Ἄνωθεν: ἐκ τόπου ἢ χρόνου. Βάβριος. τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ἐσορώμενοι τροφῆς κηδομένους ἀφ’ ὧν τε βλαστῶσιν ἀφ’ ὧν τ’ ὄνησιν εὕρωσι, τάδ’ οὐκ ἐπίσης τελοῦμεν; τουτέστιν ἄνωθεν ἐκ φύσεως ἢ τοὺς ἐν τῷ ἀέρι.

α 2586 Ἀνωθῆσαν: ἐπὶ τὰ ἄνω κινῆσαν. ἀνωθῆσαν δὲ ἑαυτὸ τὸ θηρίον καὶ ἔξαλον γενόμενον ἀπεσείσατο ἐς τὴν νῆξιν ἀπολύσαν τὸν ἄνθρωπον.

α 2587 Ἀνώϊστος: ὁ ἀνυπονόητος. καὶ Ἀνωϊστί, ἀνυπονοήτως.

α 2588 Ἀνώλεθρος.

α 2589 Ἀνῳκισμένος: ἐν τοῖς ἀνωτάτω γεννηθεὶς, ἢ ἄνω ὤν. καὶ Ἀνῳκίσθαι.

α 2590 Ἀνωμαλία: ἡ τραχύτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2591 Ἄνωμος: ὁ μὴ ἔχων ὦμον. ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι. καὶ Ἀνωμότερος.

α 2592 Ἀνώμοτος: χωρὶς ὅρκου. ὁ δὲ ἀνὴρ καὶ ἀνώμοτος πιστεύειν ἄξιος. καὶ αὖθις· ἡ γλῶσς' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

α 2593 Ἀνῴμωξεν: ἐστέναξεν.

α 2594 Ἀνωνόμαστος: ὁ μὴ ἔχων ὄνομα.

α 2595 Ἀννώνων μετακομιδή. Ἄννωνα, Ῥωμαϊκὴ λέξις.

α 2596 Ἄνω ποταμῶν χωροῦσι πηγαί: παροιμία ἐπὶ τῶν ὑπεναντίως γινομένων ἢ λεγομένων, οἷον ὁ πόρνος τὸν σώφρονα εἰ λέγοιτο πόρνον. ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσι. τουτέστιν ἐπὶ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσανατιθεμένων.

α 2597 Ἀνωρθιασμένον: τὸ ὀρθότατον. καὶ Ἀνωρθωσάμην.

α 2598 Ἀνωρθρίαζον: Ἀνδοκίδης. ἀντὶ τοῦ ὄρθριοι βοῶντες ἔλεγον.

α 2599 Ἀνώφλιον: τὸ ὑπέρθυρον.

α 2600 Ἄνωχθι: κέλευσον.

α 2601 Ἀντ' ἀγαθῶν ἀγαθίδες: παροιμία ἐπὶ τῶν εὖ πασχόντων ἀνθ' ὧν εὐεργέτησαν πρότερον.

α 2602 Ἀνταγωνίζομαι· δοτικῇ.

α 2603 Ἀνταγωνιστής: πολέμῳ καὶ μάχῃ ἰσοστάδην. ἀφ' οὗ δὴ καὶ ἀνταγωνιστὴς ἀξιόμαχος ἐπιπολὺ τοῖς Ῥωμαίοις ἐγένετο.

α 2604 Ἀντᾴδω· δοτικῇ.

α 2605 Ἀντάλλαγμα: οἱ κατὰ σάρκα πρόγονοι τοῦ Χριστοῦ, οὓς ἴχνη καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ ο' ἑρμηνευταί.

α 2606 Ἀντάλλαγον καλοῦσι τὸν ἀντὶ ἑτέρου ἠλλαγμένον, οὐχὶ ἄνταλλον. Μένανδρος Κανηφόρῳ· ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα ἀντάλλαγον. Χήρᾳ· ἑκοῦσα ἡ ἀδελφὴ ποιήσει τούτοις οἱ ἀντάλλαγος τέξεις ὁ τούτῳ διδομένην. καὶ ἐν Ἁλιεῖ· ἐκλελάκτικεν ὁ χρηστὸς ἡμῖν μοιχὸς, ἀλλ' ἀντάλλαγος.

α 2607 Ἀντ' ἄλλης ἀρχῆς ἐστι τοῦτο δρᾶν: τουτέστιν ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν, τῶν δὲ ἀρχαίων ἀμελεῖν.

α 2608 Ἀνταμείρομαι.

α 2609 Ἀντανάκλασιν: κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἀπὸ φωνῆς, ὅταν ἀντηχῇ, καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ ἢ λαμπροτάτῳ ὕδατι προσπέσοι.

α 2610 Ἀντάμειψιν: ἀνταπόδοσιν.

α 2611 Ἀνταναιρεῖται: κτείνεται. καὶ Ἀντανῃρέθη, ἀντεφονεύθη.

α 2612 Ἀντανήγοντο: ἀντεπαρετάσσοντο, ἀντεφέροντο. ἀντανήγοντο οὖν καὶ οἱ βάρβαροι καὶ τὴν τοῦ Παχύνου παρέπλεον ἀκτὴν κατὰ β' στοιχηδὸν ταξάμενοι ναῦς. καὶ αὖθις· οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀντανήγοντο τῇ Οἴτῃ.

α 2613 Ἀντανίσχομεν: προβαλλόμεθα. καὶ Ἀντανίσχοντο, ἀντιπαρετάσσοντο.

α 2614 Ἀνταπαιτῆσαι κἀπαιτῆσαι: Θουκυδίδης γ' καὶ δ'. καὶ Ἀνταποδοῦναι καὶ Ἀνταπολαμβάνειν Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου.

α 2615 Ἀνταποδιδῶ· δοτικῇ.

α 2616 Ἀντάρης νυκτερὶς ὄψεσι· φησὶ Σοφοκλῆς.

α 2617

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνταυγεῖς κόρας· στρέψον ἀνταυγεῖς κόρας. ἀντὶ τοῦ τὰς κόρας σου ἀντιπροσώπους μοι στρέψον. καὶ δι’ ἀνταύγειαν χιόνος καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο.

α 2618 Ἀνταία: ἡ Ῥέα. καὶ Ἀνταῖος, ὄνομα κύριον.

α 2619 Ἀνταίρω· δοτικῇ. φιλονεικῶ.

α 2620 Ἀντέας: ὄνομα κύριον.

α 2621 Ἀντεγκλήμασι· ταύτῃ καὶ τοῖς ἀντεγκλήμασι τοῖς περὶ τῶν δώρων οὐκ ἀπεκρινάμην.

α 2622 Ἀντελαμβάνοντο· ὕπνοι τε αὐτῆς ἀεὶ μακρότατοι ἀντελαμβάνοντο. ἀντὶ τοῦ διεδέχοντο. ἡμερινοὶ μὲν ἄχρι πρώτων νυκτῶν, νυκτερινοὶ δὲ ἄχρις ἡλίου ἀνίσχοντος.

α 2623 Ἀντεμήνισεν: ἀντωργίσθη. ὁ δὲ παθὼν ἀνήκεστα καὶ τῆς πατρῴας ἑστίας διωχθεὶς παρὰ τὴν δίκην, ὅμως οὐκ ἀντεμήνισεν.

α 2624 Ἀντεξάγειν: ἀντιπαρατάσσεσθαι, ἀντεπιέναι.

α 2625 Ἀντεμπλήσαντες: ἀνταποδόντες. Ξενοφῶν· οἱ δὲ θαρρεῖν ἐκέλευον, λέγοντες ὅτι οὔτε τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων.

α 2626 Ἀντεπῄει: ἀντεπήρχετο.

α 2627 Ἀντεπεξελθεῖν· δοτικῇ. καὶ Ἀντεπεξέρχομαι· δοτικῇ.

α 2628 Ἀντεπιτίθησιν: ἀντὶ τοῦ ἀντεπιστέλλει. Ἰσαῖος.

α 2629 Ἀντεπιχειρεῖν· παρὰ Ἀριστοτέλει ἀντεπιχειρεῖν λέγεται. ἔστι δὲ ἀντεπιχειρεῖν τὸ πρὸς τὰ λεγόμενα μὲν μὴ φέρειν ἔνστασιν, ἐπιχειρεῖν δὲ δι’ ἄλλων τινῶν καὶ αὐτὸν πάλιν καὶ συλλογίζεσθαι, ὅτι μὴ ἀληθὲς τὸ δεικνύμενον. ὁ γὰρ πρὸς μὲν τὸ δεικνύναι λόγος, ὅτι ἡ ψυχὴ οὐκ ἀθάνατος, διὰ τὸ εἶδος αὐτὴν ἔνυλον εἶναι, μηδὲν δ’ ἔνυλον εἶδος χωριστὸν εἶναι τῆς ὕλης, μὴ ἐνιστάμενος, δεικνύναι δὲ πειρώμενος δι’ ἄλλων τινῶν πάλιν αὐτὴν ὅτι ἔστιν ἄφθαρτος, ἤτοι διὰ τοῦ λαμβάνειν, ὅτι αἱ μαθήσεις ἀναμνήσεις, ἢ ὅτι αὐτοκίνητος, ἀντεπιχειρεῖ, οὐκ ἐνίσταται.

α 2630 Ἀντερεῖ: ἀντιλέξει.

α 2631 Ἀντερείδει: ἀντὶ τοῦ οὐχ ὑπείκει.

α 2632 Ἐρίζω· καὶ ἀντερίζω σοι.

α 2633 Ἀντερώμενος: ἀντεπιθυμῶν.

α 2634 Ἀντέρως, ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς, γραμματικὸς, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου, τοῦ μετὰ Γάϊον βασιλεύσαντος, ἐφ’ οὗπερ καὶ Ἡρακλείδης ὁ Ποντικὸς γέγονεν· ἀκουστὴς δὲ ἦν Ἀπίωνος τοῦ Μόχθου. φέρονται αὐτοῦ βιβλία Περὶ γραμματικῆς β′. καὶ τοῦτο δὴ τὸ ὑμνούμενον ὄνομα Ἀντέρως ἐν τοῖσδε τοῖς γενναίοις ἐσῴζετο. ἀντὶ τοῦ ἀλλήλους ἠγάπων. Χαρίτων γὰρ καὶ Μελάνιππος εἰς ἔρωτα ἀλλήλοιν συνεπεσέτην. καὶ ὁ μὲν Χαρίτων ἐραστὴς ἦν, Μελάνιππος δὲ τὴν ψυχὴν ὁ ἐρώμενος ἐς τὸν φίλον τὸν ἔνθεον ἀναφλεχθεὶς ἰσότιμον τὸ τοῦ πόθου κέντρον ἀνεδείκνυτο.

α 2635 Ἀντέσχε: γενναίως ἔφερε. καὶ πρότερον ληφθείς τις ἀπὸ τῶν Ἰουδαίων πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχεν.

α 2636 Ἀντετόρησεν: εἰς τὸ ἐναντίον ἦλθε τιτρώσκων. διεπέρασε· τορῶ γὰρ τὸ τρυπῶ.

α 2637 Ἀντ’ εὐεργεσίης Ἀγαμέμνονα τῖσαν Ἀχαιοί: ἡ παροιμία κατὰ τῶν τοὺς εὐεργέτας προπηλακιζόντων ἤγουν ὑβριζόντων.

α 2638 Ἀντεύφρασμα: τὸ ἐναντίον τῇ εὐφροσύνῃ ἀγαθόν.

α 2639

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀντεφέροντο: ἠναντιοῦντο.

α 2640 Ἀντεφιλοτιμοῦντο: ἀντὶ τοῦ ἡμιλλῶντο καὶ ἤριζον καὶ ἀντηγωνίζοντο. τοῦτο δὲ τὸ ἀντιφιλοτιμεῖσθαι α′ ἐστὶ συζυγίας τῶν περισπωμένων, καὶ μόνον. ἔστι δέ τινα ῥήματα, ἃ δύο συζυγιῶν εὑρέθη· οἷον σκηνῶ, σκηνεῖς, σκηνᾷς· καὶ ἀτολμῶ, ἀτολμεῖς καὶ ἀτολμᾷς.

α 2641 Ἀντεφοδεύω· καὶ Ἀντεφώδευκα, ἀντὶ τοῦ ἀντεπέτρεχον.

α 2642 Ἀντέχει· δοτικῇ. ἀντὶ τοῦ ἐξαρκεῖ. Δείναρχος δὲ ἀντὶ τοῦ σῴζεται· Δημοσθένης καὶ Ὑπερίδης ἀντὶ τοῦ ἀντιλαμβάνεται. καὶ οἱ ἵπποι αὐτοῖς μηδὲ πρὸς τὸ φεύγειν ὑπὸ τοῦ πηλοῦ ἔτι ἀντέχειν. καὶ αὖθις· ἀμελετήτους ὄντας κρύει ἀντέχειν. ἀντὶ τοῦ ὑπομονητικῶς ἔχειν. καὶ αὖθις· ταῖς ἐπιθυμίαις ἀντέχων. καὶ αὖθις· ἡ σύγκλητος ὑπολαβοῦσα τοὺς Αἰτωλοὺς ἀντέχειν ταῖς κατὰ τὸν Ἀντίοχον ἐλπίσιν, ἀπράκτους ἀπέστειλεν εἰς τὴν Ἑλλάδα. καὶ Ἀντεχόμενος· γενικῇ· ἀντιλαμβανόμενος. Ἀντέχομαι δὲ τὸ ἀντιλαμβάνομαι, γενικῇ.

α 2643 Ἀντεχειροτόνησεν: ἀντέλεγεν. εἰ δὲ κἀκεῖνα προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν.

α 2644 Ἄντεια: ὄνομα κύριον ἑταίρας. τινὲς δὲ Ἄνθεια γράφουσιν.

α 2645 Ἀντεῖπεν· δοτικῇ.

α 2646 Ἀντήλιος· ἐν τῷ η, καὶ Ἀπηλιώτης καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλις ἐστὶ παρὰ Ποσειδίππῳ.

α 2647 Ἀντήνωρ: ὄνομα κύριον· καὶ συστέλλει. καὶ Ἀντηνορίδης, ὁ τοῦ Ἀντήνορος παῖς.

α 2648 Ἀντήρεις: ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις· μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ’ ἴσον ἐρέσσωσι καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς. ἀντήρεις οὖν ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον Ἠλέκτρα· πολλὰς δ’ ἀντήρεις ᾔσθου στέρνων πλαγὰς αἱμασσομένων. Ἀντῆρις δὲ ἀντήριδος, καὶ σημαίνει τὴν θυρίδα.

α 2649 Ἀντήρκουν: ἐξίσχυον, ἠδύναντο. πρὸς τὰς παρατάξεις ἀντήρκουν μόλις.

α 2650 Ἀντιάζει: ἐναντιοῦται.

α 2651 Ἀντιάνειραι: ἴσανδροι. ἐναντιούμεναι τοῖς ἀνδράσιν.

α 2652 Ἀντιάσας: μετασχών. ἐν Ἐπιγράμμασι· δῶρα φέρει τρομεροῦ γήραος ἀντιάσας. καὶ αὖθις Σοφοκλῆς· ἀλλ’ ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν ἡμᾶς τ’ ὀλέσθαι κἀξερημῶσαι γένος.

α 2653 Ἀντιάτας: τοὺς ἀπὸ Ἀντίου πόλεως, ἣ ἀπέχει Ῥώμης τ′ σταδίους.

α 2654 Ἀντιβληθέντος: ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος λέγει.

α 2655 Ἀντιβόλησις καὶ Ἀντιβολία: παράκλησις, ἱκετηρία. Θουκυδίδης· πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι, ἐς ἀπορίαν καθιστᾶσιν ἄγειν τε σφᾶς ἀξιοῦντες. καὶ Ἀντιβολῆσαι, ἀπαντῆσαι, μετασχεῖν. καὶ Ἀντιβολῶ, τὸ ἱκετεύω. πεποίηται δὲ παρὰ τὸ ἄντομαι καὶ βάλλω.

α 2656 Ἀντιβολῶ· δοτικῇ. φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀντιβολοῦσαι καὶ ἀντηχοῦσαι αὐτοῖς. αἰτιατικῇ δέ· ἡμεῖς δὲ τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρεστάναι καὶ τὸν ὅρκον ὃν ὀμωμόκατε, τούτους ἀξιοῦντας καὶ ἀντιβολοῦντας ἕκαστον ὑμῶν.

α 2657 Ἀντιγενίδης, Σατύρου, Θηβαῖος, μουσικὸς, αὐλῳδὸς Φιλοξένου. οὗτος ὑποδήμασι Μιλησίοις πρῶτος ἐχρήσατο καὶ κροκωτὸν ἐν τῷ Κωμαστῇ περιεβάλλετο ἱμάτιον. ἔγραψε μέλη.

α 2658 Ἀντιγόνη: ὄνομα κύριον. καὶ Ἀντιγονίειος. καὶ Ἀντιγόνειος κλίνη, τοῦ Ἀντιγόνου.

α 2659 Ἀντίγονος· οὗτος ἐκλήθη εὐεργέτης καὶ σωτὴρ παρὰ πᾶσι τοῖς Ἕλλησι. νικήσας γὰρ μάχῃ Κλεομένη, τὸν τῶν Λακεδαιμονίων βασιλέα, ἐγκρατὴς ἐγένετο καὶ τῆς Σπάρτης αὐτός τε ὢν κύριος ὃ βούλοιτο χρῆσθαι καὶ τῇ πόλει καὶ τοῖς ἐμπολιτευομένοις, τοσοῦτον ἀπεῖχε τοῦ κακῶς ποιεῖν τοὺς γεγονότας ὑποχειρίους, ὡς ἐκ τῶν ἐναντίων ἀποδοὺς τὸ πατρικὸν πολίτευμα καὶ τὴν ἐλευθερίαν, καὶ τῶν μεγίστων ἀγαθῶν αἴτιος γενόμενος καὶ κοινῇ καὶ κατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰδίαν Λακεδαιμονίοις· καὶ οὐ μόνον ἐκρίθη παρ’ αὐτὸν τὸν καιρὸν εὐεργέτης, ἀλλὰ καὶ μεταλλάξας σωτήρ.

α 2660 Ἀντιγόχνοιαι: οἱ τροχοὶ τοῦ ἅρματος.

α 2661 Ἀντιγραφεύς: ὅμοιος τῷ γραμματεύς. ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. οὕτως Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος, ἀλλὰ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δύο δὲ ἦσαν, ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς βουλῆς. ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον· ἐπὶ τῶν τοιούτων γὰρ λέγεται ἀντιγραφή. κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα. καὶ λέγεται ὁμοίως τά τε τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφή. λέγεται δὲ οὕτως καὶ τὰ μαρτύρια. Πλάτων μέντοι ἐν τῇ Σωκράτους Ἀπολογίᾳ ἀντωμοσίαν καὶ ἀντιγραφὴν τὸ αὐτὸ λέγει.

α 2662 Ἀντιδιαστέλλεται: ἀντιδιΐστησιν.

α 2663 Ἀντίδορον: τὸ τοῦ δέρματος δέρμα. ἐν Ἐπιγράμμασι· καὶ κάρυον χλωρῆς ἀντίδορον λεπίδος.

α 2664 Ἀντίθεσις: σχῆμα λέξεώς ἐστι, καθ’ ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία ἢ κατὰ μέρος ἢ ἄθροα. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ.

α 2665 Ἀντικάθηται: ἀντὶ τοῦ ἐναντιοῦται. καὶ Ἀντικαθίστασθαι ὁμοίως. οὐ δυνάμενος τῷ πλήθει ἀντικαθίστασθαι.

α 2666 Ἀντὶ κακοῦ κυνὸς σῦν ἀπαιτεῖς: παροιμία ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀπαιτούντων.

α 2667 Ἀντικαταλλαττόμενος: οὐ μόνον ὅταν σπένδηταί τις ἢ εἰς φιλίαν ἔρχηται πρὸς ὃν γέγονεν αὐτῷ διαφορὰ, τῷ καταλλαττόμενος ἐχρήσαντο οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ πολλάκις. Δημοσθένης· ἀλλὰ καὶ ἐδείκνυεν ὑμᾶς τυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος ἐπὶ ταῖς τραπέζαις.

α 2668 Ἀντικατέστησαν: ἠναντιώθησαν. Διόδωρος· οἱ δὲ ὑπολειφθέντες ἀλλήλοις ἀντικατέστησαν.

α 2669 Ἀντικατηγορεῖσθαι· τὸ ἴδιον ἀντικατηγορεῖται τοῦ πράγματος καὶ μόνῳ ὑπάρχει· ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν. καὶ τοῦτό ἐστιν ἀντικατηγορεῖσθαι, τὸ μόνῳ καὶ παντὶ ὑπάρχειν.

α 2670 Ἀντικείμενα· τὰ ἀντικείμενα τετραχῶς ἀντίκειται· ἢ γὰρ ὡς κατάφασις καὶ ἀπόφασις ἢ ὡς τὰ ἐναντία ἢ ὡς ἕξις καὶ στέρησις ἢ ὡς τὰ πρός τι. καὶ καθ’ ἑκάστην ἀντίθεσιν οἰκεία τις ἀκολουθία, ἀφ’ ἧς ἀκολουθίας ὑπογράφει πῶς οἷόν τε ὁρμωμένους κατασκευάζειν τι καὶ ἀνασκευάζειν. ἀλλ’ οὐκ ἐπὶ πασῶν τῶν ἀντιθέσεων ἡ ἀκολούθησις ὁμοίως, ἀλλ’ ἐπὶ μὲν τῆς ἀντιφάσεως ἀνάπαλιν ἡ γινομένη ἀκολούθησις ἔχει. εἰ γὰρ τὸ κακὸν ἡδὺ, τὸ οὐχ ἡδὺ οὐ καλόν· ἀλλ’ οὐχὶ τὸ οὐ καλὸν οὐχ ἡδύ. καὶ τὰ λοιπὰ ἐπὶ τοῖς τόποις.

α 2671 Ἀντικλείδης· οὗτος ἔγραψε περὶ Νόστων. αἰτοῦντος γὰρ τοῦ Πυθίου ἀναθεῖναι τὴν ἄρνα τὴν χρυσῆν καὶ ἕτερα παρέχοντος κειμήλια, εἰπεῖν τὴν Πυθίαν· ὃ βούλομαι, δὸς, μὴ δίδου δ’ ὃ μὴ θέλω.

α 2672 Ἀντίκρισις: ἀντὶ τοῦ ἀπόκρισις. οὕτως Ἀναξίλας.

α 2673 Ἀντικρύ: κατέναντι, ἐξ ἐναντίας. Ἄντικρυς δὲ διόλου, ἢ παντελῶς, ἢ φανερῶς. δι’ ἐναντίας, φανερῶς. ὁ δὲ ποιητὴς ἐκτεταμένως λέγει καὶ δίχα τοῦ ς. ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα. ἢ Ἄντικρυς, ἀντὶ τοῦ αὐτίκα, φανερῶς. ὑποβλήτους ἂν εἶπέ τις αὐτοὺς εἶναι καὶ νόθους ἄντικρυς. ἀντὶ τοῦ ἀληθῶς. εἶδον δὲ καὶ τὴν εἰκόνα αὐτοῦ ἄντικρυς ἀπαγγέλλουσαν τὴν τοῦ ἀνδρὸς ὄψιν, οἷος ἦν τὴν φύσιν. καὶ ὁ κανών· τὰ εἰς υς ἐπιρρήματα, εἰ λέγοιτο ἄνευ τοῦ ς, ἰσοχρονεῖν θέλει· μεσσηγὺς, μεσσηγύ. τὸ μέντοι ἀντικρὺ μεταβαλὸν τὸν τόνον, μετέβαλε καὶ τὸν χρόνον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2674 Ἄντικρυς: κατέναντι, ἐξ ἐναντίας. οἱ δὲ γλωσσογράφοι καὶ Ἀπολλόδωρος ὁ Κυρηναῖος καὶ ἕτερά φασι δηλοῦν. καὶ γὰρ διαμπερὲς καὶ ἰθὺς καὶ εὐθὺς καὶ ἐπ' εὐθείας καὶ ἰσχυρῶς καὶ σαφῶς καὶ ἀκριβῶς καὶ ἁπλῶς. οἱ δέ φασιν ἀκριβέστερον οἶμαι λέγοντες, ὅτι μετὰ τοῦ ς λεγόμενον τὰ εἰρημένα δηλοῖ, ἄνευ δὲ τοῦ ς, οἷον ἀντικρύ, τὸ κατέναντι μόνον, καὶ ἐξ ἐναντίας.

α 2675 Ἀντίκυρα: ὄνομα χωρίου τινός.

α 2676 Ἀντικυρίας σοι δεῖ: ἀντὶ τοῦ ἐξουσίας.

α 2677 Ἀντιλαμβανόμενοι· γενικῇ. κρατοῦντες, ἐξεχόμενοι. μεῖναί τε αὐτὸν ἠξίουν καὶ κατέχειν ἀντιλαμβανόμενοι ἐτόλμων.

α 2678 Ἀντιλέγειν· δοτικῇ. ἀντὶ τοῦ ἶσα λέγειν. Πλάτων.

α 2679 Ἀντίληψις: ἀντὶ τοῦ ἐπίληψις. Πλάτων. Ἀντιλήπτωρ δὲ ὁ ἀντιλαμβανόμενος.

α 2680 Ἀντιλογιῶν· Θουκυδίδης αʹ. καὶ Ἀντιλογῆσαι· Νεφέλαις Ἀριστοφάνης.

α 2681 Ἀντίμαχος, Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι. ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. γέγονε δὲ πρὸ Πλάτωνος.

α 2682 Ἀντίμαχος ἕτερος, Ἡλιοπολίτης, ἀπ' Αἰγύπτου, ὃς ἔγραψε Κοσμοποιΐαν ἐν ἔπεσιν ἡρωϊκοῖς τρισχιλίοις ἑπτακοσίοις.

α 2683 Ἀντίμαχος, ὁ Ψεκάδος· οὗτος μελῶν ἦν ποιητής. Ψεκὰς δὲ ἐκλήθη, ἐπειδὴ προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπικὸς καλούμενος Ψεκὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, ὅτι μὴ δεῖ κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορόν· καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. οἱ δὲ λέγουσιν, ὅτι ποιητὴς ὢν καλὸς, ὢν χορηγὸς, μικρολόγως τοῖς χορηγοῖς ἐχρήσατο.

α 2684 Ἀντιμάχου καταπυγοσύνης ἀναπλήσει: ἀντὶ τοῦ ἡ μαλακία. οὗτος εἰς θηλύτητα καὶ εὐμορφίαν κωμῳδεῖται. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. καὶ γʹ, ὁ Ψεκάδος λεγόμενος. καὶ δʹ, τραπεζείτης, οὗ μνημονεύει καὶ Εὔπολις ἐν Δήμοις. εʹ ἱστοριογράφος.

α 2685 Ἀντιμίσιον: παρὰ Ῥωμαίοις τράπεζα πρὸ τοῦ δικαστηρίου κειμένη.

α 2686 Ἀντινομῶ· δοτικῇ.

α 2687 Ἀντί νυ πολλῶν λαῶν ἐστὶν ἀνὴρ, ὅν τε Ζεὺς κῆρι φιλήσει: ἶσος ἐστὶν ὁ εἷς ἀνὴρ πολλοῖς, ὅταν ᾖ θεοφιλής.

α 2688 Ἀντίξοον: ἐναντίον, πολέμιον. Ἡρόδοτος· καὶ στρατὸν συλλέγειν ἀντίξοον Πέρσῃσι. καὶ Ἀντίξουν, ἐναντίον. Ἀγαθίας· ὁ δὲ ἐχώρει, οὐδὲν ἀντίξουν ἔσεσθαι ὑποτοπήσας.

α 2689 Ἀντιόπη, θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει αὐτὴν τῷ ἀδελφῷ κολάσαι. ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος ᾤκτειρεν. ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἔρριψεν ὁ θεῖος. εἶχε δὲ γυναῖκα, ὀνόματι Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκιον φιλεῖν τὴν Ἀντιόπην ἀνάγει αὐτὴν εἰς ὄρος καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου καὶ ἀνάψασα δᾷδας ἀπὸ τῶν αὐτοῦ κεράτων ἔμελλεν αὐτὴν ἀπολλύειν. ἡ δὲ ἐθρήνει καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, σὺν οἷς καὶ Ζῆθος καὶ Ἀμφίων. καὶ γνωρίσαντες τὴν μητέρα ἐρρύσαντο αὐτήν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος δὲ καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ μετακληθέντος Οἰδίποδος.

α 2690 Ἀντίος: ὁ κατέναντι. ἧκε δ' αὐτοῦ ἀντίος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2691 Ἀντίου: πόλις, ἥτις ἀπέχει Ῥώμης τʹ σταδίους.

α 2692 Ἀντιόχεια: ἡ πόλις. πεποίηται μὲν ὑπὸ Σελεύκου· ὠνόμασται δὲ ἀπὸ τοῦ παιδὸς Ἀντιόχου. καὶ Ἀντιοχίς, ὄνομα φυλῆς.

α 2693 Ἀντίοχος, βασιλεύς· οὗτος ἐδόκει κατὰ τὰς ἀρχὰς γεγονέναι μεγαλεπήβολος καὶ τολμηρὸς καὶ τοῦ προτεθέντος ἐξεργαστικός, προβαίνων δὲ κατὰ τὴν ἡλικίαν ἐφάνη πολὺ καταδεέστερος αὑτοῦ καὶ τῆς τῶν ἐκτὸς προσδοκίας. ἐκ γὰρ τῶν παίδων τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐξῆλθε ῥίζα ἁμαρτωλὸς, οὗτος ὁ Ἐπιφανὴς, υἱὸς Σελεύκου τοῦ Φιλοπάτορος, ὃς ὑπάρχων δεινὸς ἀνὴρ καὶ πλεονέκτης καὶ πολλὰς ἁρπαγὰς καὶ λεηλασίας ποιήσας συνῆξε χρήματα πολλὰ καὶ ἐκ πολλῆς ἀκολασίας καὶ οἰστρηλασίας εἰς μίμους ἑαυτὸν καθεὶς ἐν ὄψει πάντων ταῖς γυναιξὶν ἐπεμαίνετο. καὶ καταλαβὼν τὴν Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ καὶ ἅρμασι καὶ ἐλέφασι καὶ στόλῳ μεγάλῳ ταύτης ἐκράτησεν. ὑποστρέψας δὲ μετὰ ἀπονοίας εἷλε καὶ τὴν Ἱερουσαλὴμ δορυάλωτον καὶ κατέσφαξε μυριάδας ιηʹ. κατατολμήσας οὖν καὶ εἰς τὸ ἁγίασμα εἰσελθὼν καὶ στήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως καὶ τὸν ναὸν μιάνας δι’ ἀκαθάρτων θυσιῶν ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν. οὕτω τε ἐφ’ ὑψηλοῦ καθίσας καὶ τῶν στρατιωτῶν αὐτοῦ κύκλῳ παρεστηκότων ἐνόπλων ἐκέλευσε τοῖς δορυφόροις ἕνα ἕκαστον Ἑβραῖον ἐπισπάσασθαι καὶ κρεῶν χοιρείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι· εἰ δὲ μὴ θέλοιεν μιαροφαγῆσαι, ἀναιρεῖσθαι τροχισθέντας. πολλῶν οὖν συναρπασθέντων, καὶ Ἐλεάζαρ τις τῶν πρώτων γραμματέων, ἤδη προβεβηκὼς τὴν ἡλικίαν, μὴ μιαροφαγήσας, μαστιγωθεὶς ἀναιρεῖται σὺν ἑπτὰ παισὶ μετὰ μητρὸς Σολομωνίδος. περὶ ὧν καὶ ὁ Θεολόγος ἐν τῷ, τί δαὶ οἱ Μακκαβαῖοι, μνημονεύει. ἐκπλαγεὶς δὲ ὁ τύραννος καὶ μᾶλλον ἐκμανεὶς καὶ τὰ ἱερὰ σκεύη πάντα λαβὼν καὶ πᾶσαν τὴν πόλιν λαφυραγωγήσας καὶ τὰ κτήνη κρεουργήσας καὶ φονοκτονίαν ποιήσας καὶ μεγαλορημονήσας ἀνεχώρησεν εἰς Ἀντιόχειαν. καὶ μετὰ δύο ἔτη κατὰ Περσῶν ἐπιστρατεύσας ἀπέστειλεν ἄρχοντα φορολογῆσαι τὰς πόλεις Ἱερουσαλήμ. ὃς παραγενόμενος καὶ λαλήσας εἰρηνικοὺς λόγους πρὸς τὴν Ἱερουσαλὴμ καὶ εἰσελθὼν ἐπάταξεν αὐτὴν πληγῇ μεγάλῃ, καὶ καθελὼν τὰ τείχη πᾶσαν αὐτὴν ἐνέπρησε, καὶ τὸ ἱερὸν μιάνας καὶ πολλοὺς ἀνελὼν καὶ αἰχμαλωτεύσας ἀπῄει, ἄρχοντα καταλιπὼν εἰς τὸ βασανίζειν τοὺς Ἰουδαίους. Ματθίας δέ τις ἱερεὺς, ἔχων υἱοὺς πέντε, ἀφ’ ὧν Ἰούδας ὁ Μακκαβαῖος ἐτύγχανε, ζήλου πλησθεὶς καὶ ὁρμήσας κατὰ τοῦ ἄρχοντος ἀνεῖλεν αὐτὸν καὶ σκάπτει τοὺς τῶν Ἑλλήνων βωμούς. ἐπέρχεται οὖν αὐτῷ Ἀντίοχος μετὰ πολλῆς δυνάμεως. ὡς δὲ ἐπέτεινεν ὁ πόλεμος, Ἐλεάζαρ ἀδελφὸς Ἰούδα ἀριστεύσας συντρίβεται ὑπὸ τοῦ ἐλέφαντος. ὑπεισῆλθε γὰρ τὸν ἐλέφαντα καὶ ξίφει τὴν γαστέρα αὐτοῦ ἔτυψεν ἐλπίσας ἐπάνω αὐτοῦ τὸν τύραννον φέρεσθαι. ἐκστρατεύσας οὖν Ἀντίοχος κατὰ Περσῶν ὑπέστρεψεν ἡττημένος καὶ κακῶς τὸν βίον ἀπαλλάττει. ὅτι ὁ αὐτὸς Ἀντίοχος τὸ τῶν Ἰουδαίων ἔθνος στασιάσαν πρὸς τὸν συνήθη φόρον αὖθις κατεδούλωσε· συλήσας τε τὰ τοῦ ἱεροῦ ἀναθήματα καὶ διερευνήσας ἅπαντα εὗρεν ἀγαλμάτιον βιβλίον ἐν ταῖς χερσὶ κατέχον πώγωνά τε ἐπιφερόμενον βαθύν· ᾧ δὴ καὶ λυχνίδιον παρειστήκει διάχρυσον. ταῦτα χοιρείοις αἵμασιν ἀναλαβὼν ἐν τῷ ἱερῷ κατέλιπε· καὶ πολλοῖς ταλάντοις ζημιώσας πρὸς ὑπαγωγὴν φόρου τοὺς ἐνοικοῦντας Ἰουδαίους ἐπὶ τὰς Συρίας ἐπανῆλθεν.

α 2694 Ἀντίοχος ὁ Πραιπόσιτος· οὗτος διαβληθεὶς Θεοδοσίῳ τῷ μικρῷ καθῃρέθη τῆς τιμῆς καὶ δημοσιευθεὶς ἐν τοῖς ἱερεῦσι κατετάγη, διατάξεως ἐκφωνηθείσης παρὰ τοῦ βασιλέως, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν.

α 2695 Ἀντίοχος· αὐτόμολος, Κίλιξ μὲν ἦν τὸ γένος, ὃς φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάττετο καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ ὠφέλησεν. ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν, ἔς τε τὴν χιόνα ῥιπτῶν καὶ ἐν αὐτῇ καλινδούμενος· ὅθεν περ

καὶ χρημάτων καὶ τιμῶν παρὰ τοῦ Σευήρου καὶ τοῦ Ἀντωνίνου ἔτυχεν. ἐπαρθεὶς δὲ ἐπὶ τούτοις τῷ Τηριδάτῃ συνεξητάσθη, καὶ μετ' αὐτοῦ πρὸς Πάρθους ηὐτομόλησεν.

α 2696 Ἀντιώντων: ἀπαντώντων.

α 2697 Ἀντιωρήσας.

α 2698 Ἀντιπάθεια.

α 2699 Ἀντίπαλον: τρία σημαίνει· τὸ ἐναντίον καὶ τὸ ἰσόπαλον καὶ τὸ ἰσόστροφον. οὐ γὰρ ἐξ ἀντιπάλου τῆς δυνάμεως ὁ ἀγὼν ἔσται.

α 2700 Ἀντιπαράκλησις. εἰς τοιαύτην προθυμίαν παρέστη τὸ πλῆθος, ὥστε παραπλησίαν ἐνθουσιασμῷ τὴν ἀντιπαράκλησιν γίνεσθαι τῶν δυνάμεων.

α 2701 Ἀντιπαράτωρα: ἀντικόσμησις, ἢ ἄλλη εὐπρέπεια. παράτον γὰρ ἡ παρασκευὴ παρὰ Ῥωμαίοις.

α 2702 Ἀντιπαρέξειν: ἀντιτάσσειν.

α 2703 Ἀντίπατρος, Ἰολάου, πόλεως δὲ Παλιούρας τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου, εἶτα Ἀλεξάνδρου, καὶ διάδοχος βασιλείας· μαθητὴς Ἀριστοτέλους. κατέλιπεν ἐπιστολῶν σύγγραμμα ἐν βιβλίοις β', καὶ ἱστορίαν, τὰς Περδίκκου πράξεις Ἰλλυρικάς. καὶ ἐπετρόπευσε μὲν τὸν υἱὸν Ἀλεξάνδρου, τὸν Ἡρακλέα κληθέντα. μόνος δὲ τῶν διαδόχων θεὸν καλέσαι Ἀλέξανδρον οὐχ εἵλετο, ἀσεβὲς τοῦτο κρίνας. ἐβίω δὲ ἔτη οθ' καὶ κατέλιπεν υἱὸν καὶ διάδοχον Κάσσανδρον, τὸν τὴν μητέρα Ἀλεξάνδρου ἀνελόντα Ὀλυμπιάδα. ὅτι τῶν Ἀθηναίων τὰς Ἀθήνας Ἀντιπάτρῳ τῷ Μακεδόνι παραδόντων, ἐν δέει ὄντες οἱ δημαγωγοὶ πρὸς τὴν ἐπανάστασιν τοὺς Ἀθηναίους ἐπάραντες, μὴ τὴν αἰτίαν ἐπ' αὐτοὺς ἐνέγκωσιν, ἔφυγον. οἱ δὲ Ἀθηναῖοι θανάτῳ ἐρήμην τούτους κατεδίκασαν, ὧν ἦν Δημοσθένης ὁ ῥήτωρ καὶ Ὑπερίδης καὶ Ἱμεραῖος, τὴν τοῦ θανάτου εἰσήγησιν εἰσενεγκόντος. ἐγεγόνει γὰρ ἐς οὐδὲν μετριώτερος τῇ γνώμῃ· διότι μηδέ ἐστι φύσεως μεταβολὴ κακίᾳ συνελθούσης· ἡττᾶται δὲ αὐτῆς καὶ νόμου ἐπίταξις μὴ παντελῶς κολάζουσα, καὶ ἰσχὺς αὐτῇ ἀνανταγώνιστος ἐφ' ὅπερ ἂν ῥέψῃ· καὶ οὔτε φόβῳ ἀποτρέπεται τὸ θρασύνεσθαι, οὔτε αἰδὼς ἐξείργουσα παραπεῖσαι ἱκανή ἐστιν ἐς τὸ τῷ νόμῳ ὑπήκοον.

α 2704 Ἀντίπατρος· οὗτος ἐπεὶ διεδέξατο τὴν ἀρχὴν τῶν Μακεδόνων, ἐπολιορκήθη μὲν ἐν Λαμίᾳ τῆς Θεσσαλίας ὑφ' Ἑλλήνων· ἀναχωρησάντων δὲ τῶν Αἰτωλῶν, εἶτα τῶν ἄλλων, ἐσώθη. νικήσας δὲ ᾔτει τοὺς ι' ῥήτορας, οὓς ἐξέδοσαν Ἀθηναῖοι, Δημοσθένην, Ὑπερίδην, Λυκοῦργον, Πολύευκτον, Ἐφιάλτην, Θρασύβουλον, Χάρητα, Χαρίδημον, Διότιμον, Πατροκλέα, Κάσσανδρον.

α 2705 Ἀντίπατρος, Νικολάου τοῦ Δαμασκηνοῦ πατὴρ τοῦ ἱστορικοῦ, ὃς ἔσχε Στρατονίκην γυναῖκα, τὴν μητέρα Νικολάου, οἳ διαφανεῖς ἦσαν ἐν Δαμασκῷ κατά τε σωφροσύνην καὶ ἄλλην λαμπρότητα. πλούτῳ τε γὰρ πολλῷ διαφέροντες ἥκιστα ἐπ' αὐτῷ ἐμεγαλύνοντο, εὐδοξίας τε οὐ τὰ δεύτερα φερόμενοι βραχὺ τοῦτο ἐλογίζοντο. ὁ δὲ δὴ Ἀντίπατρος καὶ λόγου δεινότητι προὔχων ἔβλαψε μὲν οὐδ' ὁντινοῦν, ὤνησε δὲ μυρία τούτῳ οὐ τῶν κοινῶν μόνων, ἀλλὰ καὶ τῶν ἀστῶν συχνούς. δικαιοσύνην γὰρ ἀσκῶν, εἴπερ τις ἕτερος, πλεῖστα μὲν διῄτησε νείκη τοῖς πολίταις πρὸς ἀλλήλους, πλεῖστα δὲ τῇ πατρίδι πρὸς τοὺς ἐν κύκλῳ δυνάστας· καὶ ἐτιμᾶτο ὑπὸ πάντων διὰ τοῦτο. πλείστας δὲ ἐπιστεύθη πρεσβείας καὶ ἐπιτροπὰς ἀρχάς τε πάσας διεξῆλθε τὰς ἐγχωρίους· τελευτῶν τε τὸν βίον οὐκ ἔστιν ὅ τι οὐκ ἐπέσκηψε Νικολάῳ τῷ υἱεῖ καὶ Πτολεμαίῳ τῷ τούτου ἀδελφῷ, ἢ τῷ Διῒ θυμιατήριον, ὅπερ ἔφθη αὐτὸς προϋπεσχημένος τῷ θεῷ, κατασκευάσαι, ἐπειδὰν τελευτήσῃ· δηλῶν οἶμαι ὅτι τὸ πρὸς θεοὺς ὅσιον δεῖ καὶ τελευτῶντας φυλάττειν καὶ μηδὲν ἔτι ἀπολαύσεσθαι τοῦ βίου μέλλοντας.

α 2706 Ἀντίπαις: ὁ ἐγγὺς ὢν τοῦ ἴουλος γενέσθαι, ὁ τὸν πώγωνα ἐκφύων. ὁ δὲ Ἀριστοφάνης ὁ πρόσηβος καὶ ἀνδρόπαις εἶπεν.

α 2707 Ἀντιπελαργεῖν: παροιμία ἐπὶ τῶν τὰς χάριτας ἀντιδιδόντων. καὶ Ἀντιπελάργωσις. φησὶν Ἀριστοτέλης ἀληθῆ εἶναι τὸν περὶ τῶν πελαργῶν λόγον· ὁμοίως δὲ αὐτοῖς ποιεῖν φησι καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας· οἱ δὲ ἱπποπόταμοι ζῷον ἀδικώτατον.

α 2708 Ἀντιπεπονθότως: ἀντικειμένως, ἐναντίως.

α 2709 Ἀντιπεποιημένοι· οἱ δὲ Ῥωμαῖοι ἀντιπεποιημένοι τῆς κατὰ θάλατταν ἐλπίδος διπλασίως ταῖς ὁρμαῖς πρὸς τὸν πόλεμον ἐχρῶντο.

α 2710 Ἀντιπέρας: παροξυτόνως ἀναγνωστέον. ὄνομα γάρ ἐστι θηλυκὸν, γενικῆς πτώσεως, σύνθετον. ὅτι ἀντιπέρας Θάσου μέταλλά ἐστι χρυσοῦ.

α 2711 Ἀντιπερίσπασμα: ἐμπόδιον. ἐξαπέστειλαν στρατηγὸν, βουλόμενοι ἀντιπερίσπασμα ποιεῖν τοῖς Κελτοῖς τοῖς μετὰ Ἀννίβου.

α 2712 Ἀντὶ πέρκης σκορπίον: παροιμία ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ τῶν βελτιόνων.

α 2713 Ἀντιπέτρεια: ὄνομα πόλεως.

α 2714 Ἀντιπέτρου βήματος: ἀντὶ γὰρ πέτρας χαλκοῦς ἦν. ἢ ἰσοπέτρου βήματος, τοῦ κατ᾽ ἴσον βεβηκότος τῷ πέτρῳ. χαλκοῦς δὲ ἦν ὁ οὐδός. Σοφοκλῆς· μηκέτι τοῦδ᾽ ἀντιπέτρου βήματος ἔξω πόδα κλίνης. χαλκὸς αὐτὴ ἡ ὕλη· χαλκοῦς δὲ ἀνδρίας τὸ μετουσιαστικὸν ὡς χρυσὸς καὶ χρυσοῦς.

α 2715 Ἀντιπίπτω· δοτικῇ.

α 2716 Ἀντιπολεμῶ· δοτικῇ. καὶ Ἀντιπνέω· δοτικῇ.

α 2717 Ἀντιπροκλήσεις: ἀντιλογίας, ἀντεγκλήματα.

α 2718 Ἀντίπροικα: ὅμοια. ἀντίπροικα ὁ δῆμος ἠγανάκτησε, καὶ θροῦς ὑπεξήφθη.

α 2719 Ἀντιποιηθέντα: φιλονεικήσαντα. δεῖ γὰρ ἀντιποιηθέντας οὐ πρότερον χαρίσασθαι θελήσαντι. καὶ Ἀντιποιούμενον· γενικῇ. ἐπιμελῶς διακείμενον. Πολύβιος· ὁ δὲ Ἄρατος κατανοῶν τὸν Ἀντίγονον πρᾶξιν ἔχοντα καὶ σύνεσιν καὶ πίστεως ἀντιποιούμενον· τοὺς δὲ βασιλεῖς φύσει μὲν οὐδένα νομίζοντας οὔτ᾽ ἐχθρὸν οὔτε πολέμιον ἐπεβάλετο λαλεῖν πρὸς τῶν εἰρημένων βασιλέων καὶ συμπλέκειν τὰς χεῖρας. ἀντιποιούμενοι τῆς ἀρχῆς τῷ βασιλεῖ. Ξενοφῶν. καὶ αὖθις· οὐδὲν ἀντιποιησάμενοι τῆς ἐκείνου δεήσεως.

α 2720 Ἀντιρρητικά.

α 2721 Ἀντίρροπον: ἰσόρροπον. τῇ τε γὰρ Κράσσου καὶ τῶν ἀμφ᾽ αὐτὸν φθορᾷ ἀντίρροπον γενέσθαι τὴν Πακόρου καὶ τῆς ξὺν αὐτῷ δυνάμεως ἀπώλειαν.

α 2722 Ἀντισήκωσις: ἡ ἀνταπόδοσις.

α 2723 Ἀντισθένης, Ἀθηναῖος, ἀπὸ ῥητόρων φιλόσοφος Σωκρατικός, ὅστις Περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν· υἱὸς δὲ ὢν ὁμωνύμου πατρὸς, μητρὸς δὲ τὸ γένος Θρᾴσσης. οὗτος συνέγραψε τόμους δέκα· πρῶτον μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου, εὑρόντος τὴν σοφίαν· τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥόδωνι ἀνατιθέασιν. οὗτος οὖν καὶ τῆς Κυνικῆς κατήρξατο φιλοσοφίας, ἥτις οὕτως ἐκλήθη διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ διδάξαι αὐτόν. καὶ Διογένους δὲ καθηγητὴς γέγονε τοῦ Κυνὸς καὶ τῶν λοιπῶν. ὅτι ἀρρωστοῦντι Ἀντισθένει μακρὰν καὶ δυσανάκλητον ἀρρωστίαν ὁ Διογένης ξιφίδιον ἐπιδέδωκεν εἰπών· εἰ φίλου χρήζεις ὑπουργίας. οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγεινὸν τὸν θάνατον, ὥστε γίνεσθαι τὴν ἀρρωστίαν τρυφὴν αὐτόχρημα. ἀντὶ τοῦ παντελῶς ὅμοιον.

α 2724 Ἀντιστηρίζει: ἀντιλαμβάνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2725 Ἀντισπᾶν: ἐναντιοῦσθαι.

α 2726 Ἄντισσα: μία πόλις τῶν ἐν Λέσβῳ.

α 2727 Ἀντιστρόφους: ἀντὶ τοῦ ἰσοστρόφους. καὶ Ἀριστοτέλης τὴν διαλεκτικὴν ἀντίστροφόν φησιν εἶναι τῇ ῥητορικῇ, ἐπειδὴ κἀκείνη περὶ τὰ πιθανὰ, ἃ τῷ ἔνδοξα εἶναι καὶ αὐτά ἐστι τοιαῦτα· τὸ γὰρ ἀντίστροφον ἀντὶ τοῦ ἰσόστροφον καὶ περὶ τὰ αὐτὰ στρεφομένην καὶ καταγινομένην λέγει.

α 2728 Ἀντιστοιχοῦντες· ἔστησαν ὥσπερ μάλιστα χοροὶ ἀντιστοιχοῦντες ἀλλήλοις ἔχοντες γέρρα πάντες βοῶν λευκῶν.

α 2729 Ἀντισχεῖν: ὑπομεῖναι. ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες ἐπεκηρυκεύσαντο. καὶ Ἀντίσχωμαι, αὐθυπότακτον, ἀντιλάβωμαι.

α 2730 Ἀντιτεχνῶμαι· δοτικῇ.

α 2731 Ἀντιτείνω· δοτικῇ.

α 2732 Ἀντιτορήσας: διατρήσας, τοιχωρυχήσας. ἐπεὶ δ’ ἀντιτορήσαντας κατά τι μέρος τὸν λόφον ἑώρων, δέος εἰσῄει σφᾶς.

α 2733 Ἀντιτυπῆσαι: ἀντιπαθῆσαι. καὶ Ἀντιτυπία, ἐναντίωσις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος. ἐν Ἐπιγράμμασι· καὶ λίθον ἀντιτύπῳ κρούματι πυρσοτόκον. καὶ Ἀντίτυπον· πάσης αἰσθήσεως περὶ ἕν τι γένος ἐχούσης ἡ ἁφὴ οὐκ ἔχει περὶ ἓν κοινὸν γένος τῶν ἁπτῶν, φησὶν Ἀριστοτέλης. ὅτι καὶ αὐτὴ καταγίνεται περὶ ἕν τι γένος τῶν ἁπτῶν· ἀλλ’ οὐκ ἔστιν εὔδηλον τὸ ἓν γένος τὸ τῇ ἁφῇ ὑποκείμενον· διὰ δὲ τούτου ἐσήμανεν, ὅτι ἐστὶ μὲν, οὐ φανεροῖ δέ. τί οὖν τοῦτό ἐστι; λέγομεν ὅτι τὸ ἀντίτυπον. ἀντίτυπον δὲ λέγω οὐ τὸ ἀντικείμενον τῷ μαλακῷ καὶ μὴ ὑπεῖκον τῇ ἁφῇ, ἀλλὰ πᾶν φυσικὸν σῶμα τὸ προσπίπτον καὶ θιγγάνον τῆς ἁφῆς πρὸς ἀντιδιαστολὴν τῶν μαθηματικῶν σωμάτων, ἃ οὐ θιγγάνει οὐδὲ ἀντιβαίνει τῇ ἁφῇ. τὸ οὖν ὁπωσοῦν ἀντιβαῖνον τῇ ἁφῇ τοῦτό φαμεν ἀντίτυπον, καὶ κοινὸν εἶναι γένος τῶν ἁπτῶν. καὶ Ἀντιτύπους ἀνθρώπους, σκληροὺς καὶ ἀνενδότους. μεταφορικῶς ἀπὸ τοῦ ἄκμονος καὶ τῆς σφύρας. καὶ τύπος ἀντίτυπος. φησὶν ὁ χρησμός.

α 2734 Ἀντιφάνης, Ἀθηναῖος, κωμικὸς, νεώτερος τοῦ Παναιτίου. ἔστι δὲ καὶ ἕτερος Ἀντιφάνης, Καρύστιος, τρανὸς, κατὰ Θέσπιν γεγονὼς τοῖς χρόνοις. καὶ Ἀντιφάνειος κωμῳδία, τοῦ Ἀντιφάνους.

α 2735 Ἀντιφάνης, Δημοφάνους, οἱ δὲ Στεφάνου καὶ μητρὸς Οἰνόης, Κιανός, ὡς δέ τινες Σμυρναῖος, κατὰ δὲ Διονύσιον Ῥόδιος· κωμικὸς τῆς μέσης κωμῳδίας, ἀπὸ δούλων ὥς τινες. γέγονε δὲ κατὰ τὴν ϟγʹ Ὀλυμπιάδα καὶ ἔγραψε κωμῳδίας τξεʹ, οἱ δὲ σπʹ· νίκας δὲ εἷλε ιγʹ. παῖδά τε ἔσχε Στέφανον καὶ αὐτὸν κωμικόν. τελευτᾷ δὲ ἐν Κίῳ οδʹ ἐτῶν ὑπάρχων κατά τινα τύχην ἀπίῳ βληθείς.

α 2736 Ἀντιφάτης: ὄνομα κύριον.

α 2737 Ἀντιφερίζεις: ἐρίζεις. ἐξισοῦσθαι. Θεμιστοκλεῖ ἀντιφερίζεις σύ; ὃς ἐποίησε τὴν πόλιν ἡμῶν μεστὴν, εὑρὼν ἐπιχειλῆ. Ἀριστοφάνης φησίν.

α 2738 Ἀντιφέρονται· δοτικῇ. ἐναντιοῦνται.

α 2739 Ἀντιφής: ἀντὶ τοῦ ἀντιλέγεις.

α 2740 Ἀντιφιλοτιμεῖ: ἀντιθεραπεύει.

α 2741 Ἀντιφθέγγομαι· δοτικῇ.

α 2742 Ἀντίφθογγον: ὅμοιον. ἡ πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι πολλάκι καὶ δρυτόμοις, κίσσα, καὶ ἰχθυβόλοις.

α 2743 Ἄντιφος: ὄνομα κύριον.

α 2744 Ἀντιφῶν, Ἀθηναῖος, τερατοσκόπος καὶ ἐποποιὸς καὶ σοφιστής. ἐκαλεῖτο δὲ Λογομάγειρος.

α 2745 Ἀντιφῶν, Σοφίλου, Ἀθηναῖος, τῶν δήμων Ῥαμνούσιος· διδάσκαλος δὲ αὐτοῦ οὐδεὶς προγινώσκεται· ἀλλ' ὅμως ἦρξε τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν. λέγεται δὲ καὶ Θουκυδίδου γενέσθαι διδάσκαλος. ἐκαλεῖτο δὲ Νέστωρ.

α 2746 Ἀντιφῶν, Ἀθηναῖος, ὀνειροκρίτης. περὶ κρίσεως ὀνείρων ἔγραψεν.

α 2747 Ἀντιφωνῶ σοι: ἐγγυῶμαί σοι. σημαίνει δὲ καὶ τὸ ἀντιλέγω σοι.

α 2748 Ἀντιχορδᾶς: σύμφωνα.

α 2749 Ἀντλεῖν ἀμφοτέραις: λείπει χερσί. παροιμία ἐπὶ τῶν σπουδῇ τι ποιούντων. καὶ Ἀντλήσατε ὕδωρ· αἰτιατικῇ. ἀντλῶ σοι δὲ ὕδωρ.

α 2750 Ἀντλία: τὸ τοῦ πλοίου εἰσρέον ὕδωρ. Ἀριστοφάνης· οὐ γὰρ ἔθ' οἷός τ' εἴμ' ὑπερέχειν τῆς ἀντλίας. ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τοῦ πράγματος.

α 2751 Ἀντλία: ἡ σκάφη. αὐτὴν ἄρ' οἴσω συλλαβὼν τὴν ἀντλίαν. ἀπὸ μεταφορᾶς τῶν πλοίων. λέγεται γὰρ ἀντλία καὶ ἡ τοῦ πλοίου ἐκροή. καὶ Πισίδης· ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας. καὶ Ἄντλος, ἡ συγκομιδὴ τῶν ἀσταχύων ἐν τῇ ἅλῳ. σοὶ ταύτας ἔφ' ἅλωος, ἐφ' ᾗ πολὺν ἔβρασεν ἄντλον κριθῶν, καὶ λιπαρὰν εἶδε γεωμορίην.

α 2752 Ἀντολίη: ἡ ἀνατολή.

α 2753 Ἀντομένη: συναντήσασα. καὶ Ἀντόμενοι, συμβάλλοντες.

α 2754 Ἀντονομάζει: ὀνόματα ἀντὶ ὀνομάτων τίθησι.

α 2755 Ἄν του: ἄν τινος. οἱ δὲ τοῦ συνεδρίου τὰ μὲν ἀκούσαντες, τὰ δὲ παρακούσαντες ἀπέστειλαν, φήσαντες ἄν του δέωνται, πέμψειν πρὸς αὐτούς.

α 2756 Ἀντοφθαλμῶ: ἀντιβλέπω ἐξ ἐναντίας.

α 2757 Ἀντῳδή: παρὰ τοῖς κωμικοῖς ἡ ἀντιστροφή. καὶ Ἀντῳδὸν, κατάλληλον. πολλάκι δὲ κρέξασα πολύθροον, οἷά τις ἠχὼ, κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν, νῦν ἐς γᾶν ἄγλωσσος ἀναύδητός τε πεσοῦσα κεῖμαι, μιμητὰν ζῆλον ἀνηναμένα.

α 2758 Ἀντωμοσία: γραφὴ κατά τινος ἔνορκος, περὶ ὧν ἠδικῆσθαί φησι. διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν δικαζομένων, τοῦ μὲν ὡς πράξαντα διώκειν, τοῦ δὲ ὡς οὐκ ἔπραξεν. ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν. ἀνιππασία καὶ διιππασία τῶν ἵππων ἅμιλλα, ὥσπερ δὲ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῖ.

α 2759 Ἀντωμοσία· γράμματά τινα γραψάντων, περὶ ὧν ἡ δίκη, ὅ τε κατηγορούμενος καὶ ὁ κατηγορῶν, ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μὲν τἀληθῆ κατηγορήσειν, ὁ δὲ τἀληθῆ ἀπολογήσασθαι.

α 2760 Ἀντωμοσία: ἡ τοῦ ἀντιδίκου. ὑπωμοσία δὲ, οἷον ὅταν τις σκήπτηται κάμνειν ἤ τι τοιοῦτον. παράστασις δὲ ἡ διδομένη τῷ γράμματι δι' οὗ τὸ ἔγκλημα γέγραπται, ὅπως ἐγγραφῇ εἰς τὰ ἐγκλήματα. πρυτανεῖα δὲ τῷ ταμίᾳ καταβάλλει ἕκαστος, ὅπως εἰσαχθῇ ἡ δίκη.

α 2761 Ἀντωνία: πόλις.

α 2762 Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων, ὁ Σεβήρου, πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ταῖς μιαιφονίαις καὶ οἱ στρατιῶται τοῦ βιάζεσθαι καὶ ἁρπάζειν λαβόντες ἐξουσίαν οὐκέτι κατ' οὐδὲν διεκρίνοντο. τοιαῦτα δὲ πράττων ὑπό τε τῶν ἔργων ἐλαυνόμενος καὶ πρὸς τὴν ἐν πόλει διατριβὴν ἀπεχθῶς ἔχων ἀπεδήμει τῆς Ῥώμης, ὡς δὴ καὶ τὰ στρατόπεδα διοικήσων καὶ τὰ ἔθνη ἐποψόμενος. ἐπεὶ δὲ τὸν Ἴστρον κατέλαβε καὶ τοὺς ἐκεῖσε Γερμανοὺς ἐφιλοποιήσατο, ὡς καὶ συμμάχους παρ' αὐτῶν λαβεῖν καὶ τοῦ σώματος φρουροὺς καὶ ταῖς φορεσίαις αὐτῶν χρῆσθαι. οὕτω τε καὶ ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν βαρβάρων καὶ ὑπὸ τῶν στρατιωτῶν ἠγαπᾶτο, κοινὸς ὢν πρὸς ἅπαντας, ὡς συστρατιώτης μᾶλλον ἢ βασιλεὺς παρ’ αὐτῶν λεγόμενος. ἐπειδὴ δὲ καὶ ἐς τὴν Μακεδονίαν ἀφίκετο, Ἀλέξανδρον ἑαυτὸν ὠνόμασεν. ἐκεῖθέν τε ἐς Πέργαμον παραγέγονε καὶ ἐπὶ τὸν Ἀχιλλέως τάφον, καὶ στεφάνοις κοσμήσας καὶ ἄνθεσι τὸν Ἀχιλλέα ἐμιμεῖτο. καὶ διὰ τῆς Ἀσίας καὶ τῶν ἄλλων ἐθνῶν εἰς Ἀντιόχειαν ἀφίκετο καὶ διατρίψας χρόνον τινὰ ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐστέλλετο, πρόφασιν ποιούμενος ποθεῖν τὴν Ἀλεξάνδρου πόλιν. ὡς δὲ ἐσήλασεν ἐν αὐτῇ σὺν παντὶ τῷ στρατῷ, ὑπεδέχθη παρὰ τῶν Ἀλεξανδρέων ὡς οὔπω τις βασιλέων πρότερον. καὶ ἐλθὼν ἐς τὸ Ἀλεξάνδρου μνῆμα τήν τε χλαμύδα, ἣν ἐφόρει, καὶ τὸν δακτύλιον καὶ τὴν ζώνην καὶ εἴ τι πολυτελὲς περιελόμενος ἐπέθηκε τῇ ἐκείνου σορῷ. ὁ δὲ δῆμος ἔχαιρεν, οὐκ εἰδὼς τὴν τούτου λανθάνουσαν γνώμην. ἔγνω γὰρ, ὅτι πολλὰ ἐς αὐτόν τε καὶ τὴν μητέρα ἀπέσκωψαν. διὰ δὲ προγράμματος τὴν νεολαίαν εἴς τι πεδίον κελεύει συνελθεῖν, φήσας εἰς τὴν Ἀλεξάνδρου τιμὴν φάλαγγα συστήσασθαι. οἱ δὲ συνῆλθον ἀγαθαῖς ἐλπίσι. στιχηδὸν δὲ ἑστῶτας ἰδὼν αὐτὸς μὲν ἐξῆλθεν, ἐπαφῆκε δὲ τοὺς στρατιώτας· καὶ πάντας συνέκοψαν. τοσοῦτος δὲ ἐγένετο φόνος, ὥστε τὸν Νεῖλον φοινιχθῆναι ἅπαντα. ὅτι Σεβῆρος καὶ πάνυ πᾶσι τοῖς ἐς ἀρετὴν τείνουσι καὶ κατὰ τὸ σῶμα καὶ κατὰ ψυχὴν ἤσκησε τὸν Ἀντωνῖνον, ὥστε καὶ αὐτοκράτορα ἤδη ὄντα, καὶ διδασκάλοις συνεῖναι καὶ τὸ πολὺ τῆς ἡμέρας φιλοσοφεῖν. ἐξηραλοίφει τε καὶ ἵππευε καὶ ἐς ν′ καὶ ψ′ σταδίους· καὶ προσέτι καὶ νήχεσθαι καὶ ἐν κλύδωνι ἠσκεῖτο. ὁ δὲ ἐκ μὲν τούτων τρόπον τινὰ ἐρρώσθη· τῆς δὲ δὴ παιδεύσεως, ὡς οὐδὲ τοὔνομα αὐτῆς πώποτε ἀκηκοὼς ἐπελάθετο. οὐ μέντοι καὶ κακορρήμων ἢ κακογνώμων ἦν· ἀλλὰ καὶ συνίει πολλὰ ὀξύτατα καὶ ἔφραζεν ἑτοιμότατα. τῇ τε γὰρ ἐξουσίᾳ καὶ τῇ προπετείᾳ τῷ πάνθ’ ὁμοίως τὰ προϊστάμενά οἱ ἀπερισκέπτως ἐκλαλεῖν, καὶ τῷ μηδενὶ αὐτῶν ἐκφαίνειν αἰσχύνεσθαι, ἐπιτυχίᾳ τινὶ πολλάκις περιέπιπτεν. ὅτι Ἀντωνῖνος ὁ βασιλεὺς ἄριστος ἦν καὶ μάλιστα Νουμᾷ κατὰ τὸ τῆς ἡγεμονίας ὁμοιότροπον ἄξιος παραβάλλεσθαι, καθάπερ δὴ Ῥωμύλῳ Τραϊανὸς ὤφθη παραπλήσιος. τόν τε γὰρ ἰδιώτην ὁ Ἀντωνῖνος ἄριστα καὶ ἐντιμότατα διετέλεσε βίον καὶ κατὰ τὴν ἡγεμονίαν ἀμείνων ἔδοξεν εἶναι καὶ σωφρονέστερος, οὐδενὶ τραχὺς οὐδὲ φορτικὸς, ἀλλὰ πρὸς ἅπαντας χρηστός τε καὶ ἤπιος ὤν. ἔν γε μὴν τοῖς πολεμικοῖς ἀπὸ τοῦ δικαίου μᾶλλον ἢ τοῦ κερδαλέου δόξαν θηρώμενος φυλάττειν σῴους εἴπερ εἰς μέγεθος ἐκφέρειν τοὺς τῆς ἀρχῆς ἐγίνωσκεν ἄνδρας, ὡς ἔνι μάλιστα πλείστην τοῦ δικαίου ποιούμενος ἐπιμέλειαν. ταῖς τῶν δημοσίων ἐφιστὰς διοικήσεσι, τοὺς μὲν ἀγαθοὺς τὴν ἡγεμονίαν ταῖς παρ’ αὐτοῦ τιμαῖς ἀμειβόμενος, τούς γε μὴν φαύλους δίχα τινὸς τραχύτητος τῶν κοινῶν ἀπελαύνων πραγμάτων. οὐκ οὖν ὑπὸ τῶν οἰκείων μόνων, ἀλλ’ ἤδη καὶ πρὸς τῶν ἀλλοφύλων ἐθαυμάζετο, ὡς τῶν προσοίκων τινὰς βαρβάρων τὰ ὅπλα κατατιθεμένους ἐπιτρέποντας τῷ βασιλεῖ τὰς δίκας διαλύεσθαι ταῖς ἐκείνου ψήφοις. αὐτὸς δὲ παρὰ τὸν ἰδιώτην βίον πολύ τι πλῆθος χρημάτων κεκτημένος, ἐπειδὴ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, τὴν μὲν ἑαυτοῦ περιουσίαν εἰς τε τῶν στρατιωτῶν καὶ τῶν φίλων ἀπανάλωσε δωρεὰς, τῶν δὲ δημοσίων θησαυρῶν πλῆθος παντοδαπῶν ἀπέλιπε χρημάτων, τήν τε τοῦ Εὐσεβοῦς ἐπίκλησιν ἐκ τοῦ ἤθους πρῶτος ἀπηνέγκατο. ὅτι Ἀντώνιος Σατορνῖνος, ἐπίρρητος καὶ βδελυρὸς, παρὰ Οὐεσπασιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπασιανοῦ σοφισαμένου γελοιότατα τοῦτο. ἀξιώσει γὰρ αὐτὸν περιέβαλε κακίᾳ δοὺς ἀκερδὲς μὲν, σεμνὸν δὲ ὅμως τόδε ἆθλον.

α 2763 Ἀντώνιος, Ἀλεξανδρεὺς, ὃς ἐνδεέστερον ἔχων πρὸς τοὺς λόγους οὐ πάνυ τις ἦν ἀκριβής· πρὸς δὲ ἀλήθειαν ἱερώτατος ἐγεγόνει καὶ λίαν ἔρρωτο. τὴν ψυχὴν πρὸς θεοῦ θεραπείαν, τήν τε δημοτελῆ τήν τε ἀπορρητοτέραν· ὥστε καὶ τὴν Γάζαν ἀπέφηνεν ἱερωτέραν πολλῷ μᾶλλον, ἢ πρότερον ἦν. ἐμβὰς δὲ εἰς πολιτικὰς ὑποθέσεις καὶ δικασάμενος ὑπὲρ τῆς ἀδελφῆς προέστη αὐτῆς ἐκθυμότερον τοῦ μετρίου καὶ ὑπερεδικάσατο κατὰ τὸ καρτερώτατον, οὔτε χρόνου φειδόμενος εἰς οὐδὲν δέον δαπανωμένου οὔτε δόξης ἀμείνονος ἐπιστροφήν τινα ποιησάμενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤκουσε γὰρ κακῶς ὑπὸ τῶν τότε ἀνθρώπων οὐχ ὡς ἀδικῶν, ἀλλ’ ὡς φιλοδικῶν. ἀνέβη γὰρ καὶ ἐς τὸ Βυζάντιον ἐπὶ τῇ δίκῃ καὶ σφόδρα φιλόνεικος ἔδοξέ τις εἶναι. περιγενόμενος δὲ τῶν ἀντιδίκων ταύτην μὲν ἐξέδωκεν ἑτέρῳ ἀνδρί, αὐτὸς δὲ ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τὸ λοιπὸν τοῦ βίου διετέλει, ὀλίγα μὲν ἐν φιλοσοφίᾳ, τὰ δὲ πλείω διαιτώμενος ἐν τοῖς ἱεροῖς. ἁπλοῦς δὲ ἦν τὸ ἦθος καὶ ἕτοιμος εἰς εὐεργεσίας, ἄλλως τε καὶ τὰς διὰ τῶν ἱερῶν. ἔγωγε οὖν καὶ αὐτὸς ὁμολογῶ τῷ ἀνδρὶ μεγίστην ἀτεχνῶς τὴν χάριν, ἣν ἀμείψασθαι αὐτὸν εὔχομαι τοὺς θεοὺς ἐν μακάρων νήσοις ἤδη συζῆν ἠξιωμένον. καὶ Ἀντωνίειος κλίνη, τοῦ Ἀντωνίου.

α 2764 Ἀντωπεῖ· δοτικῇ. ἀντοφθαλμεῖ. ἐξ οὗ καὶ· ἀντώπησαν οἱ ὀφθαλμοί. καὶ Ἀντωπόν: ἀντὶ τοῦ κατὰ πρόσωπον, ἀπέναντι. Ἀγαθίας· ὁ δὲ οὐκ ἀνίει, νῦν μὲν ἀθρόον ἐπιών, νῦν δὲ ἀντωπὸς ἠρέμα εἰς τοὐπίσω ὑποχαζόμενος. καὶ αὖθις· οὐδ’ ἀπ’ ἐμεῖο κληΐζεται ἀντωπὸν Βοσπόριον πέλαγος.

α 2765 Ἄντρα νύχια: σκοτεινὰ σπήλαια.

α 2766 Ἀντριάσι: ταῖς τοῖς ἄντροις φιλοχωροῦσιν. ὄφρ’ εἴην λιπαρῶν παίγνιον Ἀντριάδων.

α 2767 Ἄντρον: σπήλαιον. καὶ Ἀντρώδη, σπηλαιώδη.

α 2768 Ἀντρῶνες: πόλις ἐν Θετταλίᾳ. καὶ Ἀντρώνιος ὄνος· ὡς μεγίστων γινομένων ἐν Ἀντρῶσιν.

α 2769 Ἄντυγες: περιφέρειαι τῶν ἁρμάτων. Ἕκτωρ μὲν, ᾧ δὴ τοῦτ’ ἐδωρήθη πάρα, ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων ἐκνάπτετ’ αἰὲν, εἶτ’ ἀπέψυξε βίον.

α 2770 Ἄντυλλος, ῥήτωρ.

α 2771 Ἄνοια: ἡ ἀναισθησία.

α 2772 Ἀνοίγει καὶ Ἀνοιγνύει, διχῶς. Ἀνοίγω γὰρ τὸ διαχωρίζω. καὶ Ἀνοιγομένοις τοῖς κτήνεσιν, ἀντὶ τοῦ σχιζομένοις. Ἡρόδοτος. ἀνοιγνυμένων δὲ τῶν τάφων ὑφ’ ἡλίῳ μάρτυρι καὶ τῶν ὀστῶν ἀτίμως ἐκκομιζομένων ἐς ταφὰς ἰδιώτιδας. δοτικῇ· καὶ μετὰ αἰτιατικῆς ὡς τό· ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ.

α 2773 Ἀνοιδήσας: ἀναφλεγμήνας, ἀναφυσηθείς. ὁ δὲ ἀνοιδήσας ὀργῇ εἶπε, κακοὺς κακῶς ὑμᾶς διολῶ.

α 2774 Ἀνοίκειος: ἀντὶ τοῦ ἀπρεπής.

α 2775 Ἀνοικίσαι τὴν πόλιν: ἀντὶ τοῦ ἀνακτίσαι.

α 2776 Ἀνοίκτως: σκληρῶς, ἀνελεημόνως.

α 2777 Ἀνοιμωτί: ἀστενάκτως. καὶ Ἀνοιμώξατε, ἀλαλάξατε.

α 2778 Ἀνοινάριος· ὡς ἡ κοινὴ συνήθεια. καὶ παροιμία· Ἂν οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου· ἐπὶ τῶν ἀγαθὰ αἰτούντων, κακὰ δὲ λαμβανόντων. ἡ ἱστορία ἀπὸ τοῦ Κύκλωπος οἶνον αἰτήσαντος καὶ τυφλωθέντος.

α 2779 Ἄνοις: ἀντὶ τοῦ ἀνύοις. Φρύνιχος.

α 2780 Ἀνοῖσαι: κομίσαι. καὶ Ἀνοιστέον, δεῖ κομίζειν. καὶ Ἀνοίσω σοι βόας, ἀνενέγκω, φέρω.

α 2781 Ἄνοισις: ἀνακόμισις.

α 2782 Ἀνυδρεύσασθαι: ἀντλῆσαι ὕδωρ. κατάχεον καὐτῆς κἀνύδρευσαι τὸν κάδον. Κοριαννοῖ Φερεκράτης.

α 2783 Ἀνύειν: τελειοῦν, πράττειν.

α 2784 Ἀνυμέναιος: ἡ μὴ ἔχουσα ἄνδρα. Ἄνυμφος δὲ ὁ μὴ ἔχων γυναῖκα.

α 2785 Ἀνυμνῶ· αἰτιατικῇ.

α 2786

Ἀνύπαρκτον: τὸ μὴ ὑπάρχον. πρὸς τὸ Πινδαρικόν· τί δέ τις; τί δ᾽ οὔ τις; σκιᾶς ὄναρ ἄνθρωποι. ἀντὶ τοῦ ἀνυπάρκτου ἀνυπαρκτότερον. ἐνταῦθα δέ ἐστιν ὁ λόγος ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ Πινδαρικόν. ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυστάτοις πεποίηται τὴν ὑπερβολήν, ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν. καὶ Ὅμηρος δι᾽ ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν· οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

α 2787 Ἀνυπαίτιος: ἀναίτιος.

α 2788 Ἀνύπεικτον: τὸ ἀνένδοτον. ἐκ τοῦ εἴκω, τὸ ὑποτάσσομαι.

α 2789 Ἀνύπηνος: ὁ ἀγένειος.

α 2790 Ἀνυπόβλητον: προὖχον.

α 2791 Ἀνυπόδητος: γυμνόπους. ἐν τῷ η λέγεται, οὐχὶ ἀνυπόδετος.

α 2792 Ἀνυπόστατον: ἀντὶ τοῦ ἀφόρητον.

α 2793 Ἀνύποιστον: ἀβάστακτον. ἀνυπομόνητον.

α 2794 Ἀνύσασθαί τι: παρὰ τοῖς ἄρχουσι διαπράξασθαι. καὶ ὁμοίως πάλιν τὸ τοὺς ἄρχοντας προστάξαι τοῖς ὑπηκόοις. καὶ Ἀνύσαι, τελειῶσαι.

α 2795 Ἀνυσίμως: ἐνεργῶς, πρακτικῶς, τελείως. καὶ Ἀνυσιμώτατος. Ἄνυσις γὰρ ἡ τελείωσις.

α 2796 Ἄνυσται: ἤνυσται. καὶ Ἀνυστέον, δεῖ ἀνύειν.

α 2797 Ἀνυστικωτέρα: ἀντὶ τοῦ ἐνεργητικωτάτη. Πολύβιος· μία ψυχὴ τῆς ἁπάσης πολυχειρίας ἐν ἐνίοις καιροῖς ἀνυστικωτέρα. ὡς Ἀρχιμήδης ἐν Συρακούσαις μόνος πολλῶν Ῥωμαίων.

α 2798 Ἀνύτειν: πληροῦν, ἐνεργεῖν. ἐπεὶ δὲ οὐδέν τι πλέον εἶχον ἀνύτειν οἱ βάρβαροι, οὔτε ὡς ἐν πολιορκίᾳ ἐφεδρεύοντες τῷ ἐρύματι, οὔτε πρὸς τειχομαχίαν ἐγκείμενοι, ἔγνωσαν τρόπου ἑτέρου αὐθάδους τε καὶ γενναίου καὶ φιλοκινδύνου ἀποπειραθῆναι. ὁ δὲ Νῖνος ἐν ἀμηχανίᾳ ἦν, μηδὲν δυνάμενος ἀνύτειν. τουτέστι πράττειν.

α 2799 Ἀνύειν. Ἀνύτειν οἱ Ἀττικοὶ, ὅπερ ἡμεῖς ἀνύειν, ἁνύειν δὲ τὸ σπεύδειν, δασεῖα ἡ πρώτη. καὶ Ἀνύτουσι, τελοῦσιν, ἀνύουσι. καὶ Ὅμηρος δὲ τὸ ἀνύειν ὡς ἡμεῖς· οὐκ ἀνύω φθονέουσα. καὶ Αἴνυτο, ἀφῃρεῖτο, ἐλάμβανε. καὶ Ἀνύοι, εὐκτικῶς.

α 2800 Ἄνυτος, Ἀνθεμίωνος, Ἀθηναῖος, ῥήτωρ.

α 2801 Ἄξεινος· ἦχι κονίστραι ἄξεινοι λυθρῷ τε καὶ εἴαρι πεπλήθωσι.

α 2802 Ἄξεστος· Ξενοκλῆς ὁ Καρκίνου ἐκωμῳδεῖτο ὡς ἄξεστος ποιητὴς καὶ ἀλληγορικός.

α 2803 Ἀξιάγαστος: ἀξιοθαύμαστος, ἀξιόχρεως.

α 2804 Ἀξία ἡ κύων τοῦ βρώματος: ἐπὶ τῶν κατ᾽ ἀξίαν τινὸς τυγχανόντων.

α 2805 Ἀξιαπηγητότατα: ἀντὶ τοῦ ἄξια τοῦ ἀφηγεῖσθαι.

α 2806 Ἀξιδάρης: ὄνομα κύριον. Ἀξιδάρην δὲ ὅτι χρὴ Ἀρμενίας οὔ μοι δοκεῖ εἶναί σε ἀμφίλογον.

α 2807 Ἀξιεπαίνετος: ὁ ἄξιος ἐπαίνων.

α 2808 Ἀξιέραστον: ἄξιον ἐρασμοῦ, ἐπέραστον.

α 2809 Ἀξινάριον: ἡ ἀξίνη. καὶ Ἀξινίδιον ὑποκοριστικῶς.

α 2810 Ἀξιοζήλως: ἐπαινετῶς. ὁ δὲ ἐν ὀφθαλμοῖς τῶν ἁπάντων ἑαυτὸν διεχρήσατο οὐκ ἀξιοζήλως. καὶ Ἀξιοζήλωτος, ὁ ἄξιος ζηλοῦσθαι.

α 2811 Ἀξιόλογα βάρη· ὡς ἂν ἀπὸ τῶν πύργων πέμπωμεν ἑκηβολώτατα ἀξιόλογα λίθων βάρη. καὶ ἀξιολόγοις καταστρώσας λίθοις τὰς ὁδούς. καὶ εἰλήμασιν ἀξιολόγοις τοὺς ὑδροστατουμένους γεφυρώσας. τουτέστιν εὐπρεπέσι, μεγίστοις. καὶ αὖθις· τὸν Μερμερόην ἡμῖν σημᾶναι, ὡς οὐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστιν ἀξιόλογος ἡ χώρα, οὐδὲ μὴν περιμάχητος, οὐδὲ βασιλικῆς ἔργον ἐκστρατείας· ἀλλ' ἓν ὑπάρχει τῶν ἐθνῶν τῶν περὶ τὸν Καύκασον.

α 2812 Ἀξιόμαχος: δυνατὸς μάχεσθαι, ἰσοδύναμος. οὔτε ἀνδρῶν πλήθει, οὔτε ἄλλῳ τῶν πάντων οὐδενὶ ἀξιόμαχοι πρὸς ἡμᾶς ὄντες.

α 2813 Ἄξιον: οἱ ῥήτορες ἐπὶ τοῦ εὐλόγου καὶ δικαίου ἐκλαμβάνουσι. Δημοσθένης· διὰ γὰρ τοῦτο μάλιστα ἄξιόν ἐστι σιωπᾶν, ὅτ' οὔτ' ἐστὶν ὁ καταπλήσσων, οὔθ' ὁ κολάσων ὑμᾶς. τάσσουσι δὲ τὸ ἄξιον καὶ ἐπὶ τῶν ὠνίων, ὅταν εὔωνόν τι πιπράσκηται. Λυσίας ἐν τῷ κατὰ τῶν σιτοπωλῶν· ἐροῦσιν ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως ὠνοῦνται τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλῶσι. καὶ πάλιν· ἐὰν οὖν αὐτῶν καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε· εἰ δὲ μή, τιμιώτερον.

α 2814 Ἄξιος: τὸ εὔωνος. Φερεκράτης Ἱστῷ· ὁ δὲ στέφους πετεινὸς πυρὸς ἄξιος.

α 2815 Ἄξιον: ἐπὶ τοῦ δικαίου τέτακται. οὕτως Δημοσθένης. καὶ Ἄξιον ξύλον, εὖ καὶ καλῶς εἰργασμένον, εὐθὲς, καλόν. Ἀριστοφάνης· κἄν τις σφαλῆτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου. παρὰ τὴν παροιμίαν· ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι. θέλει οὖν λέγειν, βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις· κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν. Ἄξιον δὲ παρὰ Ἀττικοῖς τὸ εὔωνον. καυλὸν σιλφίου τὸν ἄξιον. τουτέστι τὸν εὔωνον.

α 2816 Ἀξιοπιστία: ἡ πίστωσις. καὶ Ἀξιόπιστος οὐχὶ ὁ κατάπλαστος λέγεται ὑπὸ τῶν παλαιῶν καὶ τερατείᾳ χρώμενος, ἀλλ' ὁ πιστὸς καὶ δόκιμος, ἀξιόχρεως.

α 2817 Ἀξιόπιστος: πιθανός. ἦν δὲ ἀξιόπιστος σφόδρα ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι.

α 2818 Ἀξιός: ὄνομα κύριον.

α 2819 Ἄξιος λαβεῖν ὁ μισθός: τοῦτο τῶν εἰς κάλλος ἠσκημένων σημαῖνον τοιόνδε τι· ἄξιός ἐστιν ὁ μισθὸς, ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ. Ὅμηρος δὲ πρῶτον ἐχρήσατο τῷ σχήματι τούτῳ· ῥηΐτεροι γὰρ ἔσεσθε· κείνου τεθνεῶτος ἐναιρέμεν. καὶ πάλιν· ἡ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῇ. καὶ Σοφοκλῆς· γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνὴρ, ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός. ὁ δὲ νοῦς· ῥᾷον ἄν τις φυλάξαιτο τὸν ὀξύθυμον ἢ τὸν κρύπτοντα διὰ σιγὴν τὴν ὀργήν. καὶ Ἄξιος τριχός· ἐπὶ τοῦ εὐτελοῦς καὶ τυχόντος· παρόσον ἡ θρὶξ οὐδενὸς ἀξία ἐστίν. Ἀριστοφάνης· εἴ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός. ἀντὶ τοῦ τὸ τυχόν. καὶ Ἄξιος οὐδὲ μόνου, ἀντὶ τοῦ οὐδενός. ἔστι δὲ ἀπὸ τῶν κύβων εἰρημένον. καὶ παροιμία, Ἄξιος ὀβελίσκου, καὶ Ἀπὸ ὀβελίσκου, παροιμία ἐπὶ τῶν σφόδρα τιμίων. καὶ Ἄξιος τοῦ παντός.

α 2820 Ἀξιοῦμαι· γενικῇ.

α 2821 Ἀξιουμένου· τυγχάνοντος ἀνδρὸς τὰ πρῶτα παρ' αὐτοῖς ἀξιουμένου. Ἀξιοῦσι δὲ ἀντὶ τοῦ παρακαλοῦσι. Πολύβιος· οἱ δὲ Γεραιοὶ ἀξιοῦσι τὸν βασιλέα μὴ καταλῦσαι τὰ παρὰ τῶν θεῶν αὐτοῖς δεδομένα, τουτέστιν ἀΐδιον εἰρήνην καὶ ἐλευθερίαν. ὁ δὲ ἑρμηνευθείσης οἱ τῆς ἐπιστολῆς, ἔφη συγχωρεῖν τοῖς ἀξιουμένοις.

α 2822 Ἀξίοχος· Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη Ἀξίοχος καλούμενος. Πλάτωνος ἐνεπιγέγραπται.

α 2823 Ἀξιόχρεων· ἐν τῷ ω μεγάλῳ λέγουσι· καὶ οὐδετέρως ὁμοίως. τὸ δὲ ἀξιόχρεον βάρβαρον. Ἀξιόχρεως οὖν ἱκανὸς, ἐχέγγυος, ἀξιόπιστος.

α 2824 Ἀξιῶ: ὑπολαμβάνω. Ἀριστοφάνης· οὐκ ἀξιῶ γ' ἐμαυτὸν ἰσχύειν μέγα. ἀντὶ τοῦ οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω. σημαίνει δὲ καὶ τὸ ἱκετεύω. αἰτιατικῇ· Ἀξιῶ σε.

α 2825

Ἀξίωμα: βούλημα. τί δ’ ἐστι τἀξίωμ’, ἐφ’ ᾧ καλεῖς. μὴ διωθεῖσθαι τὴν πατρικὴν ἐπίταξιν, μηδὲ τὸ τοῦ Πλάτωνος ἀξίωμα ἀτιμάζειν. τουτέστι βούλημα. ὁ δὲ Ἀρκεσίλαος ἦν ἀξιωματικώτατος καὶ συνηγμένος.

α 2826 Ἀξίωμα: ἡ ἱκετεία. Δαβίδ· εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιον σοῦ, Κύριε.

α 2827 Ἀξίωμα· τοῦτο ἐκ κατηγορήματος ὀρθοῦ ἢ πλαγίου ἔχει τὴν γένεσιν. ἀξίωμα δέ ἐστιν τουτέστιν ἀληθὲς ἢ ψευδὲς ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ’ ἑαυτῷ ἢ καταφαντόν· οἷον, ἡμέρα ἐστί· Δίων περιπατεῖ. ὠνόμασται δὲ ἀξίωμα παρὰ φιλοσόφοις ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι. ὁ γὰρ λέγων, ἡμέρα ἐστίν, ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δὲ, ψεῦδος. διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα. ἔστι γὰρ προστακτικόν, ὁρκικὸν, ἀρατικὸν, ὑποθετικὸν, προσαγορευτικόν. ἀξίωμα μὲν γάρ ἐστιν, ὃ λέγοντες ἀποφαινόμεθα, ἢ ἀληθὲς ἢ ψευδές. ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μὲν, ὡς καὶ τὸ ἀξίωμα, αἰτητικὸν δὲ ἀποκρίσεως, οἷον, ἆρά γε ἡμέρα ἐστί; τοῦτο δὲ οὔτε ἀληθές ἐστι, οὔτε ψευδές· ὥστε τὸ μὲν, ἡμέρα ἐστὶν, ἀξίωμα· τὸ δὲ, ἆρά γε ἡμέρα; ἐρώτημα. πύσμα δέ ἐστι πρᾶγμα, πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος, ναί· ἀλλὰ εἰπεῖν, οἰκεῖ ἐν τῷδε τῷ τόπῳ. τὰ δὲ λοιπὰ δῆλα.

α 2828 Ἀξιώματα· οὕτως λέγει Ἀριστοτέλης καὶ τὰς δεομένας ἀποδείξεως προτάσεις, καὶ τὰς ἀναποδείκτους, ὡς ἔθος αὐτῷ.

α 2829 Ἀξιῶν: ἀντὶ τοῦ νομίζων, ὑπολαμβάνων. Λυσίας καὶ Πλάτων. καὶ ἀντὶ τοῦ παρακαλῶν, λιπαρῶν. ἢ καὶ ἀντὶ τοῦ νομίζων.

α 2830 Ἀξίωσιν: τιμήν. αὐτὸν δὲ βασιλέα ὄντα κατ’ ἀξίωσιν μὲν τῆς τρίτης μοίρας, μεγέθει τε χώρας καὶ πλήθει τῶν ὑπηκόων. ἀπῆγε δὲ αὐτὴν τῆς δίκης κατάπλαστος σωφροσύνη καὶ ἀξίωσις ὑπέρογκος καὶ ἡ τῶν συναδικούντων παρασκευή. καὶ ἀξιώσει τοῦτον περιέβαλε, κακίᾳ δοὺς ἀκερδὲς μὲν, σεμνὸν δὲ ὅμως τόδε ἆθλον. Αἰλιανός φησιν. ἀντὶ τοῦ τιμῇ.

α 2831 Ἀξιώτερος: εὐωνότερος. καὶ Ἀξιωτέρας, ὁμοίως εὐωνοτέρας. οὐ πώποτ’ ἀφύας εἶδον ἀξιωτέρας. τῆς ἀξίας τιμῆς. ἄξιον γὰρ παρὰ Ἀττικοῖς τὸ εὔωνον.

α 2832 Ἀξιοῖ: Ἀντιφῶν καὶ Λυσίας ἀντὶ τοῦ νομίζει.

α 2833 Ἄξονες: οὕτως ἐκάλεσαν Ἀθηναῖοι τοὺς Σόλωνος νόμους, διὰ τὸ ἐγγραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα. μέμνηται τῆς λέξεως Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. Ἄξονες δὲ καὶ κύρβεις διαφέρει. Ἄξονα δὲ λέγει Ὅμηρος τὸν τῆς ἁμάξης.

α 2834 Ἄξοον: τὸ ἄτμητον.

α 2835 Ἄξω: καὶ ἐνταῦθα καὶ ἐκεῖσε. Ἀπάξω δὲ τὸ ὀπίσω ἄξω.

α 2836 Ἀξυλία: ἡ ἔνδεια τῶν ξύλων. Ἀξύλῳ δὲ ὕλη, ἀντὶ τοῦ πολυξύλῳ.

α 2837 Ἀξύμμετρον: τὸ ὑπὲρ τὸ μέτρον. οὐκ ἐξικνεῖτο δὲ τὰ βέλη, διὰ τὸ τοῦ ποταμοῦ ῥεῦμα ἀξύμμετρον ὂν αὐτοῖς ἐς τὰς βολάς.

α 2838 Ἀξυνεσία· Θουκυδίδης γʹ.

α 2839 Ἄξυνος: ὁ ἀκοινώνητος.

α 2840 Ἀξύστατον: περὶ Αἰσχύλου λέγει Ἀριστοφάνης. ἀντὶ τοῦ οὐ συνεστῶτα, οὐδὲ πυκνὸν, ἀλλ’ ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. ἢ ἀδιάθετον ἢ ἀπιθάνως συντιθέντα.

α 2841 Ἄοζοι: πολύοζοι, πολλὰ ξύλα καίοντες· ἤγουν οἱ μάγειροι.

α 2842 Ἀολλεῖ: ποιεῖ, συνάγει. καὶ Ἀολλήσασα, ἀθροίσασα. καὶ Ἀολλισθῆναι, ἀθροισθῆναι.

α 2843 Ἄοπτα: Ἀντιφῶν. ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα μὲν, δόξαντα δὲ ὁρᾶσθαι.

α 2844

Ἆορ: τὸ ξίφος. καὶ κλίνεται ἄορος, ἄορι. ὑπαντιάσασα δὲ μήτηρ εἶπε, κατὰ στέρνων ἆορ ἀνασχομένη.

α 2845 Ἀόρατον: τετραχῶς λέγεται. ἢ τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι, οἷον ὡς καὶ τὰ ὑποκείμενα ἄλλῃ αἰσθήσει· καὶ γὰρ ἡ φωνὴ ἀόρατος καὶ ἡ ὀσμὴ καὶ τὰ ὅμοια. ἢ τὸ πεφυκὸς μὲν ὁρατὸν εἶναι, μὴ ὁρώμενον δέ· ὅπερ ἐστὶ τὸ ἐν στερήσει, ὡς τὸ δυνάμει διαφανὲς, φωτὸς μὴ παρόντος. ἢ τὸ οὕτω λεγόμενον ἀόρατον, ὡς φαύλως ὁρατόν· τοιοῦτον δέ ἐστιν ἢ τὸ δι' ὑπερβολὴν λαμπρότητος φθαρτικὸν τῆς ὄψεως ἢ τὸ ἀμυδρότητα μὴ ποιοῦν εἰς τὴν αἴσθησιν. ἀντιλαμβάνεται τοίνυν τοῦ ἀοράτου ἡ ὄψις, οὐ τοῦ μὴ πεφυκότος ὁρᾶσθαι· ταῦτα γὰρ, ὅτι μὴ ὁρᾶται, ὁ λόγος ἐστὶν ὁ κρίνων δι' ὀργάνου τῆς αἰσθήσεως, οὐ μέντοιγε ἡ αἴσθησις· ἀλλὰ τοῦ κατὰ στέρησιν ὁρατοῦ ἡ αἴσθησίς ἐστιν ἀντιληπτική. κρίνει γὰρ καὶ τὰ ἄλογα ταῖς ὄψεσιν ὅτι σκότος κατὰ συμβεβηκὸς τῷ μὴ πάσχειν ὑπὸ τῶν ὁρατῶν, διὸ καὶ εἰς τοὺς φωλεοὺς ἠρεμεῖ. μήποτε δὲ καὶ τὸ κατὰ στέρησιν ἀόρατον ἡ φαντασία ἐστὶν ἡ κρίνουσα, καὶ οὐχ ἡ ὄψις, εἴγε αἱ μὲν αἰσθήσεις ἐν τοῖς πάσχουσι τὴν κρίσιν ἴσχουσι, μὴ πάσχουσαι δὲ ἐν τῷ σκότῳ ἀνενέργητοί εἰσι. διὸ κατὰ τὴν ἕξιν μόνην θεωροῦνται. μὴ ἐνεργοῦσαι δὲ, πῶς ἂν κρίνοιεν;

α 2846 Ἀόργητος: ὁ μὴ ὀργιζόμενος.

α 2847 Ἄορες: αἱ γυναῖκες.

α 2848 Ἀόριστος γῆ: ἡ μὴ ἔχουσα ὅρους, μηδὲ σπειρομένη. ἡ γὰρ σπειρομένη ὅρους ἔχει, ἅτε οὖσα μεμερισμένη, ἕως οὗ ἐστιν ἑκάστου τὸ δίκαιον τῆς διακρατήσεως.

α 2849 Ἄορνος: πέτρα ἐν τῇ Ἰνδικῇ. Ἀρριανός· μέγα γάρ τι χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστίν. ἔστι δὲ καὶ λίμνη οὕτω καλουμένη. ταύτην Ἀλέξανδρος εἷλεν, ἣ τῷ Ἡρακλεῖ ἄπορος ἐγένετο ἡ πέτρα.

α 2850 Ἀορτήν· λέγουσιν οἱ πολλοὶ νῦν ἀβερτήν. Μακεδονικὸν δὲ καὶ τὸ σκεῦος καὶ τὸ ὄνομα. ζήτει ὅτι καὶ φλὲψ ἀορτή.

α 2851 Ἀορτήρ: ὁ λῶρος τῆς σπάθης. καὶ Ἀορτήρεσιν.

α 2852 Ἀοσσητήρ: ὁ βοηθός.

α 2853 Ἀώρησις: ἡ κρέμασις.

α 2854 Ἀωρίαι: ἀντὶ τοῦ ἀκαίρως καὶ παρὰ τὸν δέοντα καιρόν. ἄωρα γὰρ τὰ παρὰ τὸν καιρὸν τρυγώμενα. Ἀριστοφάνης· οἱ δὲ πρυτάνεις ἥκουσιν, ἀλλ' ἀωρίᾳ. οὐκ ἔξεστι γὰρ Βαβυλωνίοις ἀωρίᾳ τάφον ὑπερβῆναι. σημαίνει δὲ καὶ τὴν σκοτίαν. καὶ Αἰλιανός· ἐπεὶ δὲ ἀωρία ἦν, ὁ μὲν ἐπὶ τὸν φόνον ὑπεθήγετο. καὶ Ἀωρὶ τῶν νυκτῶν.

α 2855 Ἀωρόλειος: ὁ παρὰ τὴν ὥραν καὶ τὴν ἡλικίαν λειαινόμενος καὶ φαλακριῶν. τὸ αὐτὸ καὶ ὠμογέρων, ὁ παρ' ἡλικίαν γηράσας.

α 2856 Ἄωρον: ἀπρεπὲς, ἀχαρὲς, ἄκαιρον. ἔνιοι δὲ ἀντὶ τοῦ ἀνοίκειον καὶ ἀσύμφορον. καὶ Ἄωρος, ὁ ὠμός. ὁ ἀπέπαντος. καὶ Ἀωρότερον.

α 2857 Ἀωρῶ: τὸ ἀλογῶ.

α 2858 Ἄωρτο: ἐκρέματο. ὄρω, ὄρσω, ὦρκα, ὦρμαι, ὦρσο, ὦρτο καὶ ἄωρτο.

α 2859 Ἀωτεμεῖν: ὑφαίνειν.

α 2860 Ἄωτον: ἄνθος, κόσμος, στέφανος. περιβόλαιον ἐξ ἁπαλῶν ἐρίων. καὶ ἀώτῳ, ἡ δοτική. Ἄωτον δὲ ἀγγεῖον, τὸ μὴ ἔχον ὦτα. καὶ ῥῆμα Ἀωτῶ, τὸ ἀπανθίζω.

α 2861 Ἄπαγε· γενικῇ. παῦσαι, μὴ γένοιτο. ἢ Ἄπαγε, ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ. οὕτως Δημοσθένης. καὶ παροιμία· Ἄπαγε ξένον ἐν χειμῶνι· ἐπὶ τῶν ὀχληρῶν.

α 2862

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄπαγέ με εἰς τὰς λατομίας: παροιμία ἐπὶ τῶν μὴ ὑποφερόντων τὰ ἀνάξια. φασὶ γὰρ ὅτι Φιλόξενος ὁ διθυραμβοποιὸς Διονυσίῳ τῷ τυράννῳ συνῆν. ἕωλα δὲ αὐτοῦ ποιήματα ἀναγινώσκοντος οὐκ ἐπῄνει. ἐφ' οἷς ὀργισθεὶς ἐκέλευσεν αὐτὸν βληθῆναι εἰς τὰς λατομίας. εἶτα πάλιν μετεκαλέσατο αὐτὸν, ἐλπίζων ἐπαινέσαι αὐτοῦ τὰ ποιήματα. ὁ δὲ μὴ θέλων ἐπαινεῖν ἔλεγε τὸ προκείμενον.

α 2863 Ἄπαγε μόθων' ἀπὸ κώπης: παροιμία ἐπὶ τῶν ὀχληρῶν καὶ παρὰ καιρὸν τοῖς σπουδάζουσιν ἐνοχλούντων.

α 2864 Ἀπάγεια: ἡ μήπω συμπηγεῖσα.

α 2865 Ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι: τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρως κατηγορούντων λέγεται. ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὴν ἡ διαδικασία γίνηται, καλεῖται δικάζεσθαι. καὶ Ἀπάγοντες· αἰτιατικῇ. ἀπωθοῦντες, ἀπελαύνοντες. τὸν ἄνδρα ἀπάγοντες.

α 2866 Ἀπαγορεύει· δοτικῇ. ἀποτρέπεται, ἀρνεῖται. ἀπαγορεύουσι τῷ Φιλίππῳ καὶ τὸν Δέκιον ἀναγορεύουσιν. καὶ αὖθις Εὐνάπιος· πρὸς τὸ ἀφανὲς καὶ ἀόριστον τῆς χώρας ἐκπεσόντες, πρὸς τοὺς φόνους καὶ πρὸς τὴν λείαν ἀπαγορεύοντες. καὶ ἀπαγορεύεις, Σίμων Πέτρε. ἢ Ἀπαγορεύειν, ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν. ἀπαγορεύων τοῖς ἄρχουσι διαρρήδην τῆς φιλαργυρίας ἀπέχεσθαι.

α 2867 Ἀπαγορεύω· δοτικῇ. ἐγὼ μὲν ἀπαγορεύω τῷ νόμῳ. ἀλλὰ μόναις ταύταις ἀπαγορεύουσιν οἱ νόμοι ταῖς γυναιξίν. αἰτιατικῇ δέ· ἀπηγόρευσας ἡμᾶς τῆς ἀπωλείας. καὶ, ἀπαγορεύεις, Σίμων Πέτρε, ὅπερ πείσῃ τάχος.

α 2868 Ἀπάγου: ἀντὶ τοῦ πρὸς αὐτὸν ἄπαγε. Εὐριπίδης. καὶ Ἀπάγω· αἰτιατικῇ.

α 2869 Ἀπαγωγάς: αἰχμαλωσίας, ἀδυνατίας. καὶ Ἀπαγωγή, μήνυσις ἔγγραφος διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα. ἐνταῦθα ὁ Λικίννιος κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος. τὸ οὖν ἀπαγωγὴ δίκης ἐστὶν εἶδος· ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ια'.

α 2870 Ἀπαγχονίσαι: πνίξαι. ἀγχονῶ δὲ καὶ λιμαγχονῶ.

α 2871 Ἀπᾴδει: ἀπαρέσκει. καὶ Ἀπᾷδον, οὐ συνᾷδον, ἀπαρέσκον. τὰς σπονδὰς ἀποπέμπεσθαι ὡς ἀπᾳδούσας τῆς Ῥωμαίων μεγαλειότητος. ἀντὶ τοῦ ἀναξίους οὔσας, ἀπαρεσκούσας. καὶ, Στησίχορος δὲ οὐκ ἀπᾴδει αὐτῶν.

α 2872 Ἀπαθέστατα: ἐκτὸς πάθους. εὐμενῆ δεῖ εἶναι· καὶ ἀνεκτικὸν τῶν ἰδιωτῶν καὶ ἀθεώρητον οἰομένων· πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν, προσηνῆ καὶ αἰδέσιμον πᾶσι· μηδὲ ἔμφασίν ποτε ὀργῆς παρασχεῖν, εὐστοργότατον καὶ εὐφημότατον ἀψοφητί.

α 2873 Ἀπαθῆ: ἄλυπον. ὁ δὲ Ἀντιφῶν ἀπαθῆ πληθυντικῶς, τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη. καὶ Ἀπαθής. ἀπαθῆ φασιν εἶναι τὸν σοφὸν διὰ τὸ ἀνέμπτωτον εἶναι. εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ, τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτέγκτῳ. καὶ Ἀπαθής, ὁ μὴ πεῖραν κακῶν εἰληφώς. οἱ δὲ κακῶν παντάπασιν ἀπαθεῖς ἔμειναν. καὶ Ἀπαθές. τὸ ὑγιαίνειν ἐν τῷ τεθνάναι μᾶλλον ἢ ἐν τῷ ζῆν.

α 2874 Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι: οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης· ῥήματά τε κομψὰ καὶ παίγνια ἐπιδεικνύναι πάντα ἀπ' ἀκροφυσίων καὶ τῶν ἀπὸ κινναβευμάτων. λέγει γὰρ διὰ μὲν τοῦ ἀπ' ἀκροφυσίων, καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρὸς, διὰ δὲ τοῦ ἀπὸ κινναβευμάτων, οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα. κίνναβος γὰρ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. κέχρηνται πολλοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2875 Ἀπάκτου· Σοφοκλῆς· ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου, καὶ δῶμ' ἀπάκτου.

α 2876 Ἀπάλαμνος: ἄπειρος.

α 2877 Ἀπαλλάξας: ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος καὶ Δημοσθένης καὶ ἄλλοι. Ἀπαλλάξαι. καὶ Ἀπαλλάξωμεν, ἀντὶ τοῦ ἀφανίσωμεν. Ξενοφῶν· τῶν ἄλλων σκευῶν τὰ περισσὰ ἀπαλλάξωμεν. καὶ Ἀπαλλάξαι, ἀντὶ τοῦ φυγαδεῦσαι. ἐδεῖτο δὲ τὸ πλῆθος προσωτάτω Ἀρμενίας ἀπαλλάξαι Ἰωτόμην, ὡς οὔποτ' ἂν ἀποσχόμενον τοῦ νεωτερίζειν, εἰ τύχοι ὢν ἔνδημος. καὶ Ἀπαλλάττω σε κόπων.

α 2878 Ἀπαλλάξειεν: μετακινήσειεν. Ἀριστοφάνης· πῶς καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον. καὶ Ἀπαλλαξείοντες, ἐπιθυμίαν ἔχοντες ἀπαλλαγῆναι.

α 2879 Ἀπαλγήσαντας: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν, ὥσπερ τὸ ἀπολοφυράμενοι.

α 2880 Ἀπαλγοῦντες: ἀπογινώσκοντες. Πολύβιος· οἱ δὲ Ἀκαρνανάδες πυνθανόμενοι τὴν τῶν Αἰτωλῶν ἔφοδον ἐπὶ σφᾶς, τὰ μὲν ἀπαλγοῦντες ταῖς ἐλπίσι, τὰ δὲ καὶ θυμομαχοῦντες ἐπί τινα παράστασιν κατήντησαν. καὶ αὖθις· ἀπαλγοῦντας δὲ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν.

α 2881 Ἀπαλέξασθαι: ἀντιτάξασθαι. Σοφοκλῆς· οὐδὲν σθένομεν πρὸς ταῦτ' ἀπαλέξασθαι σοῦ χωρὶς, ἄναξ. καὶ Ἀπαλεξῆσαι, κωλῦσαι. καὶ Ἀπαλέξοντες, ὁμοίως.

α 2882 Ἀπάλλεις: ἀποπέμπεις.

α 2883 Ἀπαληθεύειν: τὸ τἀληθὲς ἐξευρίσκειν. καὶ Ἀπαληθεύω, τὸ τὴν ἀλήθειαν ἐκφαίνω. ὁ δὲ χρόνῳ ὕστερον ἐφωράθη, τῷ πάντα ἐκκαλύπτοντι καὶ ἀπαληθεύοντι. τούτου τὸ δολερὸν ἀναφαίνεται.

α 2884 Ἀπαλθήσεσθαι: θεραπευθήσεσθαι.

α 2885 Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις: ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων.

α 2886 Ἁπαλώτερος τρύχνου· ζήτει ἐν τῷ τρύχνον.

α 2887 Ἀπαμβλύνει: ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως.

α 2888 Ἀπάμεια: πόλις.

α 2889 Ἀπαμείρεται: ἀποστερεῖ.

α 2890 Ἀπαμυνεῖ: ἀποτρέψει.

α 2891 Ἀπαμφιέσαντες: ἐκδύσαντες. καὶ Ἀπαμφιεῖ, ἀποκαλύψει. Μισουμένῳ· ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό μου καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτέ. καὶ Ἀπαμφίσκων, ἀποκαλύπτων.

α 2892 Ἅπαν· οἱ μὲν Ἴωνες συστέλλουσι καὶ ὁ Ποιητής· τῶν δ' ἅπαν ἐπλήσθη πεδίον. καὶ οἱ Ἀττικοὶ ἐκτείνουσι τὴν ὑστέραν. καὶ τὸ παράπαν ὁμοίως, καὶ ἅπαντα τὰ τοιαῦτα.

α 2893 Ἀπανάστασις: ἀποικία, μετάστασις.

α 2894 Ἀπαναίνομαι: ἀρνοῦμαι.

α 2895 Ἀπανισταμένους· γενικῇ.

α 2896 Ἀπανθήσαντα: ξηρανθέντα. μακαριωτάτη ἐγὼ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖσιν. ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον. τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτατο. Ἀριστοφάνης φησίν. Ἀπανθῶ γὰρ τὸ ἀποβάλλω. καὶ ὁ Θεολόγος· τῶν ἐκ γένους τοῖς ἀπανθήσασιν. Ἀπανθίζω δὲ τὸ τὰ ἄνθη συλλέγω.

α 2897 Ἅπανθ' ὅμοια καὶ Ῥοδῶπις ἡ καλή: σημαίνει, ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί. ζήτει περὶ τῆς Ῥοδώπιδος ἐν τῷ Ῥοδώπιδος ἀνάθημα.

α 2898 Ἀπανθρακίζομεν: ἀντὶ τοῦ ἄνθρακας ἐσθίομεν. ἔστι δὲ εἶδος ἰχθύων, ὃ παροπτῶντες ἐσθίουσιν. ἢ ὀπτὰς ἐσθίομεν, ἢ ἄνθρακας ζωπυροῦμεν.

α 2899 Ἀπανθρωπία: ἡ κακία. ὅταν τις μὴ κατὰ ἄνθρωπον ποιῇ, τοῦτο ἀπανθρωπία.

α 2900 Ἀπαντᾶν καὶ συναντᾶν: λέγουσιν ἑκατέρως, τὸ παραγίνεσθαι εἴς τινα τόπον. καὶ Ἀπαντήσαντος, γενέσθαι φθάσαντος. Αἰλιανός· ἀνεσταύρωτο δὲ ὁ πολιορκῶν· καὶ ἐς τοῦτό οἱ τὸ τοῦ χειμῶνος, τοῦ μὴ καθ᾽ ὥραν ἀπαντήσαντος, τὸ τέλος ὡρμήσατο. καὶ Ἀπαντῶσιν, ἀντὶ τοῦ παραγίνονται. ἅμα τῷ περὶ ὄρθρον εἰς τοὺς τῶν δεσποτῶν οἴκους ἀπαντῶσι. καὶ Ἀπαντωμένων, ἀντὶ τοῦ συμβαινόντων, γιγνομένων. οὐ μὴν ἀλλὰ τοιούτων ἀπαντωμένων οὐδὲν ἱκανὸν ἦν πρὸς τὸ κωλύειν τὴν ὁρμὴν τῶν Ῥωμαίων.

α 2901 Ἅπαντα γάρ τοι βρωτὰ πολιορκουμένοις: ἐπὶ τοῦ ἀναγκαίου ὁ λόγος. οἱ γὰρ πολιορκούμενοι πολλάκις καὶ ὧν οὐ δεῖ ἅπτονται.

α 2902 Ἅπαντα τόλμης πλέα κἀναισχυντίας: ἐπὶ τῶν ἰταμῶν καὶ ἀναιδῶν.

α 2903 Ἁπανταχοῦ.

α 2904 Ἀπαντῶ ἐπὶ κριτηρίου· ὑπαντῶ δὲ ἐπὶ τῆς ὁδοῦ.

α 2905 Ἅπαξ. ἐπεὶ δὲ ἅπαξ ἐκ τοῦ φορίου αὐτοὺς ἐκπεπτωκέναι ἔμαθεν, ἀφικνεῖται πρὸς αὐτούς. καὶ Ἰώσηπος· ἅπαξ δὲ καταστάντες ἐς ταραχάς. ἀντὶ τοῦ διόλου, ὁλοσχερῶς.

α 2906 Ἁπαξάπαντα: ἀπὸ μικροῦ ἕως μεγάλου. καὶ τὰ χρήματα ἁπαξάπαντα λόγῳ οὐδενὶ ληϊζόμενος, τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίκην παρανομίας ἐξέτισε. καὶ Ἁπαξάπαντες, ἀντὶ τοῦ ὁμοῦ πάντες. τὸ γὰρ ἁπαξάπαντες ἐπὶ ἐπιτάσεως λαμβάνεται. ὁ δὲ Καῖσαρ νεμεσᾷ καὶ ἀγανακτεῖ, ὅτι ἁπαξάπαντες μὴ ἀνέστησαν. Ἁπαξάπαντα οὐδὲν πλέον σημαίνει τὸ ἅπαξ προσκείμενον. καὶ Ἁπαξαπλῶς, ἀντὶ τοῦ καὶ ὡς εἰπεῖν.

α 2907 Ἅπαξ ἐλάλησεν ὁ θεός: ἀντὶ τοῦ ἀποφαντικῶς ἢ παντελῶς. τὸ ἅπαξ ἐλάλησεν ὁ θεὸς οὐκ ἐπὶ ἀριθμοῦ, ἀλλ᾽ ἐπὶ τοῦ πάντως ἐσομένου. καὶ παροιμία· Ἅπαξ πυρρὸς καὶ μὴ δέκατον χλωρός: ἐπὶ τῶν δανειζόντων.

α 2908 Ἅπαξ ἀλώπηξ εἰς πάγην: ὁμοία τῇ· ἀλλ᾽ οὐκ αὖθις ἀλώπηξ. λείπει τὸ εἰς πάγην.

α 2909 Ἀπαξιῶν· αἰτιατικῇ. ἀνάξιον ἡγούμενος. Ἀππιανός· ὁ δὲ δῆμος τὸν Μάρκιον μετιόντα τὴν ὑπατείαν οὐκ ἐχειροτόνησεν οὐ τὸν ἄνδρα ἀπαξιῶν, ἀλλὰ τὸ φρόνημα δεδιὼς αὐτοῦ.

α 2910 Ἀπαξίωσις. Πολύβιος· ὁ δὲ Φίλιππος ἐδυσχέραινεν ἐπὶ τῇ τῶν Κερκυραίων ἀπαξιώσει. τουτέστι καταφρονήσει.

α 2911 Ἀπάξω: ἐκεῖθεν ἄξω.

α 2912 Ἀππαπαί: συγκαταθετικὸν ἐπίρρημα. εἰρηκότος γὰρ τοῦ Ἡρακλέους· ἀνδρὸς ἠράσθης; τοῦτο ἐπεφθέγξατο.

α 2913 Ἀπαράβλητος: ἀσύγκριτος, ἀνόμοιος.

α 2914 Ἀπαραγγέλτως: ἀκελεύστως. Πολύβιος· καὶ πανταχόθεν ἀπαραγγέλτως ἠθροίζοντο.

α 2915 Ἀπαραπόδιστα: ἀπλανῆ.

α 2916 Ἀπαράκλητοι: αὐτόματοι. Θουκυδίδης· τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ᾽ ἁρπαγὴν ἠκολούθουν.

α 2917 Ἀπαράκλητος: ἀσύγκριτος, ἀνόμοιος.

α 2918 Ἀπαράξειεν: ἀποσπάσειεν, ἀποχωρίσειεν. ὡς εἰ τούτους ἀπαράξειε τοῦ λόφου καὶ γένοιτο τῶν ἄκρων ἐγκρατὴς θᾶττον κατεργασόμενος τοὺς ἐν τῷ πεδίῳ.

α 2919 Ἀπαραποίητον: ἄπλαστον.

α 2920 Ἀπαράτιλτος: ἀντὶ τοῦ δασὺς καὶ ἄκοσμος τὰς τρίχας. ἓξ ἐτῶν ἄλουτος.

α 2921 Ἀπαργμάτων ὡρίων καιριώτερον· φησὶν ὁ Θεολόγος ἐν τῷ, χθὲς τῇ λαμπρᾷ τῶν φωτῶν ἡμέρᾳ. ἀντὶ τοῦ ἐναγισμάτων, ἃ εἰς τοὺς τάφους ἔβαλλον. τὸ δὲ καιριώτερον, ἀναγκαιότερον.

α 2922 Ἀπαραιτήτως: ἀσυγχωρήτως. πάντας δὲ τοὺς περιτυγχάνοντας ἀπαραιτήτως ἀπέκτεινον διὰ τὴν ὀργήν.

α 2923 Ἀπαριθμησόμενος: ἀποδώσων, καταβαλούμενος. ὁ δὲ Γέτης ἀφίκετο ὡς ἀπαριθμησόμενός τι τῶν ἐνιαυσιαίων χρημάτων πρὸς τὸν στρατηγὸν τῶν Ῥωμαίων. καὶ Ἀπαριθμῶν, ἀντὶ τοῦ ἀποπληρῶν ἀπαριθμόν. Ἰσοκράτης. καὶ Ἀπαριθμῶ σε, αἰτιατικῇ.

α 2924 Ἄπαρνος: ὁ ἀρνούμενος καθόλου. καὶ Ἀπαρνοῦμαι· αἰτιατικῇ.

α 2925 Ἀπαροῦντα: ἀποχωρήσοντα. οἱ δὲ Καρχηδόνιοι προσεδόκων ἀν’ ἑκάστην ἡμέραν ἀπαροῦντα τὸν στόλον εἰς τὴν οἰκείαν.

α 2926 Ἀπάρσεως: ἀναχωρήσεως. τῆς δὲ ἀλόγου ταύτης ἀπάρσεως ἢ φυγῆς τὸ πρὸς τὸν ἡγεμόνα ἐκ τοῦ δήμου μῖσος αἴτιον ἦν.

α 2927 Ἀπαρτῆσαι: τὸ κρεμάσαι. Ἀπαρτίσαι δὲ τὸ τελειῶσαι.

α 2928 Ἀπαρτί: ἐπίρρημά ἐστιν ὡς ἀμογητί, παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. Ἡρόδοτος· ἀπὸ τούτου εἰσὶ στάδιοι ο′ ἀπαρτί. καὶ Φερεκράτης ἐν Κραπατάλλοις· φράσον μοι ἀπαρτὶ δήπου προλαβεῖν. καὶ Ἀριστοφάνης Πλούτῳ· τοὺς δεξιοὺς καὶ τοὺς σώφρονας ἀπαρτὶ πλουτῆσαι ποιήσω.

α 2929 Ἀπαρτίαν: ἀποσκευὴν, τέλος ἀπαρτισμοῦ. καὶ Ἀπαρτιζόντως, τὸ μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν. ὅρος γάρ ἐστι λόγος κατ’ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος. καὶ Ἀπαρτιλογία, ἀπηρτισμένος καὶ πλήρης ἀριθμὸς καὶ λόγος. οὕτως Λυσίας. Ἡρόδοτος δὲ ζ′. λέγει δὲ Ξέρξης πρὸς Πύθιον τὸν Λυδόν· ἵνα μή τοι ἐπιδεεῖς ὦσιν αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων.

α 2930 Ἀπαρυστέον: ἀφαιρετέον. ἀπὸ τοῦ ἀρύω.

α 2931 Ἀπάρχεσθαι· γενικῇ. τὸ τοῖς ἀγύρταις ἀργύριον ἐμβάλλειν. καὶ Ἀπάρχου, ἀρχὴν βάλλε ἢ ἀπαρχὰς πρόσφερε. καὶ Ἀπαρξόμεθα ἀντὶ τοῦ ἀπαρχὰς προσοίσομεν. εἰ μὴ δ’ ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης πλείονα, καὶ πολλῶν, δαῖμον, ἀπαρξόμεθα.

α 2932 Ἅπασαν τὴν οὐσίαν ἠμφίασται: ἐπὶ τῶν μηδ’ ὁτιοῦν ἄλλο κεκτημένων ἢ ὅπερ ἀμπίσχεται.

α 2933 Ἅπας ἐχῖνος τραχύς: ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων.

α 2934 Ἀπασκαρίζειν· Ἀριστοφάνης Ταγηνισταῖς· ἀπασκαρίζειν ὡσπερεὶ πέρκην χαμαί. Μένανδρος· ἀπασκαριῶ ς’ ἐγὼ γέλωτι τήμερον.

α 2935 Ἀπαστία: ἀτροφία. νηστεία· παρὰ τὸ πάσασθαι. καὶ Ἄπαστος, ἄγευστος· οἷον ἄμαστος, ἀμάσητος.

α 2936 Ἀπαταγί: ἄνευ ψόφου.

α 2937 Ἀπατεῶνος: ψεύστου.

α 2938 Ἀπατηλός: ἀπατητικός.

α 2939 Ἀπατήσει· αἰτιατικῇ. ἀντὶ τοῦ παραλογιεῖται. Τηλεκλείδης.

α 2940 Ἀπατούρια: ἑορτὴ δημοτελής. ἤγετο δὲ παρ’ Ἀθηναίοις ἐπὶ τρεῖς ἡμέρας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκου, τοῦ Θρᾳκῶν βασιλέως. καλοῦσι δὲ τὴν μὲν πρώτην Δόρπειαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν Ἀνάρρυσιν, ἀπὸ τοῦ θύειν· ἔθυον δὲ Διῒ Φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην Κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν Μεσσήνιος, γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξανθίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραγῆν αἴγιδα ἐνημμένος μέλαιναν. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπεστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια, καὶ Διονύσου Μελαναιγίδος ἐδομήσαντο. οἱ δέ φασιν, ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν· ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόκοιτον καὶ ἄκοιτιν, οὕτω καὶ ὁμοπατόρια, Ἀπατόρια. καὶ Ἀριστοφάνης· ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων.

α 2941 Ἀπαύγασμα, καὶ Ἀπαυγάζω, καὶ Ἀπαυγή, ἡ ἔκλαμψις.

α 2942 Ἀπαυδῶ: ἀπαγορεύω, ἀπολέγομαι. Ἀριστοφάνης· τούτοις ἀπαυδῶ, κ’ αὖθις ἀπαυδῶ, καὶ αὖθις τὸ τριτὸν μάλ’ ἀπαυδῶ.

α 2943 Ἀπαυθαδιάζοντας: μεγαλοφρονοῦντας.

α 2944 Ἀπαυθαδίζω· γενικῇ. Ἀπαυθαδίζω δὲ τὸ ἀποβάλλω, αἰτιατικῇ. ὡς τὸ, ἀπηυθαδίσατο τὸν τοῦ Σωκράτους νόμον.

α 2945 Ἀπαυθημερίζειν: αὐθημερὸν ἐπανέρχεσθαι. Ξενοφῶν· ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκ ἦν λαμβάνειν ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα.

α 2946 Ἀπαυστί: ἀκαταπαύστως.

α 2947 Ἀπαυτοματισθεῖσα: οὐκ ἀφ’ ἑαυτῆς τελειωθεῖσα.

α 2948 Ἀπαυτομολῆσαι: ἀναχωρῆσαι· φεύξασθαι. ἔφερον δὲ τὰ σφέτερα αὐτῶν σιτία, οἱ μὲν ἀπορίᾳ ἀκολούθων, οἱ δὲ ἀπιστίᾳ. ἀπηυτομολήκεισαν γὰρ οἱ πλεῖστοι.

α 2949 Ἀπαφίσκω: ἀπατῶ.

α 2950 Ἀπαυχενίζειν: ἀφηνιᾶν, ἀτακτεῖν, ἢ τὸν αὐχένα συντρίβειν.

α 2951 Ἀπαχθῆναι: ἀπενεχθῆναι, ἀναιρεθῆναι.

α 2952 Ἀπ’ αἰγείρου θέα καὶ ἐπ’ αἴγειρον: ἡ ἀπὸ τῶν ἐσχάτων. αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου, ἀφ’ ἧς οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν.

α 2953 Ἀπ’ αἰγίλιπος πέτρης: ἀπὸ ὑψηλῆς πέτρας.

α 2954 Ἀπαίδευτοι: ἀνόητοι. ἄτακτοι. καὶ Ἀπαιδευτότερος Φιλωνίδου τοῦ Μελιτέως. οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης. κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης ὡς παρασίτους ἔχοντα καὶ διὰ τὸν Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς κάπρους εἶπε· τὴν δὲ Λαΐδα Κίρκην, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν.

α 2955 Ἀπαιδία: ἡλικία ἐλάσσονι χρόνῳ τοῦ συμπληροῦντος τὸν παῖδα. ἢ ἀγονία. καὶ Ἄπαιδος ὁμοίως τοῦ μὴ ἔχοντος παῖδα.

α 2956 Ἀπαιδοτρίβητοι: ἀγύμναστοι· ἀπαίδευτοι.

α 2957 Ἀπαιθριάζει: ἀντὶ τοῦ εὐδίαν ἄγει. συννεφεῖ δὲ συνάγει τὰ νέφη. Ἀριστοφάνης· τὶ γὰρ ὁ Ζεὺς ποιεῖ; ἀπαιθριάζει τὰς νεφέλας ἢ ξυννεφεῖ;

α 2958 Ἀπαινύμενον: ἀφαιρούμενον.

α 2959 Ἀπαιόλημα: ἀπάτημα.

α 2960 Ἀπαιωρούμενον: κρεμάμενον.

α 2961 Ἄπαιρε: ὃ οἱ πολλοὶ ἆρον λέγουσιν. καὶ Ἀπαίρειν, ἀντὶ τοῦ παραγενέσθαι. Ἀριστοφάνης. καὶ Ἀπαίροντες, μεθιστάμενοι.

α 2962 Ἀπαίσιον: ἀπρεπές. βλάσφημον, ἀσύμβολον. ἀσινὲς ἢ δυσοιώνιστον. ἀνεφάνησαν δὲ τοῦ αὐτοῦ φύλου τῶν Τούρκων, οὓς ἔφασαν τῶν ἀπαισίων ἐλατῆρας εἶναι.

α 2963 Ἀπαισός: ὄνομα πόλεως.

α 2964 Ἀπαιτοῦμαι· αἰτιατικῇ.

α 2965 Ἀπαιτητέα· καὶ Ἀπαιτητέον, ἀντὶ τοῦ δεῖ ἀπαιτεῖν.

α 2966 Ἀπαιτέων· ἀπαιτῶν. Φωκυλίδης· χρήστας κακοὺς ἔμμεναι ἀνδρὸς φεύγειν μή γε ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

α 2967 Ἀπέβη: ἀπέθανε. καὶ Ἀπεβίω, ὁμοίως.

α 2968 Ἀπέβλισεν: ἀφείλετο. ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων ἢ ἀπὸ τῶν τὸ γάλα ἀμελγόντων. Ἀριστοφάνης Ὄρνισι· λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον, κἀγὼ πίπτω μέλλω τε βοᾶν· ὁ δ’ ἀπέβλισε θοιμάτιόν μου. ἀντὶ τοῦ ἐξέρασεν.

α 2969 Ἀπέβριξεν: ἀφύπνωσεν.

α 2970 Ἀπεγένετο: ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης.

α 2971 Ἀπεγνωκώς· γενικῇ. ἀντὶ τοῦ ἀποδοκιμάσας. Δημοσθένης. καὶ Ἀπέγνωσαν, τὸ ἐναντίον τῷ κατέγνωσαν.

α 2972 Ἄπεδα: τὰ ἰσόπεδα. Κλείδημος· καὶ ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλλον δὲ ἐννεάπυλον τὸ Πελασγικόν.

α 2973 Ἀπέδει: ἐνέλειπεν. ὁ δὲ Φιλοποίμην ὁ Ἀρκὰς μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός, τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός.

α 2974 Ἀπεδειλία: ἐδεδίει. Πολύβιος· ὁ δὲ Περσεὺς μίαν ἔχων πρόληψιν ἢ νικᾶν ἢ θνήσκειν (ἀντὶ τοῦ ἔννοιαν) τότε οὐχ ὑπέμεινε τῇ ψυχῇ, ἀλλ’ ἀπεδειλία, καθάπερ οἱ προόπται τῶν ἱππέων.

α 2975 Ἀπέδειξεν: ἀντὶ τοῦ παρέδωκε. Ξενοφῶν.

α 2976 Ἀπεδήδοκε: κατέφαγεν.

α 2977 Ἀπεδημηκότες: ἀντὶ τοῦ ἀποδεδημηκότες. Ἕρμιππος Φορμοφόροις.

α 2978 Ἀπεδοκίμαζεν: ἀτίμως ὕβριζεν, ἐξεφαύλιζε. καὶ καθόλου τοὺς μὲν κοσμίους τοῖς ἤθεσι καὶ τῶν ἰδίων βίων ἐπιμελουμένους ἀπεδοκίμαζε, τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν μέθαις καὶ κύβοις ἐτίμα καὶ προῆγεν.

α 2979 Ἄπεδον: τὸ ἰσόπεδον καὶ τὸ ὁμαλόν. Θουκυδίδης. οἱ δὲ Ἀθηναῖοι κατέβησαν εἰς χωρίον ἄπεδόν τι καὶ ἐστρατοπεδεύσαντο βουλόμενοι ἐκ τῶν οἰκείων λαβεῖν τι ἐδώδιμον. ἀνώμαλον ἢ ἰσόπεδον.

α 2980 Ἀπέδοντο· γενικῇ.

α 2981 Ἀπέδοξεν: ἀντὶ τοῦ πῶς οὐκ ἔδοξεν.

α 2982 Ἀπέδοσθε: ἀπημπολήσατε. καὶ Ἀπέδοτο, ἐκδέδωκε, παρέδωκεν.

α 2983 Ἀπέδραν· καὶ τὸ πρῶτον πρόσωπον ἀπέδραν. ἀντὶ τοῦ ἐπανεχώρησαν δεῦρο κἀπέδραν. Φερεκράτης Ἰπνῷ. Μένανδρος Θετταλεῦσιν· εἶτ’ ἀπέδραν μόνος.

α 2984 Ἀπέθανεν: ἀπῆλθεν ὅθεν ἦν. καὶ ζήτει ἐν τῷ ἀποθανεῖν.

α 2985 Ἀπέθρισεν: ἀπέκειρεν, ἀπέκοψε. σὴν κεφαλὴν αἴλουρος ἀπέθρισεν, ἄλλα τε πάντα ἥρπασε, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν. καὶ Ἀπέθερσε τὸ αὐτό.

α 2986 Ἀπεκάθητο: ἐκαθέζετο. ὁ δὲ Σκιπίων ἀπεκάθητο πρός τινι πυραμίδι θεωρῶν τοὺς αὐτομόλους καὶ τὴν τούτων ἀπόνοιαν.

α 2987 Ἀπεκάλει: ἀντὶ τοῦ ἐνεκάλει, μετεπέμπετο. Ξενοφῶν.

α 2988 Ἀπεκαρτέρησεν: ἑαυτὸν διεχρήσατο. ὁ δὲ Λυκοῦργος ἐλθὼν εἰς Κρήτην ἀπεκαρτέρησεν, ἵνα μὴ λύσῃ τοὺς νόμους, οὓς ἔθηκεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 2989 Ἀπεκαύθησαν· πολλοὶ δὲ ὑπὸ κρύους ἀπεκαύθησαν χεῖρας καὶ πόδας.

α 2990 Ἀπεκαίνυτο: ἐνίκα.

α 2991 Ἀπέκειντο: ἐταμιεύοντο. αἱ δὲ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησίν ἐστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο. αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι.

α 2992 Ἀπέκνισε ξύλον: ἀπέκοψεν.

α 2993 Ἀπεκομίσθη: ἀπηνέχθη.

α 2994 Ἀπεκόμπασεν· ἐν Ἐπιγράμμασι· βρόγχον τετριγυῖα λύρας ἀπεκόμπασε χορδά.

α 2995 Ἀπεκόπησαν: ἀντὶ τοῦ ἀνεβλήθησαν. Ξενοφῶν.

α 2996 Ἀπεκορύφου: προφανῶς ἔλεγεν. Ἡρόδοτος· Ἀρταφέρνης, ὁ Ὑστάσπεος, Σαρδίων ὕπαρχος, ἀπεκορύφου σφι τάδε· εἰ μὲν διδοῦσι βασιλεῖ Δαρείῳ Ἀθηναῖοι γῆν τε καὶ ὕδωρ, ὁ δὲ συμμαχίην σφι συνετίθετο· εἰ δὲ μὴ διδοῦσιν, ἀπαλλάσσεσθαι αὐτοὺς ἐκέλευεν.

α 2997 Ἀπεκράνιξε: τῆς κάρας ἀπεχώρισεν, ἀπέκοψεν. ὁ δὲ ῥοπάλῳ γυρὸν ἀπεκράνιξε βοὸς κέρας.

α 2998 Ἀπεκρίθη: ἀφωρίσθη.

α 2999 Ἀπεκτήτου: ἀκτενίστου. ἐν Ἐπιγράμμασι· οὐδὲ κομίζει χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην.

α 3000 Ἀπεκτάγκασι, καὶ Ἀπεκτόνασι· μισοῦσι μὲν, ὦ πάτερ, Θράσωνα, ἀπεκτάγκασι δ’ οὔ.

α 3001 Ἀπέλα: ἀντὶ τοῦ ἀπέλαυνεν. ἀπέλαυσε καὶ παραπέλαυσεν.

α 3002 Ἀπελάκτισεν ὁ ἠγαπημένος· ἀντὶ τοῦ ἀπεσκίρτησεν.

α 3003 Ἀπελαύνομαι· γενικῇ, αἰτιατικῇ δέ· ὡς οἱ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες.

α 3004 Ἀπελλαῖος: ὁ Δεκέμβριος μήν. παρὰ Μακεδόσιν.

α 3005 Ἀπέλεθρον: πολλὴν, ἀμέτρητον.

α 3006 Ἀπελεύθερος: ὁ ἐλευθερωθείς.

α 3007 Ἀπεληλαμένος: ἀποφεύγων.

α 3008 Ἀπελλῆς, Κολοφώνιος, θέσει δὲ Ἐφέσιος, ζωγράφος, μαθητὴς Παμφίλου τοῦ Ἀμφιπολίτου, πρότερον δὲ Ἐφόρου τοῦ Ἐφεσίου, υἱὸς Πυθέου, ἀδελφὸς Κτησιόχου, καὶ αὐτοῦ ζωγράφου.

α 3009 Ἀπελλικῶν· καὶ τὴν Ἀπελλικῶντος τοῦ Τηΐου καταλαβὼν ὁ Σύλλας βιβλιοθήκην. σημαίνει δὲ ὄνομα κύριον.

α 3010 Ἀπελείπετο· ἀεὶ διὰ διφθόγγου. Ἀπέλιπε δὲ ἀντὶ τοῦ ἀπέλειψεν, ὡς μέλλοντα σημαῖνον, διὰ τοῦ ι. Ἀπέλειπε δὲ ἀντὶ τοῦ ἀπελίμπανε διὰ διφθόγγου ὡς παρῳχημένος.

α 3011 Ἀπέλιπε· μεγίστην παρὰ τοῖς βαρβάροις δικαιοσύνης ἀπέλιπε δόξαν.

α 3012 Ἀπέλθη: ἀντὶ τοῦ ἐπανέλθῃ. Θουκυδίδης. Δημοσθένης δὲ ἀντὶ τοῦ ἀποδρᾶναι.

α 3013 Ἀπελογίζετο: ἀπηριθμεῖτο. ὁ δὲ εἰσελθὼν ἀπελογίζετο τὰς αἰτίας, δι’ ἃς ὁ πεφευγὼς εἴη τὸν Φίλιππον.

α 3014 Ἄπελος: τὸ ἕλκος· διὰ τὸ μὴ πελάζειν, ἀλλὰ διΐστασθαι.

α 3015 Ἀπελπίζω· αἰτιατικῇ.

α 3016 Ἀπελωβήθη: ἐφύβριστα εἴργασται· ἢ οὕτως, ἐνυβρίσθη καὶ λωβητὸς γέγονε. Σοφοκλῆς· μανίᾳ γὰρ ἁλοὺς ἡμῖν ὁ κλεινὸς νύκτερος Αἴας ἀπελωβήθη.

α 3017 Ἀπελυμαίνοντο: ἀπεκαθαίροντο.

α 3018 Ἀπέλυσεν: ἐλυτρώσατο. Πολύβιος· ἣ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς ὑποψίας.

α 3019

Ἀπεμορξάμην: ἀπεψησάμην, ἐδάκρυσα. ὥστ’ ἐγὼ μὲν ἠλέησα, κἀπεμορξάμην, ἰδὼν ἄνδρα πρεσβύτην ὑπ’ ἀνδρὸς τοξότου κυκώμενον. ἀπὸ τοῦ παρακολουθοῦντος. παρέπεται γὰρ τοῖς δακρύουσιν ἀπομάττεσθαι. ἢ Ἀπεμόρξατο, ἐξωμοιώσατο. ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο, τοῦ δὲ κατ’ ἴχνος βουφάγος εἰς κοίλην ἀτραπὸν ἶκτο λέων. καὶ Ἀπεμόρξατο, ἀπεβάλετο, ἀπεσμήξατο.

α 3020 Ἀπεμπολή: ἀπόστασις, ἡ μετὰ ἀπάτης πρᾶσις καὶ ἐμπορία. καὶ Ἀπεμπολήσας, πεπρακώς, ἀποκτησάμενος.

α 3021 Ἀπεμυθήσω: ἀντὶ τοῦ ἀπελογήσω. Στράττις.

α 3022 Ἀπεμφαίνει: ἀπείρηκεν.

α 3023 Ἀπεναντίας· γενικῇ.

α 3024 Ἀπενεγκάμενος: κτησάμενος.

α 3025 Ἀπενιαυτίσαι: ἐνιαυτῷ φυγεῖν τὴν πατρίδα ἐπί τισιν ἀδικήμασιν. Ἀπολλώνιόν φασι τὸν Τυανέα ἀπενιαυτίσαι εἰς τὸ Σκυθῶν ἔθνος, διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον. καὶ αὖθις περὶ Ἡρακλέους· ἀπενιαυτίσαντα, ὡς νόμος, ἔξω καὶ καθηράμενον, ἐπανελθεῖν εἰς Ἀθήνας.

α 3026 Ἀπέννινα: ὄρη.

α 3027 Ἀπεξεσμένον: ἠκριβωμένον.

α 3028 Ἀπεώσατο: ἀπετινάξατο. καὶ Ἀπεωσμένον, καὶ Ἀπωσμένον ὁμοίως. Ἀπέωστο δὲ ἐπορθεῖτο.

α 3029 Ἀπέπαρδε· καὶ Ἀποπαρδεῖν. Ἐπράδειν δὲ, προτεταγμένου τοῦ ρ.

α 3030 Ἀπεπίστευον: ἤλπιζον. οἱ γὰρ Ῥωμαῖοι πρὸς τοὺς ὑλώδεις τόπους ὑπόπτως εἶχον πρὸς ἐνέδρας, ἐν δὲ τοῖς ἐπιπέδοις καὶ ψιλοῖς ἀπεπίστευον.

α 3031 Ἀπεπλίξατο· Ἀριστοφάνης Ἀχαρνεῦσιν· οὐκ ἂν ἐλαφρῶς ἀπεπλίξατο. ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥᾳστώνης ἀπεσείσατο καὶ ἀπέφυγε. πλὶξ γὰρ τὸ βῆμα· καὶ πλίγματα, τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος· αἱ δ’ εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσιν. ἔλεγον δὲ πλίξαν καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα. καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.

α 3032 Ἀπεπόνουν: τοῦ πόνου ἔληγον. ἀλλ’ ὅτε Ῥωμαῖοι ἀπεπόνουν ἐρεβοδιφοῦντες τὰ ὑποχθόνια, στρατοπεδεύουσιν ἀμφὶ τὸ φρούριον τὸ Χλομάρων.

α 3033 Ἀπεπυδάρισα (Ἀριστοφάνης) μόθωνα περιεκόκκυσα: ἀντὶ τοῦ ἀπέπαρδον. μόθων δὲ εἶδος ὀρχήσεως φορτικῆς. περιεκόκκυσα οὖν κόρδακα ὠρχησάμην.

α 3034 Ἀπερράπισεν: ἀπεφίμωσεν, ἐπεστόμισεν.

α 3035 Ἀπέρατον: ἄπειρον, μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσιν. Ἀριστοφάνης Νεφέλαις· τὸ χρῆμα τῶν νυκτῶν ὅσον ἀπέρατον. καὶ αὖθις· ὁ δὲ Χοσρόης τὴν ἀπέραντον καλουμένην εἰρήνην λαμπρῶς παρέλυσεν.

α 3036 Ἀπεργασάμενος: ἀντὶ τοῦ ἀποδοὺς, ἐξ ὧν εἰργάσατο. οὕτως Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον. καὶ Ἀπεργάσασθαι, ἀντὶ τοῦ ἀποπληρῶσαι. Ἀριστοφάνης.

α 3037 Ἄπερρε: ἀντὶ τοῦ φθείρου, πορεύου μετὰ φθορᾶς. Ἀριστοφάνης Νεφέλαις· ὑθλεῖς, ἄπερρε. Ἄπερρε οὖν ἀποφθάρηθι. καὶ Ἔρρων, φθειρόμενος. ζητῶ περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ. Κραπατάλλοις Φερεκράτης.

α 3038 Ἀπερεύγομαι· αἰτιατικῇ.

α 3039 Ἀπερείδομαι τὸν πόκον: ἀντὶ τοῦ ἀποτίθημι, ἀκουμβίζω. καὶ Ἀπερείσασθαι, ἐκβαλεῖν, ἐκκενῶσαι. ὥσπερ εἰς ἐκείνους βουλόμενοι ἀπερείσασθαι τὸν θυμόν. καὶ Ἰώσηπος· πρὸς τὸν αἴτιον ἀπερείδεσθαι ἔλεγε τὴν ὀργήν. Ἀπερείσασθαι οὖν ἐκκενῶσαι, καταθαρρῆσαι, ἐπιβῆναι. πρὸς ἕνα καιρὸν ἀπερείσασθαι τὰς ἐλπίδας οὐδαμῶς ἔκρινε συμφέρειν.

α 3040 Ἀπερείσια: ἄπειρα δῶρα. Ὅμηρος· ἀπερείσι’ ἄποινα. καὶ Ἀπερείσιος, ἄπειρος, πολύς.

α 3041 Ἀπερίβλεπτον: ἀνυπονόητον.

α 3042 Ἀπερίγραπτον: ἀπεριόριστον. ὅτι τὸ ἀπερίγραπτον τριττόν· τόπῳ, χρόνῳ, καταλήψει. ὁ μὲν θεὸς κατὰ πᾶν εἶδος ἀπερίγραπτος· τὰ δὲ αἰσθήσει καταληπτὰ καὶ περιγραπτά. καὶ Ἀπερίγραπτοι, ἀπερίσκοποι.

α 3043 Ἀπερικτύπητον: ἀτάραχον, ἀνενόχλητον.

α 3044 Ἀπεριλάλητον: ἤτοι οὐκ εἰδότα λαλεῖν ἢ οἷον οὐκ ἄν τις παραλαλήσαι.

α 3045 Ἀπερισάλπιγκτοι: ἀπεριήχητοι, ἀκατήχητοι.

α 3046 Ἀπερίτροπος: ἀνεπίστροφος. οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς ἀνεπίτροπος, οὔθ’ ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων. ἀπὸ κοινοῦ τὸ ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν, ἀλλ’ ἔχει ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖται. ἢ ἀνεπέλευστος. ἔνθεν καὶ τὸ, περιτροπέων ἐνιαυτός.

α 3047 Ἀπερρίφη: ἐξεβλήθη. γενικῇ. Ἀπορρίπτω δὲ αἰτιατικῇ

α 3048 Ἀπέρριψεν· ὁ δὲ ἐπιτηρήσας τῷ δοκεῖν ὑπὲρ τούτων ἀπέρριψε λόγους. τουτέστι παρενέβαλεν. ἢ Ἀπέρριψεν, ἐφλυάρησεν. ὁ δὲ στωμύλος τε ὢν καὶ ὑψαγόρας ἀπέρριψε ῥήματα ὑπερήφανά πως καὶ θρασύτερα.

α 3049 Ἀπεροῦντα: κωλύοντα, ἀποτρέποντα. στέλλεται ἐκ βασιλέως γράμματα, ἀπεροῦντα τὴν τῶν βαρβάρων ἐπίθεσιν. καὶ Ἀπεροῦσιν, ἀπαγορεύουσι, καὶ παύσονται τοῦ πολέμου. ἀμέλει ταχέως πάνυ ἀπεροῦσιν.

α 3050 Ἀπέρρωγεν, οὐκ ἀπέρρηκται. καὶ Ἀπερρώγη, καὶ σὺν τῷ ν Ἀπερρώγην, τὸ γʹ πρόσωπον. κἂτ’ ἀπερρώγην ὁ πούς. καὶ Ἀπερρωγότες, κατεσχισμένοι, ἢ ἀπεσχισμένοι. τῆς φίλης ἀπερρωγὼς συζυγίας.

α 3051 Ἀπερωεύς: κωλυτής. Ὅμηρος· ἐμῶν μενέων ἀπερωεύς.

α 3052 Ἅπερ σύ: ἀντὶ τοῦ ὥσπερ σύ.

α 3053 Ἀπερυθριάσαι: ἀπαναισχυντῆσαι. Ἀριστοφάνης· κρεῖττον ἦν τότ’ εὐθὺς ἀπερυθριάσαι, ἢ χρήσαντα μὴ σχεῖν πράγματα. τὸ πράγματα οὐκ ἐπὶ κακοῦ χρῶνται. ὁ δὲ λόγος εἴρηται ἐπὶ τῶν δανειζόντων. καὶ αὖθις· ἅπαξ πυρρὸς καὶ μὴ δέκατον χλωρός.

α 3054 Ἀπερύκοι: ἀπεκωλύθη.

α 3055 Ἀπέσβη: ἐσβέσθη, ἢ ἐπαύσατο, τέθνηκεν.

α 3056 Ἀπέσβηκε· λέγουσι τὸ ἀποσβέσαι οἵ τε ἄλλοι καὶ Πλάτων Πολιτικῷ.

α 3057 Ἀπεσείσατο: ἀπέβαλεν.

α 3058 Ἀπεσκέδασε: διεσκόρπισεν.

α 3059 Ἀπεσκευάζετο: τὴν στολὴν ἀπετίθει. καὶ Ἀπεσκευασάμεθα, ἀπεβάλομεν. κυρίως δὲ ἀποσκευάσασθαί ἐστι τὸ ἀπορρίψαι τὰ σκεύη καὶ τοῖς πολεμίοις ἀκολουθεῖν. τὰ δὲ πολλοῦ ἄξια μετὰ πλείστων ἀνθρώπων ἐκεῖσε ἀπεσκευάσατο. ἀντὶ τοῦ ἀπέθηκεν.

α 3060 Ἀπεσκληκώς: ἀναισθήτως ἔχων, καὶ Ἀπεσκληρυμμένως, ἐξηραμμένως.

α 3061 Ἀπεσκοτωμένα: ἐσκιαγραφημένα, κεχρωσμένα. τὰς γὰρ χρίσεις σκότη καλοῦσιν ζωγράφοι. οὕτως Ἀριστοφάνης.

α 3062 Ἀπεσκύθιζον: κυρίως τὸ ἀποτεμεῖν τὸ ἐπὶ τῆς κεφαλῆς δέρμα σὺν θριξί, καταχρηστικῶς δὲ τὸ ἀποκεῖραι.

α 3063 Ἀπέσομαι: ἀπέρχομαι, ἀναχωρῶ. παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις.

α 3064

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπέσπασε: μετὰ βίας ἐξείλετο. οἱ δὲ Σπαρτιᾶται ἐκάθηντο τοῦ θεοῦ ἱκέται ἐς Ταίναρον καὶ ἤτουν σωτηρίαν. οἱ δὲ ἀπέσπασαν ἀφειδῶς καὶ μάλα ἀπέκτειναν αὐτούς.

α 3065 Ἀπεσπούδαζεν: ἠμέλει, κατεφρόνει. οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζεν ὁ Ἀπολλώνιος.

α 3066 Ἀπεστάτει: ἀπεῖχεν, ἀπεχωρίζετο. Εὐνάπιος· καὶ γὰρ οὐκ ἀπεστάτει τῆς τοῦ Λέοντος ἐπωνυμίας. οὕτω γὰρ καὶ τὸ ζῷον ποιεῖν εἴωθεν. Οὐκ ἀπεστάτει, οὐ παρήλλαττε. Σοφοκλῆς· μέγας, χηράζων ἄρτι λευκανθὲς κάρα, μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ. περὶ Λαΐου φησὶν Ἰοκάστη.

α 3067 Ἀπεσταύρουν: σταυροῖς ἔφραττον. Θουκυδίδης· λίθοις δὲ καὶ πλίνθοις χρώμενοι καὶ κόπτοντες δένδρα καὶ ὕλην ἀπεσταύρουν εἴ πη δέοιτό τι.

α 3068 Ἀπέστησεν: ἐκώλυσεν, ἐπέσχε. Πολύβιος· ἐκεῖνον γὰρ οὔτε σκότος οὔτε χειμῶνος μέγεθος ἀπέστησεν οὐδέποτε τῆς προθέσεως· ἀλλὰ καὶ ταῦτα διωθούμενος καὶ τὰς ἀρρωστίας ἐκπονῶν καθῆστο καὶ διευτυχήκει πάντα τὸν χρόνον. καὶ αὖθις Πολύβιος· ἀποσχόντες τῆς ἰδίας παρατάξεως ἐφ' ἱκανόν τινα τόπον, οἱ μὲν πλείους ἀπέστησαν, δύο δὲ ἐπιπολὺ προῆλθον. ἀντὶ τοῦ ἐπέσχον τὸν δρόμον.

α 3069 Ἄπεστιν: ἀντὶ τοῦ ἀφέστηκεν· Ἀριστοφάνης· ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη. οὗτος ἦν στρατηγὸς Ἀθηναίων, ὁ καλούμενος Στύγαξ, δωροδόκος καὶ προδότης, ὃς ἀπώλετο ὑπὸ τῶν λ′. οἱ δὲ ὡς πιὼν κώνειον. ἀκόνιτον δέ.

α 3070 Ἀπεστομάτισαν: ἀπεφθέγξαντο.

α 3071 Ἀπεστώ· ὥσπερ Σαπφώ. παρὰ Καλλιμάχῳ ἡ ἀποδημία.

α 3072 Ἀπέστω: οἰχέσθω, διωκέσθω. ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων. ἐπὶ τῶν βουλομένων φιλοσοφεῖν ὁ Σωκράτης φησίν.

α 3073 Ἀπεστυφέλιξεν: ἐκίνησεν, ἔσεισεν.

α 3074 Ἀπέσσυτο: ἐξέλιπε. σεύω τὸ ὁρμῶ, καὶ σύω, ἀφ' οὗ τὸ σῦμι, ἔνθεν τὸ ἔσσυτο καὶ ἀπέσσυτο, καὶ ἀπόσσυτος.

α 3075 Ἀπεσφακέλισεν: οἱ μὲν γραμματικοὶ ἐσάπη, ἀπεσφενδόνησε. σημαίνει δὲ καὶ τὸ ἀπεκάκησεν· ἔτι τὸ ἐξαίφνης ἀπέθανεν. ὁ δὲ Ἀριστοφάνης ἀντὶ τοῦ ἀπεσπάσθη.

α 3076 Ἀπέσφηλεν: ἀποτυχεῖν ἐποίησεν.

α 3077 Ἀπέσχαζε· Πλάτων Πρέσβεσι. καὶ σχᾶν, τὸ σχάζειν.

α 3078 Ἀπεσχεδιάζετο: ἡτοιμάζετο.

α 3079 Ἀπεσχοίνισεν: ἀπεχώρισεν. καὶ Ἀπεσχοινισμένος, ἀπεστερημένος. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ἀντὶ τοῦ ἀποκεκλειμένος.

α 3080 Ἀπετάφρευον· Μένανδρος· οἱ Ῥωμαῖοι γὰρ οὐκ ἀπετάφρευον τὸ πρότερον οὔτε μὴν ἐν ἐπιστήμῃ πάμπαν τὸ τοιόνδε εἶχον πρότερον, ἢ Μαυρίκιον τὸν Παύλου ἡγήσασθαι τοῦ ἑῴου πολέμου. ἐπειδὴ δὲ, ὅτε τὴν στρατηγίαν εἶχεν, ἡγεμονεύουσαν αὐτῷ τῆς ἐπὶ τὴν βασιλείαν ἀτραποῦ, τὸ τοιόνδε ῥᾳθυμίᾳ παροφθὲν ἐς τὸ δέον ἐπανήγαγε. Ῥωμαίοις γὰρ μὴ βουλομένοις ἦν τὸ χρῆμα καὶ εἰς λήθην κατώλισθε. πόνος γὰρ ὄκνῳ πολέμιος.

α 3081 Ἀπετέμετο: περιέκοψε, διεχώρισε. κατανύσας ἐπὶ τὸν ἰσθμὸν τῶν Σινωπέων ἀπετέμετο τοὺς ἐν τῇ χώρᾳ πάντας.

α 3082 Ἀπετείχιζον: ἀπεχώριζον, ἀπεκώλυον.

α 3083 Ἀπετιμήσατο: ἀντὶ τοῦ ἀποτίμημα ἔλαβεν. οὕτως Δημοσθένης. καὶ Ἀποτίμησις, τὸ ἀποτίμημα.

α 3084 Ἀπετίννυον: ἀπεδίδουν.

α 3085

Ἀπέτισεν: ἀπέδωκεν. μοσχείῳ δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα βληθείς.

α 3086 Ἀπέτηλον· ἐν Ἐπιγράμμασι· καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην.

α 3087 Ἀπετμήθη: ἀπεκόπη.

α 3088 Ἀπετρίψαντο: ἀπελογήσαντο. οἱ δὲ πρὸς ἕκαστον τῶν ἐγκαλουμένων οὐ μόνον ἀπετρίψαντο τὰς διαβολάς, ἀλλὰ καὶ τιμηθέντες ἐπανῆλθον εἰς τὴν οἰκείαν.

α 3089 Ἀπετρύετο· καὶ παρὰ τὰς τῶν δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο. κατεδαπανᾶτο. καὶ αὖθις· εἰ τοῦτον τὸν ἆθλον προὔτεινεν Εὐρυσθεὺς Ἡρακλεῖ, σφόδρα ἂν αὐτὸν ἀπέτρυσεν.

α 3090 Ἀπεοικός: ἀπρεπές.

α 3091 Ἀπευήκασιν: ἀπεξηραμέναι εἰσίν.

α 3092 Ἀπευθέες: ἄπειροι, ἀπαίδευτοι. καὶ Ἀπευθής, ἄφημος.

α 3093 Ἀπευθύνει: κολάζει. καὶ Ἀπευθύνοντα, τιμωρίαν ἀπαιτοῦντα. Σοφοκλῆς· δεσμοῖς ἀπευθύνοντα.

α 3094 Ἀπεύχομαι· αἰτιατικῇ.

α 3095 Ἀπευκταῖον, καὶ εὐκταῖον διὰ διφθόγγου. Ἀπευκτὸν δὲ μισητόν.

α 3096 Ἀπέφησεν: ἀντὶ τοῦ ἀντεῖπε. Μένανδρος.

α 3097 Ἀπέφθου χρυσίου: τουτέστι τοῦ πολλάκις ἑψηθέντος, ὥστε γενέσθαι ὄβρυζον. χρυσίαις ἄπεφθα τοῖς Παταικοῖς ἐμφερῆ.

α 3098 Ἀπεφλαύριζεν: ἐκάκιζεν. ὁ δὲ τούτοις ἀντέπραττε καὶ ἀπεφλαύριζε τὰ λεγόμενα. καὶ αὖθις· περιεφρόνησε δὲ ὅμως αὐτὸν καὶ ἀπεφλαύριζεν.

α 3099 Ἀπέφρησαν: ἀφεῖσαν.

α 3100 Ἀπεφρύγοντο· οἱ δὲ ὑφ' ἡδονῆς ἀπεφρύγοντο πρός τε τὸ μέλος καὶ τὴν συνθήκην κακῶς ἑαυτοὺς ἐπιτρίβοντες. φληνάφους διαπλέκοντες καὶ ἀποπεραίνοντες ὑφ' ἡδονῆς ἀπεφρύγοντο.

α 3101 Ἀπεχειρίσθη: τὴν χεῖρα ἀφῃρέθη. ὃς μετὰ πολλὰς αἰκίας καὶ στρεβλώσεις ἀπεχειρίσθη τὴν δεξιάν.

α 3102 Ἀπεχθάνομαί σοι. καὶ Ἀπεχθάνοντο, ἐμισοῦντο. καὶ Ἀπέχθεσθαι· λέγουσι δέ ποτε καὶ ἀπεχθάνεσθαι.

α 3103 Ἀπέχθεια: μῖσος. καὶ Ἀπεχθής, ἐχθρὸς, μισητός. καὶ Ἀπεχθησόμενος, ἀντὶ τοῦ ἐχθρὸς γενησόμενος. ᾔδει γὰρ ὁ Ἀντήνωρ ἀπεχθησόμενος τῷ τοῦ βασιλέως υἱεῖ. καὶ Ἀπεχθήρω, μισήσω.

α 3104 Ἀπ' ἐχθρῶν πολλὰ μανθάνουσιν οἱ σοφοί. ἡ γὰρ εὐλάβεια σῴζει πάντα. παρὰ μὲν οὖν φίλου οὐ μάθοις ἂν τοῦθ', ὁ δ' ἐχθρὸς αὐτὸς ἐξηνάγκασε. καὶ Μένανδρος· οὐχ ὅθεν ἀπολόμεσθα σωθείημεν ἄν; παρὰ τῶν ἐχθρῶν. φοβούμενοι γὰρ τοὺς ἐχθροὺς ὠφελούμεθα παρ' αὐτῶν· ἔκ τε τῶν ἐχθρῶν πολλὰ χρήσιμα διδασκόμεθα πρὸς φυλακὴν καὶ πρόνοιαν. αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν ἔμαθον ἐχθρῶν κοὐ φίλων ἐκπονεῖν θ' ὑψηλὰ τείχη ναῦς τε κεκτῆσθαι μακράς. τὸ δὲ μάθημα τοῦτο σῴζει παῖδας, οἶκον, χρήματα.

α 3105 Ἀπέχω· αἰτιατικῇ. ἀντὶ τοῦ ἀπέλαβον. ὡς ἀπέχομέν γε τὴν χάριν, εἰ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρὰ ἀδελφοῦ πρεσβυτέρου τοῦ πείθεσθαι χάρις. καὶ αὖθις ἐν Ἐπιγράμμασι· τὸ χρέος ἀπέχεις, Ἀσκληπιὲ, τὸ πρὸς γυναικὸς Δημοδίκης. καί, ἀπέχω τὰ τροφεῖα. Ἀπέχομαι δὲ γενικῇ. εἰ γὰρ ὁ Ἀδὰμ ἀπέσχετο τοῦ ξύλου τῆς γνώσεως.

α 3106 Ἀπεχώρησεν· ὁ δὲ παρὰ Μάννον ἀπεχώρησε δεξιάς τε παραβὰς, ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας, οὓς ὤμοσεν.

α 3107

Ἀπεχρᾶτο: Ἡρόδοτος μὲν ἀντὶ τοῦ ἀρκεῖν ἡγεῖτο. Θουκυδίδης δὲ ἀπεχρῶντο ἀντὶ τοῦ ἀνῄρουν.

α 3108 Ἀπέχρη: ἤρκει.

α 3109 Ἀπεχρήσατο· αἰτιατικῇ. ἀπέκτεινε. καὶ Ἀπεχρήσαντο, διεχρήσαντο, ἀπέκτειναν. Λημνίαις Ἀριστοφάνης· τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους. Ἀπέχρησε δὲ ἐχρησμοδότησε. καὶ τρὶς οὐχ ἅπαξ ἀπέχρησέν οἱ, Τυρίοις εἰπεῖν ἀποστῆναι τῶν ἀμφὶ Δαρεῖον. εἶτα οὐκ ἀπέχρησέν οἱ κρατῆσαι τῶν ἐχθρῶν, ἀλλὰ καὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἐσύλησε. καὶ αὖθις· ἀπέχρησε μὲν οὖν καὶ ταῦτα κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν. σημαίνει δὲ τὸ ἀπέχρησε καὶ τὸ ἐξήρκεσεν.

α 3110 Ἀπεψησάμην: κατεμαξάμην. ἀποψᾶν γὰρ λέγουσι τὸ ἐκμάσσειν. καὶ Ἀπέψησαν, ἀπετίναξαν. εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινὶ, τοῦτ᾽ ἀπεψήσαντ᾽ ἄν. τοῦτο ψευδόπτωμα λέγεται, ὅταν οἱ πεσόντες ἐξαναστάντες ἀποψῶσι τὴν κόνιν, ἵνα μὴ ἔλεγχον τοῦ πτώματος ἔχοιεν. καὶ ἐν Πλούτῳ· ἀποψώμεθα δ᾽ οὐ λίθοις ἔτι. καὶ Ἀπεψήσας, ἑφθὸν ποιήσας. ἢ ἀντὶ τοῦ καινουργήσας. Ἀριστοφάνης· τὸν δῆμον ἀπεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα. ἀντὶ τοῦ ἐκαινούργησα. ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀπεψήσασα ἀνανεάσαι ποιῆσαι.

α 3111 Ἀπεψηφίσατο: τουτέστι κατεδίκασεν. ἡ δὲ βουλὴ τὴν διάγνωσιν ποιουμένη τῶν πεπραγμένων ἀπεψηφίσατο τοῦ ἀνθρώπου, ἐπεὶ αὐτοῦ οὐκ ἐπελθόντος ἀλλ᾽ ἀμυνομένου τὸ μίασμα γέγονε. καὶ αὖθις· τῶν δὲ στρατηγῶν δύο μὲν ἔφυγον πρὸ κρίσεως, Κόνωνος δὲ ἀπεψηφίσαντο. ἀντὶ τοῦ ἀπεδοκίμασαν. καὶ Ἀπεψηφισμένοι· ἐπὶ τοῖς δήμοις ἀποψηφίσεις ἐγίνοντο τῶν γεγραμμένων μὲν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐκ ὄντων δὲ ἀστῶν, ἀλλὰ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν· καὶ οὗτοι ἐλέγοντο ἀπεψηφισμένοι, ἐπειδὴ ψήφου περὶ αὐτοῖς ἐπαχθείσης οὐκέτι μετεῖχον τῆς πολιτείας. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα· ὅπως πρῶτον μὲν μυριάδας πλείους ἢ ιε′, τοὺς ἐκ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν· ἔπειτα τοὺς ὀφείλοντας τῷ δημοσίῳ καὶ τοὺς ἀτίμους καὶ τοὺς ἀπεψηφισμένους καὶ τοὺς ἀποίκους.

α 3112 Ἀπέψον: τὸ ἕψιον, διὰ τοῦ ο μικροῦ. Ἀπέψων δὲ τὸ ἀπεσπόγγιζον, διὰ τοῦ ω μεγάλου.

α 3113 Ἀπεψωλημένοι· Ἀριστοφάνης Πλούτῳ· ἀπεψωλημένοι· ἀκρατιεῖσθε. ἀντὶ τοῦ, ὡς τράγοι ἀκρατῆ πράξετε. καὶ ζήτει ἐν τῷ ἀκρατιεῖσθε.

α 3114 Ἄπει: ἀντὶ τοῦ ἀπελεύσῃ. Σοφοκλῆς.

α 3115 Ἀπεῖδεν· ὁ δὲ στρατηγὸς, ἐπεὶ ἀπεῖδεν εἰς αὐτὸν ὀργῇ διακεκαυμένος, θανάτῳ τὸν Γέτην ἐκόλασεν. ἀντὶ τοῦ μετὰ δριμύτητος ἐθεάσατο.

α 3116 Ἀπειθεῖν· δοτικῇ. ἀπιστεῖν. καὶ Ἀπειθὴς οὐ μόνον ἐπὶ τοῦ δυσπειθοῦς ἀνθρώπου, ἀλλὰ καὶ ἐπὶ τόπου. Αἰλιανός· οἱ γὰρ Ῥωμαῖοι, ἔνθα ἂν τοῖς ἐχθροῖς ἐνέτυχον, ἐνταῦθα δήπου καὶ ἠγωνίζοντο, εἴτε εἶεν ἀπειθεῖς οἱ τόποι καὶ τραχεῖς, εἴτε καὶ εὐφυεῖς δέξασθαι ὁπλίτας καὶ εὐήλατοι.

α 3117 Ἀπειθῶ· δοτικῇ. διὰ δίφθογγον. Ἀπιθῶ δὲ περισπωμένως, ὡς τό· ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ συνάμ᾽ ἕσπετο πέτρη ἄψυχος.

α 3118 Ἀπεικάζω· δοτικῇ.

α 3119 Ἀπείκασμα: ὁμοίωμα.

α 3120 Ἀπεικός: ἄτοπον, ἀπρεπές. Ἀπεικότως δέ.

α 3121 Ἀπειλή: ἡ ὀργή.

α 3122 Ἀπειλημμένος: κεκρατημένος.

α 3123 Ἀπειλητῆρες: καυχησταί. καὶ Ἀπειλῶν· δοτικῇ. καυχώμενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3124 Ἀπείπατο: ἀπηρνήσατο. ὁ δὲ τὴν πατρίδα ἀπείπατο καὶ Θούριος ἀνερρήθη. καὶ Ἀπεῖπεν, ἀπηγόρευσεν. ἀπεφήνατο. ὁ δὲ ἀπεῖπεν ἅπασι μήτε ἄριστον αἱρεῖσθαι μήτε ἀποδαρθεῖν μήτε ἀποθωρακίσασθαι τῶν πάντων οὐδένα. καὶ Ἀπειπεῖν, ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν. Λυσίας ἐν τῷ κατὰ Κτησιφῶντος· καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθηναίων παῖδας, ὧν οἱ πατέρες βοηθήσαντες ὑμῖν ἔτι ζῶσιν, ἀπειπεῖν ἐν τοῖς νόμοις μήτε ἄδικον μήτε δίκαιον λέγειν. καὶ Ἀπειπεῖν, ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι. ἢ Ἀπειπεῖν, ἀπαρνήσασθαι. ἀποποιήσασθαι φιλίαν. καὶ ἀπειπάμενοι τὴν χάριν καὶ τὴν δωρεὰν διὰ τὸ γεγονὸς παρασπόνδημα.

α 3125 Ἀπειπών: ἐντειλάμενος. ἀπειπὼν μηδενὶ φράζειν τὸ γεγονός. καὶ Αἰλιανός· ὀλίγοι μὲν ἀπεῖπον πεμφθῆναί οἱ τὸν θρίαμβον. ἢ Ἀπειπών, ἀποκαμὼν, ἀπαγορεύσας. ὀρρωδοῦντες, μή τις αὐτῶν ἀπειπὼν τοῖς παροῦσι, κίνδυνον ἀναρρίψας ὑπαναφῆναι δυνηθῇ τρίτος, ὅσπερ ἔμελλε δικαιώσειν αὐτούς.

α 3126 Ἀπειπών: ἀπαρνησάμενος, παραιτησάμενος. οὐκ ἂν ἔφησεν ἅψασθαι τροφῆς, εἰ μὴ τὸν φόνον τὸν βαρβαρικὸν ἱστορήσειεν. ὁ δὲ ἀπειπὼν τὴν εὐωχίαν συνηπείγετο πρὸς τὴν θέαν.

α 3127 Ἀπείραστον.

α 3128 Ἀπείρατον: ἀδοκίμαστον. οὐκ ἀπείρατον αὐτῷ ἔδοξεν ἐκλιπεῖν, εἴ πη Ὀσρόης γνωσιμαχήσας ἀποδύσεται τοῖς ἐκ Ῥωμαίων τε καὶ ἑαυτοῦ ξὺν δίκῃ ἀξιουμένοις.

α 3129 Ἀπειργάσθαι: ἀντὶ τοῦ ἀποδεδεῖχθαι. Ξενοφῶν.

α 3130 Ἀπειραίη: ἡ ἄποθεν παροῦσα, ἠπειρωτική.

α 3131 Ἀπειρέσια: ἄπειρα τῷ πλήθει.

α 3132 Ἀπείρηκα· δοτικῇ. κέκμηκα. ὁ δὲ ἀμφὶ τὴν ἐσχάτην πορείαν τοῦ βίου ὢν ἐγεγηράκει καὶ ἀπειρηκέναι τοῖς πόνοις ἐδόκει. καὶ αὖθις· διά τοι τοῦτο ἀπειρήκασι Μῆδοι τῶν εἰρηναίων σπονδῶν, καὶ πάλιν αὐτοῖς ἀναζωπυροῦται τὸ φιλοπόλεμον. καὶ Ἀπειρήκει, ἀπειρήκειν, ἀπηγορεύειν· ἔστι γὰρ καὶ α′ πρόσωπον. καὶ Ἀπειρηκυῖα, ἀπαγορεύσασα, καὶ Ἀπειρήκεσαν.

α 3133 Ἀπείρητος: ὁ ἀπείραστος, ὁ ἄπειρος. Ἀπείριτος δὲ ἡ ἄπειρος καὶ πολλή.

α 3134 Ἀπεῖρξεν: ἐκώλυσεν.

α 3135 Ἀπειροκαλία: ἀμετρία τοῦ καλοῦ. οἱ δὲ Ῥωμαῖοι ἤδη κεκρατηκότες ἐπηρμένοι ἦσαν εἰς ἀπειροκαλίαν, καὶ τὰς σφῶν αὐτῶν ἐξέτεινε δυνάμεις ἀνὰ τὴν ἐκείνου Λιβύην. καὶ αὖθις· ἀλλ’ εἰ μὴ λίαν ἀπειρόκαλος, ὡς διαβεβοημένα ἐπιδιηγούμενος.

α 3136 Ἄπειρος: ὁ ἀμαθής. ἢ ὁ ἀθαλάττωτος, ἀσαλαμίνιος. Ἀριστοφάνης. διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν. ἢ ὅτι ἡ ἑτέρα τῶν ὑπηρετίδων νεῶν ἐκαλεῖτο Σαλαμινία, ἡ δὲ ἑτέρα Πάραλος.

α 3137 Ἄπειροι γῦπες: ἐπὶ τῶν διὰ κληρονομίαν ἢ διὰ κέρδος προσεδρευόντων τινί· παρόσον οἱ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσιν.

α 3138 Ἄπεισιν: ἀπέρχεται.

α 3139 Ἀπείσομαι: ἀντὶ τοῦ ἄπειμι.

α 3140 Ἀπεῖχε: πόρρω ἦν. ὅσον δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα.

α 3141 Ἀπηγγέλη: ἐμηνύθη.

α 3142 Ἀπῆγεν: ἐκώλυεν, ἀπέτρεπεν. Δαμάσκιος· ὁ δὲ Σαλούστιος ἀπῆγε τοὺς νέους τῆς φιλοσοφίας, δυοῖν τὰ ἕτερα πεπονθώς, ἢ προσκρούσων τοῖς καθηγουμένοις, ἔχθρᾳ τῇ πρὸς ἐκείνους ἐπιβουλεύων ταῖς φιλοσόφοις διατριβαῖς, ἢ τὸ μέγεθος τοῦ ἐπιτηδεύματος ἐκλογιζόμενος, οἴεσθαι πάντας ἀνθρώπους ἀναξίους εἶναι αὐτοῦ.

α 3143 Ἀπηγμένους: ἀπαγομένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3144 Ἀπήγξατο: βρόχον ἧψεν.

α 3145 Ἀπηγόρευον: ἀπέκαμνον, ἐταλαιπώρουν. ἡνίκα γὰρ ἀπηγόρευον τῷ πόνῳ. πάλιν ἑαυτοὺς ἀνελάμβανον.

α 3146 Ἀπηγορήσομαι: ἀντὶ τοῦ ἀπολογήσομαι.

α 3147 Ἀπῄεσαν: ἀπήρχοντο. καὶ Ἀπῄει, ἀπήρχετο, ἀνεχώρει. εἴω, τὸ πορεύομαι, διαλύσει ἐΐω, ἤϊον, ἤϊες, ἤϊκα, ἤϊα, ἠΐειν, καὶ ἐν συνθέσει ἀπηΐειν, καὶ ἐν συναιρέσει ἀπῄειν.

α 3148 Ἀπῆκτο: ἀπῆλθε. καὶ Ἀπηκτός, ὁ πορευόμενος.

α 3149 Ἀπηλλάγησαν: ἐτελεύτησαν. ἤ τινος ἐστερήθησαν. ἀπηλλάγημεν πολυχέσου νοσήματος.

α 3150 Ἀπήλαυσε: μετέσχεν. οὔτε Κλέων οὔτε Βρασίδας, ὁ τῆς συμφορᾶς αἴτιος, ἀπήλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. Μαρκελλῖνός φησι περὶ Θουκυδίδου.

α 3151 Ἀπήλγησαν· ὁ δὲ δῆμος ἅπας ἀπήλγησαν τὸ πάθος εὐθὺς καὶ ξὺν οἰμωγῇ ἀνέκραγον οὐράνιον ὅσον. ἀντὶ τοῦ ᾠκτίσαντο.

α 3152 Ἀπηλεγής: ὁ ἀπότομος. καὶ Ἀπηλεγέως, σκληρῶς.

α 3153 Ἀπηλιανός: ὄνομα κύριον.

α 3154 Ἀπηλιαστής: μισόδικος. παρὰ Ἀριστοφάνει.

α 3155 Ἀπηλιώτης: ὁ ἄνεμος. ἐν τῷ η. καὶ ἀντήλιος καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλίς ἐστι παρὰ Ποσειδίππῳ.

α 3156 Ἀπηλοημένος: ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι. οὕτως Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

α 3157 Ἀπηλοίησεν: ἀπέκοψεν· Ἀπηλλοίωσε δὲ ἀλλοῖον ἐποίησεν.

α 3158 Ἀπήμαντον: ἀβλαβές.

α 3159 Ἀπήμαρτεν: ἀπέτυχεν.

α 3160 Ἀπημείφθη: ἀντὶ τοῦ ἀπεκρίνατο.

α 3161 Ἀπήμονα: ἀβλαβῆ. Ὅμηρος· τοὺς δ᾽ εὗρ᾽ οὐκέτι πάμπαν ἀπήμονας, οὐδ᾽ ἀνολέθρους. συλληπτικῶς πέφρακεν, ἀντὶ τοῦ τοὺς μὲν μὴ ἀπήμονας, τοὺς τετρωμένους, τοὺς δὲ μὴ ἀνολέθρους, τοὺς ἀνῃρημένους. πῆμα δὲ ἡ βλάβη, παρὰ τὸ πήθω τὸ πανθάνω. τὰ δὲ εἰς α λήγοντα οὐδέτερα τετραχῶς συντίθεται. ἢ γὰρ φυλάσσουσι τὸ αὐτὸ τέλος, ὡς τὸ δῆμα, διάδημα· ἢ ἀπὸ γενικῆς παράγονται, ὡς γράμμα, γράμματος, ἐγγράμματος· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς στόμα, χρυσόστομος· ἢ τρέπουσι τὸ τέλος εἰς ων, ὡς τὸ εἷμα, λευχείμων, καὶ πῆμα, ἀπήμων.

α 3162 Ἀπηνέμους: μὴ ἔχοντας ἀνέμους.

α 3163 Ἀπηνεώθη: ὠμὸς ἐγεγόνει.

α 3164 Ἀπηνέστερον: ἀποτομώτερον. οὐκ ἔστιν ἀπηνὲς οὐδὲ μὴν σφαλερὸν ἐφ᾽ ἑαυτοῦ τὸ πήδημα. καὶ ἔδρασεν ὅπερ εἶπεν.

α 3165 Ἀπήνεια: ἡ ἀπανθρωπία.

α 3166 Ἀπήνη: ἡ ἅμαξα.

α 3167 Ἀπήνη· χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπήνην κόσμου καὶ τὰ κανᾶ καὶ τὰ ποτήρια καὶ τἄλλα τὰ πρὸς θυσίαν ἀργυρᾶ πάντα καὶ χρυσᾶ συνεξηκολούθει κατὰ τὰς ἐπιφανεῖς ἐξόδους Αἰμιλίᾳ, τῇ τοῦ Σκιπίωνος γαμετῇ.

α 3168 Ἀπηνήνατο: ἀπηρνήσατο. παρῃτήσατο. οὐκ ἠθέλησεν.

α 3169 Ἀπηνθηκώς· τῶν Ἑλλήνων ἀπηνθηκότων, τὰ τῶν Χριστιανῶν προέκοπτεν.

α 3170

Ἀπηνής: ὁ σκληρός. λέγεται δὲ καὶ ὁ ἄποθεν τοῦ αἰνεῖσθαι.

α 3171 Ἀπηνθράκιζεν: ὤπτα. τὰ γὰρ ἐξ ἀνθράκων γινόμενα, καλὰ γίνεται. Ἀριστοφάνης· βοῦν ἀπηνθράκιζ' ὅλον.

α 3172 Ἀπήντα, καὶ Ἀπήντηκα, πέφθακα. καὶ Ἀπήντησεν, ἐτελέσθη, ἐξέβην. πάντα αὐτῷ κατὰ τὰς προφητείας ἀπήντησεν. ἀντὶ τοῦ ἐγένετο. ὁ δὲ Θεολόγος, ὅτε λέγει· εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος καὶ μετὰ τοσούτους ἐπαινέτας· ἀντὶ τοῦ ἧκον εἰς τὸ ἐγκωμιάζειν. καὶ Αἰλιανὸς περὶ τῆς ἐν Κάνναις τῶν Ῥωμαίων ἥττης· τοσοῦτον ἄρα αὐτοῖς ἀπήντησε τὸ πταῖσμα. καὶ αὖθις· μέγιστον δὲ πάθος τῇ Λακεδαίμονι τοῦτο ἀπήντησε. καὶ αὖθις· οὐ μὴν ἀπήντησέν οἱ τὰ τῆς ἐλπίδος.

α 3173 Ἀπῇξεν: ἐφώρμησεν.

α 3174 Ἀπηξιωμένων: ἀτίμων, ἀναξίων. Τιγράνης ὄνομα τῶν οὐκ ἀπηξιωμένων μ' παρθένων, εὐνοῦχος δέ. καὶ Ἀπαξιώσας, ἀντὶ τοῦ τὴν ἀξίωσιν παρωσάμενος. τοῦ Χοσρόου τὸ Δάρας οὐκ ἀπαξιώσαντος ἀποκαταστῆσαι Ῥωμαίοις. καὶ Ἀπηξίωσεν, οὐχ ἡγήσατο ἄξιον. Οὐκ ἀπηξίωσε δὲ ἡγήσατο ἄξιον. καὶ αὖθις· τὸ γὰρ πρὸς ἀλκὴν τραπέσθαι πρὸς πάντων τῶν μετασχόντων τῆς βουλῆς ἀπηξιοῦτο.

α 3175 Ἄπηρα: τὰ ἀβλαβῆ.

α 3176 Ἀπήρραξεν: ἀπέκοψεν.

α 3177 Ἀπῆρεν: ὕψωσεν.

α 3178 Ἀπηρείσατο: ἠκούμβισεν. ἀπετινάξατο, ἔπηξεν, ἀπέθετο. Πολύβιος· ὁ δὲ ἀπορῶν τοῖς ὅλοις πέρας ἐπί τινα τοιαύτην ἐλπίδα κατὰ τὸ παρὸν ἀπηρείσατο τὴν ἐνεστῶσαν ἀπορίαν. Ἀπηρίσατο δέ. δοτικῇ. διὰ τοῦ ι. ἀντὶ τοῦ ἐφιλονείκησεν.

α 3179 Ἀπηρκότος: ἀναχωρήσαντος. ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχου, ἡ Σινωνὶς ἐφίσταται.

α 3180 Ἄπηρος: ὁ μὴ ἔχων μαρσίπιον.

α 3181 Ἀπήροσεν: ἀπηροτρίασεν.

α 3182 Ἀπήρτα: ἐκώλυε, διατριβὴν παρεῖχεν. Ἀρριανός· ὁ δὲ ναυτικὸς στρατὸς, ἵνα περ μὴ ἄκρα ἐπὶ πολὺ ἀνέχουσα τοῦ ποταμοῦ ἀπήρτα τὸν πλοῦν τῆς ὁδοῦ, ξυμπαρέπλει τῇ στρατιᾷ.

α 3183 Ἀπηρτημένας: ἀπαιωρημένας.

α 3184 Ἀπήρυκεν: ἀπεκώλυεν. ὁ δὲ μόνος ὑφίστατο καὶ ἀπήρυκε τὸ θηρίον. καὶ αὖθις· καὶ βάρη συνεχῆ ἐπιβάλλοντες, ἀπήρυκον τοῦ λυμαίνεσθαί τι τοῦ τείχους.

α 3185 Ἀπήστραψεν: ἀπέλαμψεν.

α 3186 Ἀπήτει: ἐζήτει.

α 3187 Ἀπηύρα: ἀφείλετο. ἀπέλαυσεν.

α 3188 Ἀπηυτομόλησεν. προσπέφευγε τοῖς ἐναντίοις.

α 3189 Ἀπηχές: κυρίως τὸ σκληρόν. ψευδὲς, δύσφορον, ἀηδὲς, ἐχθρόν. οὗ καὶ τὸν ἦχον ἀποστρεφόμεθα. μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ σόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων. καινότατον δὴ περιμένων καὶ ἀπηχῆ θάνατον.

α 3190 Ἀπήχεια: ἀντὶ τοῦ ἀπέχθεια. οὕτως Λυσίας καὶ Δείναρχος.

α 3191 Ἀπηχημένον: ἀπόβλητον, ξένον τοῦ κατὰ πάντων ἤχου.

α 3192 Ἀπήχθετο: ἐμισεῖτο.

α 3193

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπήχθη: ἀπεκομίσθη, ἢ παρετράπη. ὁ δὲ Ἀπολλώνιος τὴν γλῶτταν Ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους ἐς Ταρσοὺς τῆς Κιλικίας ἀναστρεφόμενος. καὶ Ἀπηχθημένον, ἀπόβλητον. Ἀπηχθισμένον δὲ βεβαρημένον.

α 3194 Ἄπια: εἶδος ὀπώρας. Ἀπίους εἴρηκε Πλάτων ἐν Νόμοις. ἔστι καὶ παρὰ Ἀλέξιδι καὶ ἐν Ἀγρίοις Φερεκράτους· πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπάζετε.

α 3195 Ἄπιον οὐδέτερον, Ἄπιος δὲ θηλυκόν.

α 3196 Ἄπις κρατῶν τις ἀστοχεῖ τῶν ἐλπίδων.

α 3197 Ἄπια: εἶδος ὀπώρας. καὶ ζήτει ἐν τῷ Ἀντιφάνης. ἑτέρωθι γράφεται, ὅτι ἄπια ἡ ὀπώρα· ἡ ἄπιος δὲ καὶ ἄπιοι, τὰ δένδρα.

α 3198 Ἀππιανός: ὄνομα κύριον. οὗτος ὁ Ἀππιανὸς ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν, τὴν καλουμένην Βασιλικήν. καὶ αἱ μὲν γʹ βίβλοι Ἀππιανοῦ αἱ πρῶται περιλαμβάνουσιν ὅσα Ῥωμαίοις ἀγωνιζομένοις ἐς Ἰταλιώτας ἔτι περὶ ἀρχῆς καὶ ἡγεμονίας ἐπράχθη. ὅσα δ’ ἀμφὶ τὴν Ἰταλίαν ἄλλα Κελτοί τε καὶ Λίβυες ἔδρασάν τε καὶ ἔπαθον, καὶ εἴ τί που καὶ τῆς Ἰταλίας μέρος ἀνάγκαις ἢ ἐνέδραις ἢ πλάναις ἐς αὐτοὺς μετέθετο, ἐν τοῖς περὶ Κελτῶν καὶ Λιβύων. συγγέγραπται δ’ ἐφ’ ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφυλίους Ῥωμαίων στάσεις ἡ Ἰταλία διῃρεῖτο. ὅτι τοὺς πρὸς Κελτοὺς, τουτέστι Γερμανοὺς, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσι, καὶ τοὺς Γαλάτας, τουτέστι Γάλλους, πολέμους, καὶ τὰς αἰτίας αὐτῶν, ὅσαι τε συνθῆκαι καὶ συνθηκῶν παραβάσεις ἢ ἐπαναστάσεις ἐγένοντο Κελτῶν ἕως ἐπὶ τοῦ Γαΐου, ἡ δʹ βίβλος περιέχει συλλαβοῦσα. εἰ δέ τί που Κελτοὶ μὴ κατὰ πρόφασιν οἰκείαν, ἀλλὰ συμμαχοῦντες Ἰταλῶν τισιν ἢ μισθοφοροῦντες ἔπραξαν, ἐν τοῖς περὶ ἐκείνων συγγέγραπται. καὶ ὅσον εἰς γνώρισμα μόνον αὐτῶν μέμνηται Ἀππιανός. ἔγραψε δὲ Ῥωμαϊκὰ λόγους ἐννέα. οἱ δὲ διὰ τοῦ ἑνὸς π γράφουσιν Ἀπιανός.

α 3199 Ἀππία ὁδός: οὕτως ἐκαλεῖτο ἀπὸ Ἀππίου, Ῥωμαίου τιμητοῦ, ὃς λιθομυλίᾳ ταύτην κατέστρωσε καὶ ὕδατος ὀχετοὺς κατεσκεύασεν.

α 3200 Ἀπ’ Ἰδαίων ὀρέων: ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν.

α 3201 Ἄπιδες: θεοὶ ἦσαν τιμώμενοι παρὰ Αἰγυπτίοις, σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν, δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας. οἷς γεννωμένοις διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος τῆς σελήνης ἑορτὴν μεγάλην ἦγον καὶ ἱερεῖς τινες περὶ τὸν τεχθέντα βοῦν ἱερῶντο, παρατιθέντες πανδαισίαν, ὡς εὐωχοῦντες αὐτούς. Ἄπις· οὗτος ὁ Ἄπις θεὸς Αἰγύπτιος. τοῦτον Αἰγύπτιοι σελήνῃ τιμῶσι, καὶ ἱερὸς ἦν ὅδε ὁ βοῦς τῆς σελήνης, ὥσπερ ὁ Μέμφις τοῦ ἡλίου. Ὦχος τὸν Ἄπιν ἀποκτείνας ἐβούλετο αὐτὸν τοῖς μαγείροις παραβαλεῖν, ἵνα αὐτὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δεῖπνον.

α 3202 Ἀπίδω: θεάσομαι.

α 3203 Ἀπίη: ἡ ἀλλοδαπή.

α 3204 Ἀπίθανον: ἄπιστον. καὶ Ἀπίθησαν δὲ διὰ τοῦ ι, ἀπὸ τοῦ πιθῶ περισπωμένου. ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἄμ’ ἕσπετο πέτρη ἄψυχος.

α 3205 Ἀπιθής: ὁ δυσχερὴς καὶ δυσανάβατος τοῖς βαίνειν ἐθέλουσιν. Ἀλαλκομεναὶ πόλις ἐστί· καὶ ἀκούω αὐτὴν μήτε ἐφ’ ὑψηλοῦ κεῖσθαι καὶ ἀπιθοῦς λόφου μήτε τειχῶν περίβολον ἔχειν.

α 3206 Ἄπιθ’ οὐ γάρ: ἀντὶ τοῦ καὶ γάρ.

α 3207 Ἀπίκιος, Ῥωμαῖος, ἱκανὰς μυριάδας ἀργυρίου καταναλώσας ἐς τὴν γαστέρα, ἐν Κιντούροις τῆς Γαλατίας πολλὰς καρίδας ἐσθίων· μέγισται γάρ εἰσι τῶν ἐν Σμύρνῃ· καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀστακούς. ἀκούσας οὖν ἐν Λιβύῃ γίνεσθαι καρίδας ἐξέπλευσεν οὐδὲ μίαν ἡμέραν ἀναμείνας. θεασάμενος δὲ αὐτὰς μικρὰς ἐκέλευσε τῷ κυβερνήτῃ τὴν αὐτὴν ὁδὸν αὖθις ἐπ’ Ἰταλίαν ἀναπλεῖν, μηδὲ προσπελάσας τῇ γῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3208 Ἄπιμεν: ἀπερχόμεθα.

α 3209 Ἀπίμελος: ὁ μὴ ἔχων πιμελήν.

α 3210 Ἀπινής: ὁ καθαρός.

α 3211 Ἀπινύσσω: ἐκπνέω. πονῶ, πονύω, πνύω, πνέω, πνεύω· ἀπὸ τοῦ πνύω, πεπνυμένος, καὶ ἀμπνυνθῆναι. ἀπὸ τοῦ πνέω πνεῦστος καὶ ἄμπνευστις· τὸ πνύω κατὰ ἀνάπτυξιν πινύω, ἔνθεν πινυτή, κατὰ δὲ μεταπλασμὸν πινυτά· ὃν δὲ τρόπον ἀπὸ τοῦ ἀφύω ἀφύσσω, ὀδύω ὀδύσσω, οὕτως πινύω πινύσσω.

α 3212 Ἄππιος φόρος: ὄνομα τόπου, ἀπὸ Ἀππίου Ῥωμαίου.

α 3213 Ἀπίκιος Μάρκος· οὗ διαρρεῖ μυρίον ὄνομα ἐπί τε ἀσωτίᾳ καὶ πολυτελείᾳ καὶ ῥᾳστωνεύσει βίου καὶ κακοδαιμοσύνῃ λοιπῇ. ὑπάτω δὲ ἤστην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος· ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην κληθεὶς οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκώνιον Παιδιανόν. ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας. καὶ ἔδει τὸν Ἀπίκιον καὶ φίλοις καὶ ἀγνῶσι τὴν οὐσίαν ῥίπτειν τὴν ἑαυτοῦ. πέπυσμαι δὴ ἐν τῷδε τῷ συνδείπνῳ γενέσθαι καὶ Ἰσίδωρον ὄνομα, τῶν ἐκ παλαίστρας κατατριβέντων, ἄνδρα παλαιὸν μὲν ἤδη καὶ πολὺν μὲν τῷ χρόνῳ, ἓν δὲ καὶ ϟʹ ἔτη γεγονότα, εὐπαγῆ τε καὶ εὐμελῆ, καὶ βαθὺν μὲν τὰς πλευρὰς, γενναῖον δὲ τὼ βραχίονε καὶ τὼ χεῖρε ἄκρω, βλέπειν τε ὀξὺ καὶ ἀκούειν ῥᾷστα, ὡς μὴ ἂν πιστεύειν πέρα ξʹ ἐτῶν εἶναι αὐτὸν, σκύφων δὲ πιτύλοις ἁμιλλᾶσθαι διαπίνοντα πρὸς τοὺς νέους, καὶ μέντοι καὶ ὑπὲρ πολυδαισίας καὶ ὑπὲρ πολυποσίας ἐρίσαι καὶ νεάζειν ταῦτα. ἑνὶ δὲ ἡττηθῆναί φασιν αὐτόν· ἀπελθεῖν γὰρ τοῦ συνδείπνου θᾶττον. γέροντες δὲ ἄλλοι τε ἔλεγον ἐπὶ τέχνῃ παλαιστρικῇ καὶ μέντοι καὶ Ἰούνιος Βλαῖσος. καὶ ὅτε ταῦτα ἔλεγεν, ἔτη γέγονεν ξʹ φησί. μακρὸν δὲ τὴν ζωὴν γενέσθαι πέπυσμαι Σερουΐλιον ὕπατον· ἔτεσι γὰρ τοῖς ϟʹ ὁμοῦ τε ἐβίωσε καὶ πάντα, ὡς λόγος, τὰ τοῦ σώματος ἀπαθὴς ἦν. καὶ μέντοι καὶ διεσώσατο τὰς αἰσθήσεις ἁπάσας εὐμοιρίᾳ ἀξιοζήλῳ τε καὶ σοβαρᾷ.

α 3214 Ἀπίκιος, ὀψοφάγος. ζήτει ἐν τῷ ἀφύα.

α 3215 Ἀπίων, ὁ Πλειστονίκου, ὁ ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος, κατὰ δὲ Ἑλικώνιον Κρής, γραμματικὸς, μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου. ἠκηκόει δὲ καὶ Εὐφράνορος γηραιοῦ καὶ ὑπὲρ ρʹ ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσε δὲ ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ. ἦν δὲ διάδοχος Θέωνος τοῦ γραμματικοῦ καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασέως. ἔγραψεν ἱστορίαν κατ᾽ ἔθνος καὶ ἄλλα τινά.

α 3216 Ἀπιὼν ᾤχετο: φεύγων, ἀποδιδράσκων. ὁ δὲ τὴν Πελοπόννησον καταλιπὼν ἐς Αἰτωλίαν ᾤχετο ἀπιών. συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς.

α 3217 Ἄπις: θεὸς Αἰγυπτίων. καὶ ζήτει ὀπίσω ἐν τῷ Ἄπιδες. ὅτι ὁ Ἄπις ὁ Αἰγύπτιος τὴν ἰατρικὴν πρῶτος εἰς τὴν Ἑλλάδα μετακομίσαι λέγεται.

α 3218 Ἀπιτέα: δεῖ ἀπέρχεσθαι. καὶ Ἄπιτε, ἀπέλθατε.

α 3219 Ἀπιστεῖν· δοτικῇ. τὸ ἀπειθεῖν. λέγουσι δὲ καὶ Ἀπιστίαν, τὴν ἀπείθειαν. καὶ Ἄπιστος, ὁ μὴ πειθόμενος. οὕτως Πλάτων.

α 3220 Ἁ πίτυς: ἡ πίτυς. Θεόκριτος· ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

α 3221 Ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ, καὶ πάντα περισπῶσι τὰ τοιαῦτα. Ἀργυρᾶ, χρυσᾶ, κεραμεᾶ, ἀπὸ τοῦ κεραμεοῦν, καὶ φοινικιᾶ, ἀπὸ τοῦ φοινικιοῦν.

α 3222 Ἀπλάνεια· καὶ ἡ Ἀπλανής, τῆς ἀπλανοῦς.

α 3223 Ἁπλᾶς: Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτως καλεῖσθαι.

α 3224

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄπλαστος: ἀληθινὸς, ἄδολος. καὶ ἅμα αὐτοῖς ἐπιθέουσα σεμνότης ἡδεῖα καὶ ἄπλαστος αἰδὼς ἐπέτρεχεν ἱκανῶς τὸν φιλόσοφον καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον. Ἄπλαστος δὲ ἡ μεγάλη. τὸν αἶς’ ἄπλαστος ἴσχει. τουτέστιν ἡ μανία.

α 3225 Ἄπλετον: ἄπειρον. ἀχώρητον.

α 3226 Ἁπλῆ.

α 3227 Ἁπλήγιος: δασέως, ἁπλοῦς. καὶ Εὔπολις Πόλεσιν· οὔτ’ ἂρ πολυπράγμων ἐστὶν ἀλλ’ ἁπλήγιος. καὶ Ἁπληγίς, ἱματίδιον σύμμετρον. Ἀναγύρῳ Ἀριστοφάνης· ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἁπληγίδας ποιῶν.

α 3228 Ἀπληκεύω· καὶ Ἄπληκτον, τόπος ἔνθα καταλύουσι τῆς ὁδοιπορίας τὰ στρατόπεδα.

α 3229 Ἀπλήξ: ὁ μὴ πεπληγμένος.

α 3230 Ἀπληστία: ἡ ἀδηφαγία. καὶ παροιμία· Ἄπληστος πίθος, ὁ ἐν ᾄδου, ὁ τετρημένος. ἐπὶ τῶν πολλὰ ἐσθιόντων· ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρ’ ὅσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί.

α 3231 Ἄπλητον: ἀπλήρωτον.

α 3232 Ἁπλοΐδας: ἁπλᾶς χλανίδας. ἐν Ἐπιγράμμασι· οἷα δὲ πυρὶ ἔσκεπε τὴν κούρην ἁπλοῒς ἐκταδίη. καὶ Ἁπλοϊκός, ὁ ἁπλοῦς καὶ ἀπέριττος. καὶ Ἁπλοϊκώτερος.

α 3233 Ἄπλοοι: ἀδύνατοι πλέειν.

α 3234 Ἁπλοῦν θύλακον πάτει: ἐπὶ τῶν εὐκαταφρονήτων.

α 3235 Ἁπλότης διττή. ἡ μὲν ἔμφρων καὶ δικαία, ἡ δὲ ἀνόητος καὶ ἄδικος. ἔπειτα καὶ τὴν νῦν ποικιλίαν ἐμφύεσθαι τοῖς μὲν μετὰ δικαιοσύνης καὶ φρονήσεως, τοῖς δὲ μετὰ ἀδικίας καὶ ἀμαθίας. εἶναι γὰρ δὴ πάλαι καὶ τὰ κακὰ τὸν θνητὸν τοῦτον περιπολοῦντα ἐξ ἀνάγκης, ὥς φησι Πλάτων, ἀλλ’ ἧττον κακοήθη, ὡς νῦν ἐστι, καὶ ἁπλούστερα καὶ οὐκ ἐν βάθει τινὶ ταῖς ψυχαῖς ἐγκεκαυμένα ἀνίατα. πολλὴ γάρ ἐστιν ἡ μεταφορὰ τῶν πάλαι κακῶν πρὸς τὰ νέα, καὶ οὐ ποσότητι μόνον κρειττόνων τε καὶ χειρόνων, ἀλλὰ καὶ ποιότητι τρόπων.

α 3236 Ἁπλοῦς καὶ ἁπλοῖ καὶ πολλαπλοῖ.

α 3237 Ἀπλουστέρας: Θουκυδίδης λέγει νῆας, οὐ τὰς ἄπλους παντελῶς, ἀλλὰ τὰς διὰ πληρώματος ἔνδειαν ἀπλόους ἱσταμένας.

α 3238 Ἁπλῷ λόγῳ: τῷ χωρὶς προσθήκης. καὶ Ἁπλῶς παρὰ Ἀριστοτέλει λέγεται, ὃ χωρὶς προσθήκης λεγόμενον ἀληθές ἐστιν. ὁ γὰρ Αἰθίοψ πῇ λευκὸς ὤν· κατὰ γὰρ τοὺς ὀδόντας· οὐκέτι καὶ ἁπλῶς ἐστι λευκός. ὃ δὲ δεῖται προσθήκης πρὸς τὸ ἀληθὲς εἶναι, τοῦτο οὐκ ἔστιν ἁπλῶς. ὁ γὰρ Αἰθίοψ οὐκ ἔστι λευκὸς, διότι χωρὶς προσθήκης. προστεθέντος δὲ τοῦ κατά τι, ἀληθὲς γίνεται. κατὰ γὰρ τοὺς ὀδόντας. ἀλλὰ καὶ σπουδαῖοί τινες κατά τι. λέγεται δὲ καὶ οὕτως, οὐ τὸν ἁπλοῦν τρόπον. ἀντὶ τοῦ παραυτίκα παρὰ τοῖς παλαιοῖς. καὶ αὖθις· οὐδὲ γὰρ ἁπλῶς λόγους τινὰς ἐποιήσαντο, ἀλλὰ καὶ βῆμα ὑψηλὸν ἠγέρθη, καὶ ἐπ’ αὐτοῦ εἰκόνες τοῦ Νέρωνος ἐτέθησαν.

α 3239 Ἁπλῶς: ἐξ ἀνάγκης· ἢ ὡς πρῶτον καὶ μὴ κατ’ ἄλλο. ἁπλῶς δὲ οὐδὲν εἶδος τῶν μελλόντων ἔγνωσαν· ἐξ αὐτῆς δὲ τῆς ἐμφάσεως τῶν πρέσβεων ὀττευόμενοι εἰς παντοδαπὰς οἰμωγὰς ἐνέπιπτον. Ἁπλῶς, χωρὶς προσθήκης. Πολύβιος· οὗ καιρὸς ἀφυέστερος οὐ γέγονεν ἁπλῶς. ἀντὶ τοῦ ἐξ ἀνάγκης, ἢ ὡς πρῶτον.

α 3240 Ἄπλωτα πελάγη: τὰ Ἀτλαντικὰ καὶ ἑσπέριος ὠκεανὸς καὶ ἑῷος. Ἄπλωτον γὰρ τὸ ἄπλευστον.

α 3241 Ἄπλυτον πώγωνα: σκώπτων εἶπε.

α 3242 Ἄπνους· φασὶν Ἐμπεδοκλέα Παυσανίᾳ ὑφηγήσασθαι τὸν Ἄπνουν. εἶναι δὲ τὸν Ἄπνουν τοιοῦτον, ὡς λʹ ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσιτον τὸ σῶμα. ἦν δὲ οὗτος καὶ γόης. καί φησι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ ἑαυτοῦ· φάρμακα δ’ ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ, ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα. παύσεις δ’ ἀκαμάτων ἀνέμων, οἵ τ’ ἐπὶ γαῖαν ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν· καὶ πάλιν, ἤν κ’ ἐθέλησθα, παλίντονα πνεύματ’ ἐπάξεις. στήσεις δ’ ἐξ ὄμβροιο κελαινοῦ ῥόον καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο ῥεύματα δενδρεόθρεπτα, τά τ’ ἐν θέρει ἔσονται. ἄξεις δ’ ἐξ ἀΐδαο καταφθιμένου μένος ἀνδρός. καί ποτ’ ἐτησίων σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δὲ Κωλυσάνεμον κληθῆναι.

α 3243 Ἀπνευστί: ἀπονητί.

α 3244 Ἄπο: πόρρω, μακράν. ἐν τοῖς Οὔσβαις τοῦ κινδύνου ἄπο ἐγένετο, ἀποδράσας τὰ ξίφη. τὸ ἄπο καὶ ἄποθεν διὰ τοῦ ο μικροῦ· ἀπωτάτω δέ.

α 3245 Ἀποβαδίζειν: οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ.

α 3246 Ἀποβάθρας: καὶ τὰ λάσανα, ἃ λέγονται οἱ χυτρόποδες. καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

α 3247 Ἀπὸ βαλβίδος: ἀπ’ ἀρχῆς.

α 3248 Ἀποβαλεῖν· αἰτιατικῇ.

α 3249 Ἀποβαλομένη: δι’ ἑνὸςλ, ἀντὶ τοῦ ἀποβαλοῦσα.

α 3250 Ἀποβάτης καὶ Ἀποβαίνειν καὶ Ἀποβατικοὶ τροχοί: ἀποβάτης μὲν ἱππικόν τι ἀγώνισμά ἐστι, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην. ἀποβατικοὶ δὲ τροχοί, οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος.

α 3251 Ἀποβαίη, καὶ Ἀποβαίνει. γενικῇ. ὡς τὸ, ἀποβάντες τῶν ἵππων.

α 3252 Ἀποβεβιωκέναι: ἀποθανεῖν. ἀνάγκη μὴ ἀποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένηται σφίσι τοῦ ἀποβεβιωκέναι αὐτόν.

α 3253 Ἀποβλεπόμενοι: ἀντὶ τοῦ θαυμάζοντες. οὕτως Αἰσχίνης.

α 3254 Ἀπόβλεπτον: ἔνδοξον. ἄνδρα τῇ Περσικῇ πολιτείᾳ διὰ τὴν ἀξίαν ἀπόβλεπτον.

α 3255 Ἀποβλίσαι: ἀποπιέσαι. Ἀριστοφάνης· λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον, κἀγὼ πίπτω μέλλω τε βοᾶν· ὁ δ’ ἀπέβλισε θοιμάτιόν μου. ἀντὶ τοῦ ἐξέρασεν.

α 3256 Ἀποβλύζων: ἀναβάλλων.

α 3257 Ἀποβουκολίσας: ἐξαπατήσας. οἱ δὲ τοὺς ἁλώσαντας ἀποβουκολίζουσιν ἀποσκευάζονταί τε τὸν κίνδυνον.

α 3258 Ἀπὸ βραδυσκελῶν ὄνων ἵππους: ἐπὶ τῶν ἀπὸ εὐτελῶν ἐπὶ μείζονα μεταπηδώντων.

α 3259 Ἀποβράσματα: τὰ πίτυρα παρὰ Καλλιμάχῳ. τῆς οὐδὲν ἀπέβρασε φαῦλον ἀλετρίς.

α 3260 Ἀποβύσαντες: ἀποκλείσαντες.

α 3261 Ἀπογαλακτίζω. γενικῇ.

α 3262 Ἀπὸ γὰρ ὀλοῦμαι: ὑπερβατόν· ἀπολοῦμαι γάρ. Ἀριστοφάνης· ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.

α 3263 Ἀπογενέσθαι: ἢ ὑστερῆσαι σημαίνει ἢ ἀποθανεῖν. ἄμφω τυσαια Θουκυδίδης.

α 3264 Ἀπογεύομαι· γενικῇ.

α 3265 Ἀπογειῶσαι: ἀποθεμελιῶσαι.

α 3266 Ἀπογνούς: Δημοσθένης μὲν ἀντὶ τοῦ ἀπελπίσας, Δείναρχος δὲ ἀντὶ τοῦ ἀποψηφισάμενος.

α 3267 Ἀπογνωστέον: δεῖ ἀπογινώσκειν.

α 3268 Ἀπογινώσκω· γενικῇ καὶ αἰτιατικῇ, τὸ παραδίδωμι. ὡς, ἀπογνοὺς τὰ τῶν Καρχηδονίων πράγματα ὁ Φαίδων. καὶ, τέλεον ἀπογνοὺς τὸν Φιλήμονα. καὶ, ἀπογνόντες τῆς σωτηρίας.

α 3269 Ἀπόγνοια: ἀπόγνωσις. Θουκυδίδης· ἐνέπρησαν δὲ τὰ πλοῖα, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς.

α 3270 Ἀπόγονοι: οἱ ἔκγονοι. Ἀπώγωνες δέ. οἱ μὴ ἔχοντες πώγωνα.

α 3271 Ἀπὸ γραμμῆς: οἷον ἀπ' ἀρχῆς. ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα καλοῦσιν.

α 3272 Ἀπογράφειν καὶ Ἀπογραφή· οἱ τῷ δήμῳ χρήματα ὀφείλοντες ἐκ καταδίκης καὶ μὴ ἀποδιδόντες μέχρι τῆς θʹ πρυτανείας εἰς τὸ δεσμωτήριον ἀπεκλείοντο, μήτ' ἐγγυητὰς καταστῆσαι δυνάμενοι τοῦ ὀφλήματος.

α 3273 Ἀπογραφή· ἐπειδάν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα. μήποτε καὶ εἶδός τινός ἐστι δίκης ἡ ἀπογραφή. εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο, ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς. οὕτως Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος. καὶ Ἀπογραφή, ἡ ἀπαρίθμησις. ὁ δὲ Καῖσαρ Αὔγουστος, ὁ μοναρχήσας, κʹ ἄνδρας τοὺς ἀρίστους τὸν βίον καὶ τὸν τρόπον ἐπιλεξάμενος ἐπὶ πᾶσαν τὴν γῆν τῶν ὑπηκόων ἐξέπεμψε· δι' ὧν ἀπογραφὰς ἐποιήσατο τῶν τε ἀνθρώπων καὶ οὐσιῶν, αὐτάρκη τινὰ προστάξας τῷ δημοσίῳ μοῖραν ἐκ τούτων εἰσφέρεσθαι. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, τῶν πρὸ αὐτοῦ τοῖς κεκτημένοις τι μὴ ἀφαιρουμένων, ὡς εἶναι τοῖς εὐπόροις δημόσιον ἔγκλημα τὸν πλοῦτον.

α 3274 Ἀπόγραφος· ὁ δὲ Ὀνησίκριτος ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει. τουτέστι τοῦ Ξενοφῶντος.

α 3275 Ἀπογράφω· αἰτιατικῇ. σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς.

α 3276 Ἀπογράψαι: τὸ γράψαι καὶ τὸ ὑπογράψασθαι καὶ οἷον σημειώσασθαι δηλοῖ.

α 3277 Ἀποδαρθεῖν: ἀποκοιμηθῆναι.

α 3278 Ἀποδασμόν: μοῖράν τινα. ὁ δὲ στρατηγὸς ἀποδασμόν τινα τοῦ στρατοῦ ἀπολέξας ἐκελεύετο προπορεύεσθαι. καὶ αὖθις· ἐκ τῶν Σαρακηνῶν ἀποδασμὸν εἰς τὴν Περσίδα χωρήσας μέρη τινὰ τῆς Βαβυλωνίας προενομεύσατο.

α 3279 Ἄποδας· τοὺς Οὔννους φασί. καὶ ζήτει ἐν τῷ ἀκροσφαλεῖς.

α 3280 Ἀποδάσομαι: ἀπομερίσομαι.

α 3281 Ἀποδέκται: ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις. δέκα δὲ ἦσαν, οἳ παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ.

α 3282 Ἀπόδεκτος.

α 3283 Ἀποδέον: τὸ ἀπαρέσκον. καὶ Ἀποδεόντων, λειπόντων, ἀπολειπομένων. καὶ Ἀποδεῖν, τὸ ἀπολείπεσθαι. Ἰώσηπος· ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ζῴων, ἤτοι ὀρέων, τὸν πεζὸν ἄνδρα. τόσον δὲ ἀποδεῖν τοῦ τὴν πεπορισμένην ἤδη αὐτῷ καὶ ἀπὸ γένους προσήκουσαν βασιλείαν ἀφελέσθαι.

α 3284 Ἀποδέω· γενικῇ.

α 3285 Ἀποδέχομαι: ὁμολογῶ. αἰτιατικῇ καὶ γενικῇ. ἀποδέχομαί σε τῶν τρόπων, καὶ, ἀποδέχομαί σου τὸν τρόπον.

α 3286 Ἀποδείκνυμί σοι χελιδόνα: ἴσον τῷ μαρτύρομαι.

α 3287 Ἀποδεικνύναι καὶ ἀποδεικνύντα καὶ ἀποδεικνῦσα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3288 Ἀποδείξασθαι: τὰ ἐν διδασκάλου μαθήματα ἅ τις ἔμαθε λέγειν.

α 3289 Ἀπόδειξις· ἀπόδειξις ὅρου διαφέρει. δεῖ πρῶτον ζητῆσαι περὶ ὅρου, ἆρα μία ἐστὶ μέθοδος, καθ’ ἣν πάντων τῶν ὄντων δυνατὸν τοὺς ὅρους ἀποδοῦναι, ἢ πολλαί. καὶ εἰ μία, τίς αὕτη· εἰ δὲ πολλαὶ, πόσαι τὸν ἀριθμὸν καὶ ποῖαι. καὶ ὅταν εὕρωμεν, τοσαίδε καὶ τοιαίδε, ὑπογραφῇ ἢ ὁρισμῷ, ἄλλη πάλιν ἡμᾶς διαδέχεται ζήτησις, ποίαις τῶν μεθόδων ἐπὶ ποίων πραγμάτων χρηστέον. καὶ ὅταν εὕρωμεν τοῦτο, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ διαφορῶν, τί τοῦ προκειμένου πράγματος τὸ γένος καὶ τίνες αἱ διαφοραί, ἵνα συμπλέξαντες τὰς συστατικὰς διαφορὰς τῷ γένει, ἀποδῶμεν αὐτοῦ τὸν ὁρισμόν. ἔστι δὲ καὶ ἑτέρα χαλεπότης. ᾧτινι γὰρ πρώτως τι ἐνυπάρχει, τοῦτο καὶ καθ’ αὑτὸ ὑπάρχει. καθ’ αὑτὸ δέ ἐστι τὸ κατ’ οὐσίαν. οὐκέτι δὲ καὶ εἴ τι καθ’ αὑτὸ ὑπάρχει, τοῦτο καὶ πρώτως ὑπάρχει. τὸ γὰρ ζῷον τῷ ἀνθρώπῳ καθ’ αὑτὸ μὲν ὑπάρχει, οὐ πρώτως δέ· διὸ κἂν μὴ ᾖ ἄνθρωπος, ζῷόν ἐστιν, ὥστε οὐ πρώτως τῷ ἀνθρώπῳ τὸ ζῷον ὑπάρχει. ὁμοίως δὲ καὶ τὸ σχῆμα τῷ τριγώνῳ καθ’ αὑτὸ μέν, οὐ μέντοι πρώτως. ἡ δὲ κυρίως ἀπόδειξις ἐκ τῶν καθ’ αὑτὸ καὶ πρώτως ὑπαρχόντων γίνεται. καὶ ἁπλῶς, ἡ ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ πιστουμένη καὶ ἐκ τῶν καθόλου τὰ μερικώτερα. ἡ δὲ ἐκ τῶν αἰτιατῶν τὰ αἴτια πιστουμένη τεκμηριώδης ἀπόδειξις λέγεται· οἷον τὸ δεῖξαι ἐκ τῶν φωτισμῶν τῆς σελήνης ὅτι σφαιρική. εἰ γὰρ ἐδείκνυτο, διότι σφαιρική, διὰ τοῦτο φωτίζεσθαι οὕτως, τοῦτο ἂν εἴη κυρίως ἀπόδειξις. ἐκ γὰρ τοῦ αἰτίου τὸ αἰτιατὸν ἐδείκνυτ’ ἄν. οὐ κεχρήμεθα δὲ ἐνταῦθα τῇ δείξει ταύτῃ, διότι τὸ αἰτιατὸν πρὸς ἡμᾶς σαφέστερόν ἐστι τοῦ αἰτίου. τεκμηριώδης δὲ ἀπόδειξις καὶ τὸ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εὑρεῖν καὶ κατανοῆσαι. καὶ ἂν μὲν πάντως ἕπηται τὸ αἰτιατὸν τῷ αἰτίῳ, τεκμήριον τοῦτο λέγεται. τεκμήριον δέ ἐστι τὸ ἄλυτον σημεῖον. ἂν δὲ μὴ πάντως ἕποιτο, σημεῖον μὲν ἂν λέγοιτο, τεκμήριον δὲ οὐκέτι, διότι μηδὲ ἄλυτόν ἐστι· οἷον ὡς τὸ, ὠχρά ἐστιν, ἐπειδὴ τέτοκεν· οὐ πάντως γὰρ τῇ ὠχρότητι παρακολουθεῖ τὸ τετοκέναι. ἀπόδειξίς ἐστι μέθοδος διὰ συλλογισμῶν συλλογιστική, ὅταν ἐξ ἀληθῶν καὶ πρώτων ὁ συλλογισμὸς γίνηται.

α 3290 Ἀποδειροτομεῖ: ἀποκόπτει τοὺς αὐχένας.

α 3291 Ἀποδημεῖν· γενικῇ. μὴ παρεῖναι. Ἀριστοφάνης Νεφέλαις· ἐχρῆν αἰθρίας οὔσης ὕειν αὐτὸν, ταύτας δ’ ἀποδημεῖν.

α 3292 Ἀπὸ δή· ἀπὸ δὴ τούτων πάντων ἀναπειθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ εὐθαρσῶς ἐπῄει. συνηνέχθητον δὴ ἄμφω ἀλλήλοιν. Δέξιππος.

α 3293 Ἀποδιατρίψουσιν: ἐγχρονίσουσι, χρονοτριβήσουσιν.

α 3294 Ἀποδιδόμενοι: Ἀντιφῶν ἀντὶ τοῦ ἀποδιδόντες. καὶ Ἀποδιδόμεθα· γενικῇ. ἀντὶ τοῦ ἀποδίδομεν ἢ πιπράσκομεν.

α 3295 Ἀποδιδράσκω· αἰτιατικῇ.

α 3296 Ἀποδικεῖν: ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης.

α 3297 Ἀποδιοπομπεῖσθαι· αἰτιατικῇ. ἀποπέμπεσθαι πρὸς τὸν προστρόπαιον Δία καὶ οἱονεὶ καθαίρεσθαι ἢ ἱλάσκεσθαι. τοὺς νυκτικόρακας εἰς τοὺς ὄρνις ἀποδιοπομποῦνται. καὶ Ἀποδιοπομπείσθω, ἀποδιωκέσθω.

α 3298 Ἀπὸ δὶς ἑπτὰ κυμάτων: ἐκ μεταφορᾶς τῶν ἐπὶ φόνοις καθαιρομένων. οὗτοι γὰρ δὶς ἑπτὰ κύμασι πλύνουσι τὰ ἱμάτια.

α 3299 Ἀποδοκιμάσας· αἰτιατικῇ. ὡς ἄχρηστον ἐκφαυλίσας. ὁ δὲ Ἀννίβας ἀποδοκιμάσας τὸν ἐξ ἀρχῆς ὑπάρχοντα αὐτοῖς καθοπλισμὸν, ἅμα τῷ νικῆσαι τῇ πρώτῃ μάχῃ παραχρῆμα τοῖς Ῥωμαίων ὅπλοις καθώπλισε τὰς δυνάμεις.

α 3300 Ἀπὸ δόξης: ἀπὸ εἰκασμοῦ.

α 3301 Ἀποδόσθαι: πωλῆσαι. καὶ Ἀπόδου, ἀπόλυσον.

α 3302 Ἀποδράς: ἀποφυγών. καὶ Ἀποδρᾶναι.

α 3303 Ἀποδρέψεσθε: ἀποτρυγήσετε. οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε.

α 3304 Ἀποδρύφω: ἐκδέρω.

α 3305 Ἀποδύντες: ἀντὶ τοῦ ἀποδυσάμενοι. ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολὴν, ἵνα εὐτόνως χορεύσωσιν. Ἀριστοφάνης· ἀλλ' ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν.

α 3306 Ἀποδυσπετεῖ: ἀποδύρεται. δυσθετούμενοι τοῖς συμβαίνουσιν ἀποδυσπετεῖν ἀναγκάζονται.

α 3307 Ἀπὸ ἕθεν: ἀπὸ ἑαυτοῦ.

α 3308 Ἀποζῆν: τὸ εὐτελῶς ζῆν. ζῆν δὲ τὸ μετὰ τρυφῆς καὶ πολυτελείας. τοσαῦτα ἀγαπῶν κεκτῆσθαι, ὅσα ἀποζῆν ἀπ' αὐτῶν. ἀντὶ τοῦ μέτρια.

α 3309 Ἀπόζων· γενικῇ. ἀποπνέων.

α 3310 Ἀπόειπε: ἀπάρνησαι.

α 3311 Ἀποθανεῖν· ἐάν τις αὐτὸ μόνον εἰδῇ καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι ἢ φύσεως ἔργον. φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί. τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστίν, ἀλλὰ καὶ συμφέρον αὐτῇ· πῶς ἅπτεται θεοῦ ἄνθρωπος, καὶ κατὰ τί ἑαυτοῦ μέρος;

α 3312 Ἀποθάνωμεν: αὐθυπότακτον. καὶ Ἀποθάνωμαι, ὁμοίως. καὶ σύνταξις. ἀποθανόντος αὐτῷ τοῦ πατρὸς ἀπέτισε πολλὰ χρήματα.

α 3313 Ἄποθεν: χωρίς, ἢ πόρρωθεν. ῥινοῦ χερμαστῆρος ἐΰστροφα κῶλα τιταίνων Ἀλκιμένης πτανῶν εἶργον ἄποθε νέφος. καὶ αὖθις· Ῥουφῖνος δέ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε πόλεως Νισίβιδος οὐ μακρὰν ἄποθεν. καὶ Ἄποθέν γέ ποθεν, ἀπό τινος μέρους ἰσημέρου.

α 3314 Ἀποθέμενος· αἰτιατικῇ.

α 3315 Ἀποθέσθαι: ἀποθησαυρίσαι, ἀποταμιεῦσαι. ὁ δὲ βουλόμενος μηδένα χρόνον ἀργὸν ποιεῖν, προέθετο τὸ τοῦ χειμῶνος ἄπρακτον εἴς τινας χρείας ἀποθέσθαι.

α 3316 Ἀποθεσπίσαι: δογματίσαι, ἐκθέσθαι, εἰπεῖν.

α 3317 Ἀπόθετον: τὸ ἀποτεθησαυρισμένον.

α 3318 Ἀποθήκην: ἀντὶ τοῦ ἀποστροφήν. Φίλιστος.

α 3319 Ἀποθλίβειν: καὶ ζήτει ἐν τῷ βλιμάζειν.

α 3320 Ἀπόθητος: ὁ μὴ ποθούμενος.

α 3321 Ἀποθνήσκοντας ἐν πολέμοις ὁρῶ τοὺς περὶ πλείστου ποιουμένους τὸ ζῆν, καὶ ζῶντας ὅσοι τοῦ ζῆν ἀπεγνώκεσαν. κἀγὼ μαχήσομαι ὡς ἀποθανούμενος, καὶ οἶδ' ὅτι περιέσομαι. Λάκων γάρ εἰμι ἄνωθεν καὶ οἶδα τὴν πρὸς Λεωνίδην ἐπιστολὴν τῶν τελῶν· μαχέσθων ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται.

α 3322 Ἀπόθου: ἀποβαλοῦ. ἀπωθοῦ δέ, ὤθησον.

α 3323 Ἀποθώμεθα: αὐθυπότακτον. ἀντὶ τοῦ ἀποβάλωμεν.

α 3324 Ἀποθραυσθῇς: ἐκπέσῃς. μηδ' εἰς ὀρχηστρίδος εἰσάττῃς· τουτέστιν εἰσέλθῃς, μήποτε τῆς εὐκλείας ἀποθραυσθῇς.

α 3325 Ἀποθρέξεις: συναποτροχάσεις. οὕτως Πλάτων.

α 3326 Ἀποθρώσκοντα: ἀποπηδῶντα.

α 3327 Ἀποθύμια: λυπηρὰ, τὰ μὴ καταθύμια.

α 3328

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπὸ θυμοῦ γένηται τῷ βασιλεῖ· δείσας οὖν μὴ ἀπὸ θυμοῦ γένηται τῷ βασιλεῖ, μὴ θαρσήσας αὐτὸν ἐπιβαίνει τοῦ πορθμείου. καὶ αὖθις· τοῖς μὲν ὀλίγοις τε καὶ ὧν ὄφελός τι ἐν παντὶ ἔθνει ἀπὸ θυμοῦ εἶναι τῆς λεηλασίας. καὶ Ἀπὸ θυμοῦ, μισητός. ἐπεὶ δὲ οὐκ ἀπὸ θυμοῦ ἦν αὐτοῖς ἄρχων ὁ Αὔγαρος.

α 3329 Ἀποθυννίζω: τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι.

α 3330 Ἀπὸ ἵππων ἐπ' ὄνους: ἐπὶ τῶν κατὰ τὸ χεῖρον τρεπομένων.

α 3331 Ἄποκα: πρόβατα ἄκουρα.

α 3332 Ἀποκαθεύδουσιν: ἀντὶ τοῦ ἀποκοιτοῦσιν. Εὔπολις. τουτέστι γυναῖκα χωρίζεσθαι ἀνδρὸς καὶ ἀφίστασθαι.

α 3333 Ἀποκαθιστῶν: διδοὺς, χαριζόμενος. σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. τουτέστι τὴν τῶν ἐθνῶν βασιλείαν, τὴν προτέραν δεσποτείαν ἀποδιδούς.

α 3334 Ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι: θέλει λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν. καὶ Ἀριστοφάνης· κἄν τι σφαλῆτ' ἐξ ἀξίου γοῦν.

α 3335 Ἀποκαραδοκία: προσδοκία. καὶ Ἀποκαραδοκῶν, προσδοκῶν. ὁ δὲ καθῆστο ἐν τῇ παρεμβολῇ ἀποκαραδοκῶν, ὅποι καὶ τύχης χωρήσοι τὰ πράγματα. σημαίνει δὲ καὶ τὴν ἀνελπιστίαν.

α 3336 Ἀποκαρτερήσαντα: ἑαυτὸν λιμῷ ἢ ἀγχόνῃ τοῦ βίου ἐξαγαγόντα. Λυκοῦργον τὸν Λακεδαιμόνιον νομοθέτην μετὰ τὸ θεῖναι τοὺς νόμους ἐλθόντα εἰς Κρήτην ἀποκαρτερῆσαι, ὅπως μὴ αὐτοῖς ἀναγκασθείη λῦσαι. καὶ αὖθις· ὁ δὲ Ἀναξαγόρας ἐλθὼν ἐν Λαμψάκῳ καὶ ἀποκαρτερήσας τὸν βίον καταστρέφει.

α 3337 Ἀπὸ καταδυομένης· λείπει, ὅ τι ἂν λάβῃς κέρδος. ἀπὸ τῶν ἐμπόρων ἡ μεταφορὰ, οἳ καταδυομένης τῆς νεὼς, ὅ τι ἂν λάβωσι, κέρδος ἡγοῦνται.

α 3338 Ἀποκαταλλάξαι: φιλοποιῆσαι.

α 3339 Ἀποκατέστην: ἀπεδόθην. ἀποκατέστη τοῖς περὶ τὸν Ζὶχ τὰ ὀφειλόμενα χρήματα τῶν ζ' ἐνιαυτῶν.

α 3340 Ἀποκαυλίζεσθαι τὸν μηχανικὸν κριόν.

α 3341 Ἀποκεκλήκαμεν: ἀπηγορεύσαμεν. καὶ Ἀριστοφάνης Ὄρνισιν· ἀποκεκλήκαμεν διογενεῖς θεοὺς μηκέτι τὴν πόλιν διαπερᾶν.

α 3342 Ἀποκεκραιπαλισμένος: τῆς κραιπάλης ἀπαλλαγεὶς καὶ μέθης.

α 3343 Ἀποκεκρουσμένον: οἷον ἠκρωτηριασμένον, ἀποκεκλασμένον, καὶ κεκολοβωμένον. δός μοι κυλίσκιον, χεῖλος ἀποκεκρουσμένον. ποτήριον. Ἀριστοφάνης Ἀχαρνεῦσιν.

α 3344 Ἀποκεκύφαμεν· Ἀριστοφάνης· οἱ γὰρ ἄνδρες, ὥσπερ λαμπροφόροι ὄντες, ἀποκεκύφαμεν. οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον.

α 3345 Ἀποκέχρημαι· δοτικῇ.

α 3346 Ἀποκείλαντες: ἀποκλίναντες.

α 3347 Ἀποκείραντες· αἰτιατικῇ. καὶ κείραντες, ἑκατέρως λέγουσιν.

α 3348 Ἀποκεῖσθαι πόρρω: ἀτιμάζεσθαι. οὕτως Κρατῖνος.

α 3349 Ἀποκηδήσαντες: ἀντὶ τοῦ ἀποκακήσαντες. Ὅμηρος. παρὰ δὲ Σώφρονι ἀποκακήσαντες ἀφροντιστήσαντες. καὶ Ἀποκηδήσονται, τὴν λύπην ἀφαιρήσονται.

α 3350 Ἀποκήρυκτον: ἀλλότριον. ὅτι ὁ λέγων τοὺς ἀποκηρύκτους φαύλους εἶναι ἁπλῶς, δόξαι ἂν λέγειν ἐξ ἀνάγκης τοιούτους αὐτοὺς εἶναι· οὐ μὴν οὕτως ἔχει. ἐνδέχεται γάρ τινα μὴ τοιοῦτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι ἀποκήρυκτον γενόμενον. Θεμιστοκλέα γοῦν ἀποκήρυκτόν φασι γενέσθαι· οὐ μὴν φαῦλος ἦν. καὶ Ἀποκηρύττοντες, ἀντὶ τοῦ πιπράσκοντες. οὕτως Δημοσθένης καὶ Πλάτων. οἱ δέ φασι διαφέρειν ἐκποίητον ἀποκηρύκτου, ὅτι ὁ μὲν ἀποκήρυκτος ἐπὶ κολάσει ἐκβάλλεται, ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἕτερον οἶκον δίδοται προθέσει.

α 3351 Ἀποκηρύττω· αἰτιατικῇ.

α 3352 Ἀποκινδυνεύοντες: ἀποτολμῶντες, ἀποδειλιῶντες. ὁ δὲ Σερτώριος, ὁ τῶν Ῥωμαίων στρατηγὸς, καίπερ θρασέως τῶν Ἰβήρων ἐκ τοῦ τὰ πλείω κατορθοῦν ἐχόντων, οὐκ ἀποκινδυνεῦσαί ποτε ἐτόλμησεν.

α 3353 Ἀποκινεῖν: τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται καὶ ἐπὶ πλοίων καταγομένων καὶ ὁρμιζομένων ἀποκινεῖν ταῖς κώπαις.

α 3354 Ἀπόκινος: εἶδος ὀρχήσεως.

α 3355 Ἀποκλαίομαι· αἰτιατικῇ, καὶ Ἀποκλείω· αἰτιατικῇ.

α 3356 Ἀποκλήρωσις: μέρος. εἰς ἀμείνονα λῆξιν ἀποκληρῶσαι θεοποιῷ φροντίδι οὐδὲν ὤκνησε. Λῆξις δέ ἐστι μερὶς, παῦσις, κληρονομία.

α 3357 Ἀπόκλητοι: κεκλημένοι. οὐ τὴν κοινὴν προσδεξάμενοι σύνοδον οὔτε τοῖς ἀποκλήτοις συμμεταδόντες, τὰς αὑτῶν κρίσεις διαλαβόντες, πόλεμον ἐξήνεγκαν. καὶ αὖθις Πολύβιος· λ′ τῶν ἀποκλήτων προεχειρίσαντο τοὺς συνεδρεύοντας μετὰ τοῦ βασιλέως. καὶ αὖθις· ὁ δὲ συνῆγε τοὺς ἀποκλήτους καὶ διαβούλιον ἀνεδίδου περὶ τῶν ἐνεστώτων.

α 3358 Ἀπόκλιμα τῶν ὀρέων: ἀντὶ τοῦ ἀπόνευμα.

α 3359 Ἀποκλύζω· αἰτιατικῇ.

α 3360 Ἀποκναίει: διαφθείρει, ἀποκόπτει, ἀπολλύει, λυπεῖ, ὀδυνᾷ.

α 3361 Ἀποκναίειν: ἐνοχλεῖν, παρεκτείνειν. τί οὐ καθεύδεις; σύ μ’ ἀποκναίεις περιπατῶν. Μένανδρος Μισουμένῳ. οὐ γὰρ ἀποκναίω τῷ μεγέθει τῆς ἀρετῆς τὸν ἄνδρα, λέγω δὴ τὸν Ἡρακλέα, ἐν δευτέροις τιθείς, εἰ καὶ τῷ παραλλήλῳ λειπόμεθα. φησὶ Σιμόκατος Θεοφύλακτος. καὶ αὖθις· οἱ ἄνθρωποι ἐπὶ Ἰουστινιανοῦ ὑπὸ τῶν φορολόγων ἀγχόμενοι καὶ ἀποκναιόμενοι τόκοις ὀφλημάτων ἀειρρύτοις τισὶ, δυσθανατοῦντες ἀκούσιοι διεβίωσαν.

α 3362 Ἀπόκνιζε: ἀπόσκαλλε, ἀπότιλλε.

α 3363 Ἀποκοπῆναι τῶν ἰχνῶν τὴν κύνα λέγουσιν, ὅταν μηκέτι εὑρίσκῃ τὰ ἴχνη.

α 3364 Ἀποκόπους: ἐκτομίας. καὶ ἀντὶ τοῦ ἀσθενεῖς κεῖται.

α 3365 Ἀποκραιπαλισμός: τῆς κραιπάλης ἀπαλλαγὴ καὶ μέθης.

α 3366 Ἀπόκριμα: κατάκριμα.

α 3367 Ἀπόκριναι· δοτικῇ. ἀποκρίθητι. Δημοσθένης· ἀπόκριναι δεῦρό μοι παρελθών. Ἀποκρινεῖται δὲ λέγουσι μᾶλλον ἢ ἀποκριθήσεται. Μένανδρος Κανηφόρῳ· ἃ δ’ ἀποκρινεῖται, κἂν ἐγὼ λέγοιμί σοι. Ὑποβολιμαίᾳ· ὡς μηδὲν ἀποκρινούμενα δ’ οὕτω λαλεῖν. καὶ Ἀπόκρισις, ἡ ἀπολογία. οὕτως Λυσίας καὶ Ἀντιφῶν. ἀλλὰ καὶ Δημοσθένης ὁμοίως λέγει ἐν τῷ κατ’ Αἰσχίνου· ἀπόκριναι, λέγων, δεῦρό μοι παρελθών.

α 3368 Ἀποκρότῳ: τραχείᾳ. οἱ δὲ ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ συνεχῶς ταλαιπωροῦντες.

α 3369 Ἀποκρούεσθαι· αἰτιατικῇ. ἀποβάλλεσθαι.

α 3370 Ἀποκρύπτομαι· αἰτιατικῇ.

α 3371 Ἀποκτένω· αἰτιατικῇ. φονεύω. καὶ Ἀποκτεῖναι, φονεῦσαι. καὶ Ἀποκτείνῃς, αὐθυπότακτον. καὶ ἀποκτενόντων.

α 3372

Ἀποκτιννύναι: φονεῦσαι. Ἀποκτίννυσι λέγουσι μᾶλλον ἢ ἀποκτιννύειν. Κρατῖνος Βουκόλοις. καὶ πρὸς τὸν οὐρανὸν σκιαμαχῶν ἀποκτίννυσι ταῖς ἀπειλαῖς. καὶ Ἀπεκτόνασιν, οὐκ ἀπεκτάγκασι. μισοῦσι μὲν, ὦ πάτερ, Θράσωνα· ἀπεκτάγκασι δ' οὔ.

α 3373 Ἀπόκοιτος: πόρρω τῆς κοίτης. ὁ δὲ τῇ δοκήσει κατεπαννυχίζετο τῆς δειλίας ἀπόκοιτος.

α 3374 Ἀποκυηθέν: τεχθέν. καὶ Ἀποκυΐσκω, τὸ ἀπογεννῶ.

α 3375 Ἀπολαβόντες: ἐναποκλείσαντες. οἱ δὲ τὴν στρατιὰν αὐλῶσι στενοῖς καὶ δυσεμβόλοις ἀπολαβόντες ἐς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς ἠνάγκασαν. καὶ Ἰώσηπος· διώξαντες ἀπολαμβάνουσι τοὺς πολεμίους ἐν κοίλῳ χωρίῳ καὶ πάντας κτείνουσι. καὶ αὖθις· τὸ γὰρ χωρίον ἀμφοτέροις ἤρεσε, τῷ μὲν ὅτι ἀπολαβόντες ἐς αὐτὸ τοὺς Ῥωμαίους ὑποσπόνδους ἀφῆκαν, πρὸς ἔνδειξιν ὧν εὐεργέτηντο.

α 3376 Ἀπολακτίζω. καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. τουτέστιν ἀπεσκίρτησεν.

α 3377 Ἀπολαύειν· γενικῇ. Ἀπολαύειν οὐκ ἐπὶ τῶν ἡδέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουσιν, ὡς Ἰσοκράτης· δέδοικα μή τι κακὸν ἀπολαύσαιμι. καὶ Μαρκελλῖνος περὶ Θουκυδίδου φησίν· οὔτε Κλέων οὔτε Βρασίδας, ὁ αἴτιος τῆς συμφορᾶς, ἀπήλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου.

α 3378 Ἀπολαχεῖν: τὸ διανείμασθαι τὸ πατρῷα καὶ ἄλλα κοινὰ δόντα πρός τινας καὶ ἀπολαβεῖν. διαλαχεῖν δὲ τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν. Ἀντιφῶν· ὁπόταν ἄνθρωποι βούλοιντο χρήματα διαλαγχάνειν. Ἀπολαχεῖν, ἀντὶ τοῦ διαλαχεῖν. οὕτως Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν.

α 3379 Ἀπολάψεις: ἐὰν διὰ τοῦ ε ἀπολέψεις, τουτέστιν ἀπολεπίσεις. ἀπολέψαντα τὸ λέμμα. ἀπολεπίσαντα ὥσπερ ᾠοῦ. ἐὰν δὲ ἀπολάψεις, ἐκπίῃς. ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, καὶ ὅσα λάπτοντα πίνει. καὶ καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος· λάψοντες γλώσσῃσι. καὶ Ἀριστοφάνης Νεφέλαις· γνοὺς ἀπολάψεις ὅτι πλεῖστον δύνασαι ταχέως.

α 3380 Ἀπολεγόμενος: παραιτούμενος. Πολύβιος· ὁ δὲ παρῃτεῖτο τοὺς Ἀχαιοὺς ἀπολεγόμενος τὴν ἀρχήν. καὶ Ἀπολέγοντα, ἀπαγορεύοντα, ἀποτρέποντα. γράμματά τε ἄντικρυς ἀπολέγοντα τοῖς πρέσβεσιν ἔγραφε, μηδαμῶς προΐεσθαι τὰ φρούρια Πέρσαις.

α 3381 Ἀπόλεκτοι: ἐξαίρετοι. Ξενοφῶν· αἱ δὲ εἰς τοὺς δεσπότας ἀποκείμεναι ἀπόλεκτοι ἦσαν.

α 3382 Ἀπολωλεκώς.

α 3383 Ἀπολελοιπότες: ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων. οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. οὕτως Σωκράτης ἐν Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

α 3384 Ἀπολέμητον: ἀνενόχλητον. κατάραντες εἰς χώραν εὐδαίμονα καὶ πολλῶν χρόνων ἀπολέμητον.

α 3385 Ἀπόλεμος: ὁ μὴ ἰσχύων ἢ εἰδὼς πολεμεῖν. ἀπόλεμος γὰρ ἦν, καὶ ὑπὸ νόσου ποδάγρας οὔτε οἱ πόδες οὔτε αἱ χεῖρες ἐτύγχανον ἄρτιοι. τίθεται δὲ καὶ ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

α 3386 Ἀπολέψεις· ζήτει ἐν τῷ ἀπολάψεις ὀπίσω.

α 3387 Ἀπολέξαι.

α 3388 Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι. τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν ἀπὸ λεπτοῦ μίτου φασὶν ἠρτῆσθαι τὸ ζῆν. ἡ παροιμία ἐπὶ τῶν ἐν ἐσχάτοις κινδύνου ὄντων.

α 3389 Ἀπολείπομαι καὶ ἀπολειπόμεθα· γενικῇ. ἐπὶ δὲ μέλλοντος ι.

α 3390 Ἀπολείπουσιν· ἀλλὰ καὶ ἀπολιμπάνουσι παρὰ Λυσίᾳ.

α 3391 Ἀπόληγε: παύου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3392 Ἀπολιβάξεις: συντόμως ἀναχωρήσεις. λιβὰς γὰρ ἡ σταγὼν, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης Ὄρνισιν· οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος.

α 3393 Ἀπολιγαίνει: θορυβεῖ, ὀξέως βοᾷ. παρὰ τὸ λιγύ. Ἀριστοφάνης· ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ. ἀντὶ τοῦ τοὺς ἱμάντας, οὓς οἱ ἀγορανόμοι ἔχοντες ἔτυπτον.

α 3394 Ἀπόλιδας: ἀγεννεῖς, ὡς μὴ οἰκοῦντας ἐν πόλει, ἀπαιδεύτους.

α 3395 Ἄπολις: ζήτει ἐν τῷ Γενέθλιος.

α 3396 Ἀπολιμπάνομαι· γενικῇ. Ἀπολιμπάνω δὲ αἰτιατικῇ ἐπὶ τοῦ ἐνεργητικοῦ.

α 3397 Ἀπολινάριος, Λαοδικεὺς τῆς Συρίας, γεγονὼς ἐν ἡμέραις Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ Παραβάτου καὶ ἕως τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, σύγχρονος Βασιλείου καὶ Γρηγορίου, τῶν ἐκ Καππαδοκίας θαυμαζομένων. ἐγένετο δὲ καὶ γνώριμος ἀμφοτέρων καὶ Λιβανίου τοῦ σοφιστοῦ καὶ ἄλλων τινῶν. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλείω καὶ ἐς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς τόμους λ', καὶ δι' ἡρώων ἐπῶν πᾶσαν τὴν τῶν Ἑβραίων γραφήν. ἔγραψε δὲ ἐπιστολὰς καὶ ἄλλα πολλὰ εἰς τὴν Γραφὴν ὑπομνήματα. τοῦ δέ γε Ἀπολιναρίου καὶ Φιλοστόργιος μνήμην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ καί φησιν· Ἀπολινάριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας, καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Γρηγόριος ἐν τῇ Ναζιανζῷ· σταθμὸς δὲ οὗτος ὁ τόπος ἐστὶ τῆς αὐτῆς Καππαδοκίας. τρεῖς δὴ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προὐμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπιπλεῖστον οὗτοι προεληλύθεισαν καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν, καὶ μάλιστά γε αὐτῶν ὁ Ἀπολινάριος. οὗτος γὰρ δὴ καὶ τῆς Ἑβραΐδος διαλέκτου ἐπαΐειν οἷός τ' ἦν. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν ἐς τὸν ἑαυτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε, Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν, τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος· καὶ ἦν εἰπεῖν Ἀπολιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον· ὥστε καὶ οἷς ὡρῶντο καὶ οἷς ἔλεγον καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ἤρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁτιοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ Ἀρειανὸς ἔγραψεν.

α 3398 Ἀπολινάριος· οὗτος ἀνεφάνη μετὰ Παῦλον τὸν Σαμοσατέα, πρόεδρος Λαοδικείας τῆς Συρίας, ματαιοφροσύνης ἑτέρας ἡγησάμενος. τῶν γὰρ Ἀρειανῶν ἄψυχον πάντη λεγόντων τὴν τοῦ κυρίου σάρκα, αὐτὸς ἔφη, ὅτι σάρκα μὲν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ προσήκατο. μηδὲ γὰρ δεηθῆναί φησι τὴν σάρκα ἐκείνην ἀνθρωπείου νοὸς, ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος θεοῦ λόγου, ἀλλὰ μηδὲ χωρεῖν αὐτῇ ἄλλην δύναμιν παρὰ τὴν θείαν. ταῦτα ὑποθέμενος διατείνεται μίαν εἶναι φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς, ὡς ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸ εἶναι ἄνθρωπον, διὰ τοῦτο μὴ ἄξιον φύσιν ὀνομάζεσθαι. μεθ' ὃν ἀναφαίνεται Θεόδωρος, ὁ Μοψουεστίας πρόεδρος τῆς Κιλικίας. ἐγένοντο δὲ Ἀπολινάριοι δύο, πατὴρ καὶ υἱός. ὁ μὲν πατὴρ Ἀλεξανδρεύς· γήμας δὲ εἰς Λαοδίκειαν τῆς Συρίας ἴσχει υἱὸν Ἀπολινάριον. ἄμφω δὲ συνήκμαζον Ἐπιφανίῳ τῷ σοφιστῇ, ὃν ἀκμάζοντα τότε ἠσπάζοντο. Θεόδοτος δὲ, ὁ τῆς Λαοδικείας ἐπίσκοπος, μηδενὶ τρόπῳ ἀποσπάσαι αὐτοὺς ἐξ αὐτοῦ δυνηθεὶς ἄμφω τῆς κοινωνίας ἐζημίωσεν. ὕβριν τε ἡγεῖται ὁ παῖς Ἀπολινάριος τὰ

γενόμενα καὶ τῇ ἐννοίᾳ τοῦ σοφιστικοῦ θαρρῶν καινοτομεῖ καὶ αὐτὸς αἵρεσιν, ἣ νῦν ἐπιπολάζει, τὸ ὄνομα τοῦ εὑρόντος ἔχουσα. οἱ δέ φασι διενεχθῆναι αὐτοὺς πρὸς Γεώργιον, ἑώρων γὰρ αὐτὸν ἀλλόκοτα δογματίζοντα. οὗτος δὲ ὁ Ἀπολινάριος βαθμοὺς ἐπὶ τῆς θείας φύσεως δοξάζειν ἐτόλμησε καὶ μύθους τινὰς ταῖς θείαις ἐπαγγελίαις συνέζευξεν.

α 3399 Ἀπολιταργιεῖς: ἀποδραμῇ, ἀποσκιρτήσειας ἀπὸ τῆς θύρας. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργὸν, ὅπερ ἐστὶ τὸ ταχὺ, καὶ τὸ λίαν. οὐ ταχέως οὖν, φησὶν, ἀποδραμῇ; λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα. Ἀριστοφάνης Νεφέλαις· οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς ἀπὸ τῆς θύρας; ἔστι καὶ Ἀπολιταργεῖν.

α 3400 Ἀπολογίζω: τὸ ἀποδιώκω καὶ ἀποβάλλω ὅπερ οὐ προσδέχομαι. σημαίνει δὲ καὶ τὸ ἀπολογαριάζω. καὶ Ἀπολογίσασθαι, τὸ ἐπεξελθεῖν ἕκαστα. Δημοσθένης.

α 3401 Ἀπολογισμός· Πολύβιος· ὁ δὲ Ξάνθιππος παραγενόμενος εἰς χεῖρας ἔφερε τοῖς ἄρχουσι τοὺς ἀπολογισμοὺς, παρὰ τί νῦν σφαλείησαν, καὶ πῶς δύναιντο τοὺς ἐναντίους νικᾶν.

α 3402 Ἀπόλογος Ἀλκίνου: ἐπὶ τῶν φλυαρούντων καὶ μακρὸν ἀποτεινόντων λόγον.

α 3403 Ἀπολογοῦμαί σοι· δοτικῇ.

α 3404 Ἀπολλόδωρος, Ἀθηναῖος, κωμικός. ἐποίησε δράματα μζ′, ἐνίκησεν ε′.

α 3405 Ἀπολλόδωρος, Γελῷος, κωμικὸς, σύγχρονος τοῦ κωμικοῦ Μενάνδρου. δράματα αὐτοῦ Ἀποκαρτερῶν ἢ Φιλάδελφοι, Δευσοποιὸς, Ἱέρεια, Γραμματόδειπνος, Ψευδαίας, Σίσυφος, Αἰσχρίων.

α 3406 Ἀπολλόδωρος, Ταρσεὺς, τραγικός, δράματα αὐτοῦ Ἀκανθοπλὴξ, Τεκνοκτόνος, Ἕλληνες, Θυέστης, Ἱκέτιδες, Ὀδυσσεύς.

α 3407 Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικὸς, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος· ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.

α 3408 Ἀπολλοκράτης: ὄνομα κύριον.

α 3409 Ἀπολλοφάνης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. δράματα αὐτοῦ Δάλις, Ἰφιγέρων, Κρῆτες, Δανάη, Κένταυροι.

α 3410 Ἀπολώλαμεν καὶ Ἀπολώλασιν Ἀττικῶς. Ἀπολώλεισαν δὲ ὑπερσυντελικός.

α 3411 Ἀπόλλων, Ἀπόλλωνος. καὶ ἡ κλητικὴ, ὦ Ἄπολλον. ὅτι ὁ Ἀπόλλων ὑποφήτης ἐστὶ τοῦ πατρὸς καὶ παρ’ ἐκείνου λαμβάνει τὰς μαντείας καὶ τοῖς ἀνθρώποις ἐκφέρει. καὶ ζήτει ἐν τῷ Διὸς φήμη.

α 3412 Ἀπολωλεκώς: ἀπολέσας. καὶ Ἀπολώλεκεν.

α 3413 Ἀπολωλώς· ἀρσενικῶς. καὶ Ἀπολωλός, οὐδετέρως.

α 3414 Ἀπολλώνεια ἔργα: τοῦ Ἀπόλλωνος.

α 3415 Ἀπολλωνιάς, Ἀττάλου, τοῦ πατρὸς Εὐμένους τοῦ βασιλέως, γαμετή· ἥτις δημότις οὖσα βασίλισσα ἐγεγόνει καὶ ταύτην διεφύλαξε τὴν ὑπεροχὴν μέχρι τῆς τελευταίας ἡμέρας, οὐχ ἑταιρικὴν προσφερομένη πιθανότητα, σωφρονικὴν δὲ καὶ πολιτικὴν σεμνότητα καὶ καλοκἀγαθίαν. τέτταρας γὰρ υἱοὺς γεννήσασα πρὸς πάντας τούτους ἀνυπέρβλητον ἐφύλαξεν εὔνοιαν καὶ φιλοστοργίαν μέχρι τελευτῆς, καίτοι χρόνον οὐκ ὀλίγον ὑπερβιώσασα τἀνδρός. πλὴν οἵγε περὶ τὸν Ἄτταλον ἐν τῇ παρεπιδημίᾳ καλὴν περιεποιήσαντο φήμην, ἀποδιδόντες τῇ μητρὶ τὴν καθήκουσαν χάριτα καὶ τιμήν. ἄγοντες γὰρ ἐξ ἀμφοῖν τοῖν χεροῖν μέσην αὐτῶν τὴν μητέρα παρήεσαν τά θ’ ἱερὰ καὶ τὴν πόλιν μετὰ τῆς θεραπείας. ἐφ’ οἷς οἱ θεώμενοι μεγάλως τοὺς νεανίσκους ἀπεδέχοντο καὶ κατηξίουν, καὶ μνημονεύοντες τῶν περὶ Κλέοβιν καὶ Βίτωνα

συνέκρινον τὰς αἱρέσεις αὐτῶν, καὶ τὸ τῆς προθυμίας τῆς ἐκείνων λαμπρὸν τῷ τῆς ὑπεροχῆς τῶν βασιλέων ἀξιώματι συναναπληροῦντες. ταῦτα ἐτελέσθη ἐν Κυζίκῳ μετὰ τὴν διάλυσιν τὴν πρὸς Προυσίαν τὸν βασιλέα.

α 3416 Ἀπολλωνιὰς λίμνη· ὅτι Ἄτταλος, ὁ τῆς Ἀσίας βασιλεὺς, Νικομήδει τῷ Μονόδοντι πολεμήσας ἐκράτησε τῆς αὐτοῦ χώρας. ἀλλ' ὁ μὲν Ῥωμαίους ἐπικαλεσάμενος ἀνέλαβε τὴν ἀρχήν. Ἄτταλος δὲ τὴν ἑαυτοῦ μητέρα Ἀπολλωνιάδα μεταλλάξασαν κατὰ τὸ μέγιστον ἱερὸν Περγάμου κατέθετο, ὅπερ αὐτὸς ἐδείματο, τήν τε γείτονα λίμνην αὐτῇ προσωνόμασεν.

α 3417 Ἀπολλωνιάτης· καὶ Ἀπολλωνῖτις χώρα.

α 3418 Ἀπολλώνιον: βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτως καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος. ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς· καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα, ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον δῆλον ὅτι Δωριαῖον.

α 3419 Ἀπολλώνιος, Ἀλεξανδρεὺς, ἐπῶν ποιητὴς, διατρίψας ἐν Ῥόδῳ, υἱὸς Σιλλέως, μαθητὴς Καλλιμάχου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

α 3420 Ἀπολλώνιος, Τυανεὺς, φιλόσοφος, υἱὸς Ἀπολλωνίου καὶ μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο λέγοντα, ὡς αὐτὸς εἴη ὃν κύει, εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον· ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν. ἐσιώπησε δὲ κατὰ Πυθαγόραν ε′ ἔτη. εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα. συνέταξε δὲ τοσαῦτα· Τελετὰς ἢ περὶ θυσιῶν, Διαθήκην, Χρησμοὺς, Ἐπιστολὰς, Πυθαγόρου βίον. εἰς τοῦτον ἔγραψε Φιλόστρατος ὁ Λήμνιος τὸν φιλοσόφῳ πρέποντα βίον. ὅτι Ἀπολλώνιος ὁ Τυανεὺς ἐς σωφροσύνην ὑπερεβάλλετο τοῦ Σοφοκλέους. ὁ μὲν γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀποφυγεῖν, ἐλθόντα ἐς γῆρας, ὁ δὲ Ἀπολλώνιος ὑπ' ἀρετῆς καὶ σωφροσύνης οὐδὲ ἐν μειρακίῳ ἡττήθη τούτων. ὅτι Φιλόστρατος λέγει περὶ Ἀπολλωνίου, θειότερον ἢ ὁ Πυθαγόρας τῇ σοφίᾳ προσελθεῖν τυραννίδων τε ὑπεράραντα καὶ γενόμενον κατὰ χρόνους οὔτ' ἀρχαίους οὔτ' αὖ νέους. ὃν οὔπω οἱ ἄνθρωποι γινώσκουσιν ἀπὸ τῆς ἀληθινῆς φιλοσοφίας, ἣν φιλοσόφως τε καὶ ὑγιῶς ἐπήσκησεν. ἀλλ' ὁ μὲν τὸ, ὁ δὲ τὸ ἐπαινεῖ τἀνδρός· οἱ δὲ, ἐπειδὴ μάγοις Βαβυλωνίων καὶ Ἰνδῶν Βραχμᾶσι καὶ τοῖς ἐν Αἰγύπτῳ Γυμνοῖς συνεγένετο, μάγον ἡγοῦνται αὐτὸν καὶ διαβάλλουσιν ὡς μὴ σοφὸν, κακῶς γινώσκοντες. Ἐμπεδοκλῆς τε γὰρ καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος ὁμιλήσαντες μάγοις καὶ πολλὰ δαιμόνια εἰπόντες οὔπω ὑπήχθησαν τῇ τέχνῃ. Πλάτων δὲ βαδίσας ἐς Αἴγυπτον καὶ πολλὰ τῶν ἐκεῖ προφητῶν τε καὶ ἱερέων ἐγκαταμίξας τοῖς ἑαυτοῦ λόγοις καὶ καθάπερ ζωγράφος ἐσκιαγραφημένοις ἐπιβαλὼν χρώματα οὔπω μαγεύειν ἔδοξε, καίτοι πλεῖστα ἀνθρώπων φθονηθεὶς ἐπὶ σοφίᾳ. οὐδὲ γὰρ τὸ αἰσθέσθαι πολλὰ καὶ προγνῶναι διαβάλλοι ἂν τὸν Ἀπολλώνιον, ἐφ' οἷς προὔλεγεν, ἐς τὴν σοφίαν ταύτην, ὡς διαβεβλήσεται καὶ Σωκράτης ἐφ' οἷς προὔλεγε, καὶ Ἀναξαγόρας, ὃς Ὀλυμπίασιν, ὁπότε ἥκιστα ὕοι, προελθὼν ὑπὸ κωδίῳ ἐς τὸ στάδιον ἐπὶ προρρήσει ὄμβρου. καὶ ἄλλα τινὰ ὑπὲρ Ἀναξαγόρου προτιθέντες ἀφαιροῦνται τὸν Ἀπολλώνιον τὸ κατὰ σοφίαν προγινώσκειν. δοκεῖ οὖν μοι μὴ περιϊδεῖν τὴν τῶν πολλῶν ἄνοιαν, ἀλλ' ἐξακριβῶσαι τὸν ἄνδρα τοῖς τε χρόνοις, καθ' οὓς εἶπέ τι ἢ ἔπραξε, τοῖς τε τῆς σοφίας τρόποις, ὑφ' ὧν ἔψαυσε τοῦ δαιμόνιός τε καὶ θεῖος νομισθῆναι. ξυνείλεκται δέ μοι τὰ μὲν ἐκ πόλεων, ὁπόσαι αὐτοῦ ἤρων, τὰ δὲ ἐξ ἱερῶν, ὁπόσα ὑπ' αὐτοῦ ἐπανήχθη παραλελυμένα τοὺς θεσμοὺς ἤδη, τὰ δὲ ἐξ ὧν ἕτεροι πρὸς αὐτὸν ἢ αὐτὸς πρὸς ἄλλους ἔγραφεν. ἐπέστελλε δὲ βασιλεῦσι, σοφισταῖς, φιλοσόφοις, Ἠλείοις,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δελφοῖς, Ἰνδοῖς, Αἰγυπτίοις, ὑπὲρ θεῶν, ὑπὲρ ἠθῶν, ὑπὲρ νόμων, παρ’ οἷς ὅ τι ἂν πράττοι· τὰ δὲ ἀκριβέστερα παρὰ Δάμιδος ἀκηκοώς. οὗτος Ἀπολλώνιος ὁ Τυανεὺς διαμνημονικός τις ἦν εἴπερ τις ἄλλος, ὃς τὴν μὲν φωνὴν σιωπῇ κατεῖχε, πλεῖστα δὲ ἀνελέγετο, καὶ τὸ μνημονικὸν ἑκατοντούτης γενόμενος ἔρρωτο ὑπὲρ τὸν Σιμωνίδην. καὶ ὕμνος αὐτῷ τίς ἐστιν εἰς μνημοσύνην, ὃν ᾖδεν, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον ὑπὸ τῆς μνημοσύνης εἶναι. ζήτει περὶ Ἀπολλωνίου καὶ ἕτερα προγνωστικὰ αὐτοῦ ἐν τῷ Τιμασίων. ὅτι Ἀπολλώνιος οὗτος τάδε περὶ Ἀναξαγόρα ἔφη· καὶ γὰρ Κλαζομένιον ὄντα καὶ ἀγέλαις καὶ καμήλοις τὰ ἑαυτοῦ ἀναθέντα εἰπεῖν, προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον, οὔτε ἀνθρώποις.

α 3421 Ἀπολλώνιος ἕτερος, Τυανεὺς, φιλόσοφος νεώτερος, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ὡς Ἀγρέσφων ἐν τῷ περὶ ὁμωνύμων.

α 3422 Ἀπολλώνιος, Ἀλεξανδρεὺς, ὁ κληθεὶς Δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ τεχνογράφου, γραμματικός· ὃς ἔγραψε τάδε. Περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ′, Περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν δ′, Περὶ ῥήματος ἤτοι Ῥηματικὸν ἐν βιβλίοις ε′, Περὶ τῶν εἰς μι ληγόντων ῥημάτων παραγωγῶν βιβλίον α′, Περὶ ὀνομάτων ἤτοι Ὀνοματικὸν α′, Περὶ ὀνομάτων κατὰ διάλεκτον, Περὶ τῆς ἐν θηλυκοῖς ὀνόμασιν εὐθείας α′, Περὶ παρωνύμων α′, Περὶ συγκριτικῶν, καὶ Περὶ διαλέκτων, Δωρίδος, Ἰάδος, Αἰολίδος, Ἀτθίδος, Περὶ σχημάτων Ὁμηρικῶν, Περὶ κατεψευσμένης ἱστορίας, Περὶ παθῶν, Περὶ τόνων κατηναγκασμένων βιβλία β′, Περὶ τόνων σκολιῶν βιβλίον α′, Περὶ προσῳδιῶν ε′, Περὶ στοιχείων, Περὶ προθέσεων, Περὶ τῶν Διδύμου πιθανῶν, Περὶ συνθέσεως, Περὶ διφορουμένων, Περὶ τοῦ τίς, Περὶ γενῶν, Περὶ πνευμάτων, Περὶ κτητικῶν, Περὶ συζυγίας.

α 3423 Ἀπολλώνιος, Ἀρχεβούλου ἢ Ἀρχιβίου. ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον.

α 3424 Ἀπολλώνιος, Ἀφροδισιεὺς, ἀρχιερεὺς καὶ ἱστορικός. γέγραφε Καρικὰ, Περὶ Τράλλεων, Περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ.

α 3425 Ἀπόλλωνος ἄγαλμα· κιθάραν ἐπὶ χειρῶν πλάττουσι τοῦ Ἀπόλλωνος ἄγαλμα, οἱονεὶ τὸν ἥλιον, τὴν τοῦ παντὸς ἁρμονίαν· κιρνώμενος γὰρ τοῖς λοιποῖς ἀστράσι καὶ κτίζει καὶ ζῳογονεῖ.

α 3426 Ἀπολλὼς, Ἀπολλῶ: ὄνομα κύριον. Ἀττικῶς.

α 3427 Ἀπολοίμην εὐκτικῶς. καὶ Ἀπόλοιντο. ὡς ἀπόλοιτο ἡ κακία. Ἀπολλύειν δὲ καὶ ἀπολλύναι, διττῶς λέγουσι. καὶ ἀποδεικνύναι, καὶ ἀποδεικνύειν, καὶ πάντα τὰ ὅμοια.

α 3428 Ἀπὸ λύκου θύρας: ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων. οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων.

α 3429 Ἀπολυμαίνεσθαι: ἀποκαθαίρεσθαι.

α 3430 Ἀπολυόμενος: ὑπεραπολογούμενος. ὁ δὲ πρεσβείας διεπέμπετο ἀπολυόμενος τὰς διαβολὰς, ἃς κατ’ αὐτοῦ γίνεσθαι ἐπυνθάνετο.

α 3431 Ἀπολύων· αἰτιατικῇ. τῷ θανάτῳ παραπέμπων. ὁ Δαβίδ· κύριε, ἀπολύων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. ἄλλος δὲ ἑρμηνεὺς ἀπὸ ὀλίγων φησίν.

α 3432 Ἀπομαγδαλία: τὸ σταῖς, ᾧ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον, ὃ μετὰ τὴν ἐργασίαν ἀπέρριπτον τοῖς κυσίν. ἢ ἡ τῶν κυνῶν τροφὴ, ἥτις ἦν σταῖς καὶ λίπος· ὡς καὶ ὁ ποιητής· ἀεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον εἰς τὸ σταῖς ἀπεψῶντο τὸ λίπος καὶ τοῖς κυσὶν ἐρρίπτουν. καὶ αὖθις Ἀριστοφάνης· πλὴν ὑπερβαλεῖσθαι ς’ οἴομαι τούτοισιν· ἢ μάτην γ’ ἂν ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφείην.

α 3433 Ἀπόμακτρα σκυτάλων, ἀπεσκοτημένα δὲ ἐσκιοτροφημένα.

α 3434

Ἀπομάττεσθαι: ἀναλαβεῖν, μιμεῖσθαι, καὶ ἀποτυποῦν. καὶ Ἀπομάττων Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ἀντὶ τοῦ ἀποψῶν, ἄλλοι δὲ ἀντὶ τοῦ περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις. ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ.

α 3435 Ἀπόμαχος: ὁ ἐκτὸς τοῦ πολέμου γεγονώς. ὁ δὲ πλήττεται βέλει τὸν μηρὸν, ὡς μικροῦ δεῖν μελλῆσαι ἀπόμαχος ἔσεσθαι. καὶ αὖθις· ὁ δὲ ὑπὸ τῆς λύπης κατακλυζόμενος ἀπόμαχος ἦν. καὶ Ἀπόμαχοι, οἱ μὴ ἐξισχύοντες μάχεσθαι. οἱ μὲν ἀπόμαχοι ἑαυτοὺς κατεχρήσαντο, οἱ δὲ ἐν τῇ ἡλικίᾳ ἐς τοὺς ἐναντίους ἀθρόοι ὥρμησαν καὶ προθύμως κατεκόπησαν. ἢ οἱ ἔξω τῆς μάχης. ὡς δὲ αὐτῷ ἐξηγγέλλετο, ὡς ἔσοιτο ὁ Θεοδώριχος ἠπατημένος ἀπόμαχος, ὀπίσω ἀναχωρεῖ. καὶ Ἀπομαχομένου, ἀνθισταμένου, παραιτουμένου. ἀπομαχομένου δὲ τοῦ Φαβίου καὶ πολλὰς ποιουμένου δεήσεις, ἵνα τῆς ἀρχῆς ἀπολυθείη.

α 3436 Ἀπομάχομαι· δοτικῇ.

α 3437 Ἀπομηνίσας: ἀποχωρήσας δι᾽ ὀργὴν, ἢ παυσάμενος τῆς ὀργῆς.

α 3438 Ἀπὸ μηχανῆς: ἐπὶ τῶν παραδόξων καὶ παραλόγων. οἱ γὰρ τῶν τραγῳδιῶν ποιηταὶ, ὅταν εἰσήγαγον εἰς τὴν σκηνὴν ἢ τόλμαν ὥστε συγχυθῆναι τοὺς θεατὰς πρὸς τὰ εἰρημένα καὶ ἐλεεῖν τοὺς ἠτυχηκέναι δόξαντας, ὡς ἀνάξια πεπονθότας, ἢ μισῆσαι τοὺς πεποιηκότας ἢ παρανομήσαντας, εἰώθασι θεοὺς εἰσάγειν, οὐκ ἐπ᾽ αὐτῆς τῆς σκηνῆς ὁρμωμένους, ἀλλ᾽ ἐξ ὕψους ὑπό τινος μηχανῆς, ἣν ἔβλεπον μὲν πρότερον οἱ θεαταὶ, κατ᾽ ἐκείνην δὲ τὴν ἡμέραν στρεφόμενος ἐδείκνυε τὸ τοῦ θεοῦ πρόσωπον. καὶ τοῦτο καταστολὴν εἶναι τοῦ δράματος. ἐλέγετο δὲ θεὸς ἀπὸ μηχανῆς.

α 3439 Ἀπόμισθος: ἄμισθος, ὁ μισθοῦ ἔργον τι διαπραξάμενος καὶ ἄμισθος ἀφειμένος. κεῖται ἡ λέξις παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Καλλικλέα. Ἀπόμισθοι δὲ παρὰ Δημοσθένει, οἱ μισθὸν μὴ λαβόντες.

α 3440 Ἀπομιμοῦμαι· αἰτιατικῇ.

α 3441 Ἀπομνημονεύω· αἰτιατικῇ.

α 3442 Ἀπομώμοκα: ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς γυναῖκας πεποίηκα. καὶ Ἀπομωμοκότας, ἀποταξαμένους. πολλοὺς δ᾽ ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας διεμήρισαν ἄνδρες ἐρασταί. Ἀριστοφάνης Ὄρνισιν.

α 3443 Ἀπομορξάμενον: ἀποπαυσάμενον.

α 3444 Ἀπομόσαι καὶ κατομόσαι: τὸ μὲν ἀρνητικὸν, τὸ δὲ καταφατικόν.

α 3445 Ἀπόμοιρα: μέρος. ἀπόμοιρα δὲ τῆς στρατιᾶς ἀσκοὺς ἐπιφερόμενοι σποδιᾶς καὶ τέφρας πεπληρωμένους, ξιφιδίοις τούτους διέρρηξαν καὶ τὸν ἀέρα ἐθόλωσαν. καὶ Ἀγαθίας· ἀπόμοιρα δὲ ἦν τῶν Φράγκων, καὶ ἀνὰ τὰ τῇδε πεδία ἐφοίτα χιλοῦ ἕνεκα.

α 3446 Ἀπομυρίζω: ἀποστομίζω.

α 3447 Ἀπόν: ἀπρεπές. σημαίνει καὶ τὸ μὴ παρόν.

α 3448 Ἀπὸ Ναννάκου: ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

α 3449 Ἀπόνασθαι: κατατρυφᾶν, ἢ ὠφελεῖσθαι. οὐ μὴν ἀπόνασθαί γε ξυνέβη τῆς βασιλείας αὐτῷ· τελευτᾷ γὰρ νόσῳ ἑπτὰ ταῖς πάσαις ἡμέραις.

α 3450 Ἀπονέμου τῆς ἁμάξης, τῶν δὲ ὄνων οὐδὲν μέλει: παροιμία ἐπὶ τῶν τὰ οἰκεῖα τημελούντων, τῶν δὲ ἀλλοτρίων ἀμελούντων· παρόσον οἱ ἰδίαν ἔχοντες ἅμαξαν, ὄνους δὲ μισθούμενοι, ἀμελοῦσιν αὐτῶν.

α 3451 Ἀπονεύειν: ἐκκλίνειν, τρέπεσθαι. συνέβαινε τοὺς Αἰνίους πάλαι μὲν στασιάζειν, προσφάτως δὲ ἀπονεύειν, τοὺς μὲν πρὸς Εὐμένη, τοὺς δὲ πρὸς Μακεδονίαν.

α 3452 Ἀπόνειμαι: ἀπόδος. ἀπόνεμε δέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3453 Ἀπονέμω· δοτικῇ.

α 3454 Ἀπονητί: ἄνευ πόνου. Ἀπνευστὶ, ἀνιδρωτὶ, ἀκμητὶ, ἀμεταστρεπτί· πάντα ταῦτα καὶ ἐκτείνεται καὶ συστέλλεται. λέγεται δὲ καὶ Ἀπονητότατα.

α 3455 Ἀπόνιπτρον· Ἀριστοφάνης· ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας. εἰώθασι δὲ οἱ ἀρχαῖοι, εἴ ποτε ἐκχέοιτο ἀπόνιπτρον ἀπὸ τῶν θυρίδων, ἵνα μή τις βραχῇ λέγειν τῶν παριόντων, ἐξίτω. καὶ Ἀπονίψασθαι μετὰ τὸ δεῖπνον ἔλεγον, πρὸ τοῦ δείπνου δὲ κατὰ χειρός.

α 3456 Ἀπονομή: ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγινομένων ἐκ τῶν μετάλλων λαμβανούσης τῆς πόλεως. ἢ ὡς διαιρουμένων εἰς πλείους μισθωτάς, ἵν’ ἕκαστος λάβοι τι μέρος.

α 3457 Ἀπονοστήσει: ἐπανελεύσεται.

α 3458 Ἀπονοσφίζεσθαι: ἀποχωρίζεσθαι.

α 3459 Ἀπ’ ὄνου καταπεσών: παροιμία ἀπὸ τῶν ἱππικῇ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι. Ἀριστοφάνης Νεφέλαις· τί δῆτα ληρεῖς, ὥσπερ ἀπ’ ὄνου καταπεσών; ὁ δὲ φιλόσοφος Πλάτων οὐκ ἀπὸ τοῦ ζῴου τὴν παροιμίαν λέγεσθαι, ἀλλ’ ἀπὸ τοῦ νοῦ οὕτως· καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν ἀπό τινος νοῦ καταπεσεῖν.

α 3460 Ἀπόνοια: ἄνοια, ὕβρις. Προκόπιος· ἀδικούμενοι εἰώθασιν εἰς ἀπόνοιαν τρέπεσθαι οἱ ἄνθρωποι, ὅπερ ἔπαθον καὶ οἱ Βένετοι ἐπὶ Ἰουστινιανοῦ. καὶ πρῶτα μὲν τοῖς στασιώταις τὰ ἀμφὶ τὴν κόμην ἐς νεώτερόν τινα παραβέβληται τρόπον. ἀπεκείροντο γὰρ αὐτὴν οὐδὲν ὁμοίως τοῖς ἄλλοις. τοῦ μὲν γὰρ μύστακος καὶ τοῦ γενείου οὐδαμῇ ἥπτοντο, ἀλλ’ αὐτὸν κατακομᾶν ἐπὶ πλεῖστον ὥσπερ οἱ Πέρσαι ἐς ἀεὶ ἤθελον. τῶν δὲ ἐν τῇ κεφαλῇ τριχῶν τὰ ἔμπροσθεν ἄχρι ἐς τοὺς κροτάφους ἀποτεμνόμενοι, τὰ ὄπισθεν ἀποκρέμασθαί σφισιν ἐπὶ μακρότατον λόγῳ οὐδενὶ εἴων, ὡς οἱ Μασσαγέται. διὸ καὶ Οὐννικὸν ἐκαλεῖτο τὸ αὐτὸ εἶδος. καὶ τὰ ἱμάτια εὐπάρυφα ἠξίουν εἶναι. καὶ αὖθις Ἰουλιανός· τὸ μὴ προιδέσθαι τό τε δυνατὸν καὶ τὸ ἀδύνατον ἐν πράγμασι τῆς ἐσχάτης ἀπονοίας ἐστὶ σημεῖον.

α 3461 Ἀπονυχιῶ σου τὰν πρυτάνῃ σιτία: ἀντὶ τοῦ ἀφαιρήσομαι· ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. ἀφαιρήσομαι γάρ φησι τὴν σίτησιν. Ἀπονυχίσαι μᾶλλον λέγουσιν ἢ ὀνυχίσαι.

α 3462 Ἀποξένοισιν: ἀπὸ τοῖς ξένοις.

α 3463 Ἀποξύονται: ἀποτίθενται.

α 3464 Ἀπὸ ξυστοῦ· ὁ δὲ Ὅμηρος ἀπὸ ξυστοῦ εἶπεν.

α 3465 Ἀποξυστροῦνται: ἐπικάμπτονται, ἐπιστρέφονται. Πολύβιος· αἱ γὰρ μάχαιραι τῶν Γαλατῶν ταῖς κατασκευαῖς μίαν ἔχουσιν τὴν πρώτην καταφορὰν καιρίαν, ἀπὸ δὲ ταύτης εὐθέως ἀποξυστροῦνται, καμπτόμεναι κατὰ μῆκος καὶ πλάτος ἐπὶ τοσοῦτον ὥστε, ἂν μὴ δῷ τις ἀναστροφὴν τοῖς χρωμένοις ἐρείσαντας πρὸς τὴν γῆν ἀπευθῦναι τῷ ποδὶ, τελέως ἄπρακτον εἶναι τὴν δευτέραν αὐτῶν πληγήν.

α 3466 Ἀποπάλλω· γενικῇ.

α 3467 Ἀπὸ παραγγέλσεως· οἱ δὲ ἀπὸ παραγγέλσεως πορευόμενοι ἀφικνοῦνται ἅμα ἡμέρᾳ πρὸς τὸ ὄρος.

α 3468 Ἀποπάτημα: αὐτὸ τὸ σκύβαλον. Εὔπολις Χρυσῷ γένει· τί γάρ ἐστ’ ἐκεῖνος; ἀποπάτημ’ ἀλώπεκος. Κρατῖνος Δραπέτισι· τὸν Κερκύονά τε ἕωθεν ἀποπατοῦντ’ ἐπὶ τοῖς λαχάνοις εὑρὼν ἀπέπνιξα. καὶ Ἀποπατησόμενοι, τὴν κόπρον κενώσοντες. πάτος δὲ ἡ ὁδός. Ἀριστοφάνης· οὐδεὶς θύει τοπαράπαν οὐδ’ εἰσέρχεται, πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι. Ἀπόπατος γὰρ ἡ κένωσις τῆς γαστρός. καὶ Ἀριστοφάνης περὶ Κλεωνύμου φησίν· εἰς ἀπόπατον ᾤχετο στρατιὰν

λαβὼν κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὄρων. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγε; τῇ πανσελήνῳ.

α 3469 Ἀπόπατον καὶ κοπρῶνα λέγουσιν. ὁ δ’ ἀφεδρὼν καὶ λυτρώνων βάρβαρα.

α 3470 Ἀποπέμψατ’ ἐφ’ ἕνδεκα κώπαις· αἰτιατικῇ. ἀπὸ τῶν ναυτικῶν. κέλευσμα γάρ ἐστι ναυτικὸν ἐφ’ ἕνδεκα κώπαις λεγόμενον. Ἀριστοφάνης φησίν.

α 3471 Ἀπὸ πέντε ἅλλεσθαι πετρῶν εἰς κῦμα: ἐπὶ τῶν δι’ ἃ πάσχουσιν αἱρουμένων μᾶλλον ἑαυτοὺς ἐμβάλλειν εἴς τινα δυσκολίαν.

α 3472 Ἀποπεπιστευκότες: εἰς πίστιν ἐλθόντες. ἤδη πάντες ἀναπεπτώκασι διὰ τὴν ὑποκειμένην ἑορτὴν ἀποπεπιστευκότες τοῖς εἰσιοῦσιν. ἀντὶ τοῦ θαρρήσαντες, βεβαιωθέντες.

α 3473 Ἀποπεπόνηκας: τῶν πόνων ἔληξας.

α 3474 Ἀποπερατοῦσαν: συμπληροῦσαν. καὶ Ἀποπεραίνοντες, τελειοῦντες. παιδαρίων τε καὶ γυναικῶν φληνάφους διαπλέκοντες καὶ ἀποπεραίνοντες.

α 3475 Ἀποπεφασμένον: ἀπειρημένον. ἢ ἀντὶ τοῦ ἀποδεδειγμένον καὶ πεφανερωμένον. οὕτως Δείναρχος καὶ Λυσίας καὶ Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

α 3476 Ἀποπεφοίτηκεν: ἀπῆλθεν.

α 3477 Ἀπόπειρα: δοκιμασία. Δαμάσκιος· τῷ γὰρ ὄντι συνέβαινε τοὺς τῷ ὄντι φιλοσοφίας ἐρῶντας τῶν νέων ὥσπερ ἐν πυρὶ χρυσὸν δοκιμάζεσθαι. εἰ δὲ μὴ ὡμολόγει τὴν ἀπόπειραν, αὐτὸ τοῦτο μάλιστα δι’ ἣν ἡ ἀπόπειρα, σπουδή τις εἶναι προσποιουμένη καὶ ἐλλοχῶσα τὰς νεοπρεπεῖς ᾀττούσας κινήσεις. ἐμὲ γοῦν διεκώλυεν ὡς χαλεπωτάτου ὄντος τοῦ πράγματος. καὶ Ἀποπειρῶμαι· γενικῇ.

α 3478 Ἀποπηδῶ· γενικῇ. καὶ αἰτιατικῇ δέ· ἀποπηδᾶν λόγον σοφὸν μὴ δυνάμενον παρὰ δῆμον.

α 3479 Ἀποπλανῶ· γενικῇ.

α 3480 Ἀποπληξία: θλίψις. μανία, ἄνοια. ὅτι Μάρκος Βῆρος, Ἀντωνίνου ἀδελφὸς, βασιλεὺς Ῥωμαίων, ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν ἀναπνοήν· ὃ δὴ πάθος ἀποπληξίαν παῖδες ἰατρῶν ὀνομάζουσι. καὶ Ἀπόπληκτος, ὁ πεπονθώς.

α 3481 Ἀποπλήσας· ἑνί γε τρόπῳ τὸν προσδιαλεγόμενον ἀποπλήσας ἐξέπεμπεν.

α 3482 Ἀποπνέω· γενικῇ. Ἀποπνεῖν καὶ διαπνεῖν τὸ πέρδεσθαι, εὐσχημονέστερον τοῦ ἀποψοφεῖν.

α 3483 Ἀποπομπαῖος: ὁ χίμαρος, ὁ τράγος. καὶ Ἀποπομπαῖοι, θεοί τινες οὕτως ἐκαλοῦντο. καὶ Ἀποπομπή, ἀντὶ τοῦ ἀποτροπή.

α 3484 Ἀποπορευτέα· Ἀγαθίας· τοιγαροῦν ἀποπορευτέα αὐτῷ ἐδόκει ἐπὶ Φάσιν ποταμὸν, καὶ τῶν ἐκείνῃ δυσχωριῶν. ἀντὶ τοῦ ἐπανακτέον, ὑποστρεπτέον.

α 3485 Ἀποπορεία: ἡ ἐπαναχώρησις. ἐκκελεύσασθαι δὲ τοῖς ἑπομένοις οἰκέταις ἐπιταχῦναι τὴν ἀποπορείαν. τὴν ἀποστροφὴν, τὴν ἐπάνοδον. Προκόπιος· ὁ δὲ Χοσρόης οὐκ ἐβούλετο τὴν ἀποπορείαν, ᾗπερ ἐληλύθει, ποιήσασθαι. τουτέστι τὴν ἐπάνοδον.

α 3486 Ἀποπρεσβεύει: ἀπαγγέλλει πρεσβείαν.

α 3487 Ἀποπρίω: ἀντὶ τοῦ ὤνησαι καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας.

α 3488 Ἀποπταίη: πετασθῇ.

α 3489 Ἀπόπτολις: ἔρημος, ἄπολις.

α 3490 Ἄποπτον: πόρρωθεν ὁρώμενον. ἢ ἀθεώρητον, ὑψηλότατον.

α 3491

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄποπτος· ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγὼν, ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομάς, ὡς πλεῖστον εἴη τοῦτ' ἄποπτος ἄστεος. ἄποπτος γὰρ ὁ ἀθεώρητος. Σοφοκλῆς· ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς, ὅμως φώνημ' ἀκούω.

α 3492 Ἀποπτύω· αἰτιατικῇ.

α 3493 Ἀποπυργίζοντας λόγους· οὓς ἔγραψε Διαγόρας ὁ Ἄθεος, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης.

α 3494 Ἀπορραγείς: ἀντὶ τοῦ ἀποκοπείς. καὶ παροιμία· Ἀπορραγήσεται τεινόμενον τὸ καλῴδιον· ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων.

α 3495 Ἀπορρέξαντες: ἀπομερίσαντες, ἀπόμοιραν δόντες.

α 3496 Ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ: τὸ μὲν σφακελίζειν φλεγμαίνειν ἐστὶ καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος.

α 3497 Ἀπορρήγνυμι· γενικῇ.

α 3498 Ἀπορρηθέν: ἀπαγορευθέν. ἐπὶ τοῦ κελεύειν τι μὴ γενέσθαι. καὶ Ἀπορρηθῇ, ἀντὶ τοῦ ἀποκηρυχθῇ. Πλάτων.

α 3499 Ἀπορρῆξαι τὴν ψυχήν: ἐκπνεῦσαι. ἀπορρῆξαι τὴν ψυχὴν διψῶντα μόλις καὶ ὀψὲ τούτου τυχόντα. καὶ Ἀπορρήξουσι, λαλήσουσι. Πισίδης· οὓς εἰ σιωπήσαιμεν, οἱ λίθοι τάχα φωνὰς ἀπορρήξουσι τῶν πεπραγμένων.

α 3500 Ἀπορησία: ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος. καὶ Ἀπόρρησιν, ἀπαγόρευσιν. ὁ δὲ οὐκ ἤνεγκε τὴν ἀπόρρησιν, ἀλλὰ θυμοῦ πληρωθεὶς ἔφη. καὶ αὖθις· τὴν γενομένην ἀπόρρησιν τοῦ γάμου. σημαίνει δὲ καὶ ἀποκήρυξιν παιδός.

α 3501 Ἀπόρρητα: ἀκατάληπτα, ἀπόκρυφα. ἀπόρρητα ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι, οὐ μόνον τὰ ἀπηγορευμένα. ἀπόρρητά τε τοῖσιν ἐχθροῖσι τοῖς ἡμετέροις λέγουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Ἀπόρρητα, τὰ ἀπειρημένα ἐν τοῖς νόμοις. οὕτως Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα λέγουσιν. Ἀριστοφάνης· οὔ τι τ' ἀπόρρητα δρᾶν ἐστι μέλλει. διόπερ καὶ τὰ μὴ ἐξαγώγιμα ὀνομάζουσιν οὕτω.

α 3502 Ἀπορριπτεῖ· αἰτιατικῇ. ἀποβάλλει. καὶ Ἀπορρίπτεσθαι. αἰτιατικῇ.

α 3503 Ἀπορροῆς: σταγόνος.

α 3504 Ἄπορος χώρα: ἀντὶ τοῦ ἀπόρευτος. λέγεται δὲ ἄπορος καὶ ὁ μὴ δυνάμενος μηχανήν τινα εὑρεῖν, ὁ ἐνδεής.

α 3505 Ἀποροῦντι: ἐρωτῶντι. ἀποροῦντι δὲ αὐτῷ, τίνι μηχανῇ ἀνεβίω, τόνδε φάναι.

α 3506 Ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι, ἀποβλέπων εἰς τὸν ἀγρόν: γράφω μὲν ἀντὶ τοῦ καταγράφω καὶ ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύω τῷ δακτύλῳ καί τινι τοιούτῳ παιδιάς τινας. παρατίλλομαι δὲ τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίας καὶ ἀμηχανίας, μὴ τυγχάνοντες τοῦ προσδοκωμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται, ἀλύοντες ἐπιγράφουσιν. εἰς τὸν ἀγρὸν δὲ ἀποβλέπουσιν ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι.

α 3507 Ἀπορῶ πλούτου καὶ χρημάτων. γενικῇ.

α 3508 Ἀπορρῶγας: ἐξοχὰς ἀπεσχισμένας. ἐπειδή τινας ἀπορρῶγας εὗρε πάροδον διδόντας, καὶ αὐτὰς ἀπέκλεισεν ὁ Διοκλητιανός. καὶ Ἀπορρώξ, ἀπόσπασμα ὄρους. καὶ γένους ἀπογονή. οὗτος δὲ ἦν ἄρα Ἐριννύων ἀπορρώξ. πᾶσα δ' ἀπορρὼξ πέτρη ἔην ὑπένερθε, καὶ ἄμβασις οὐ νύ τις ἦεν. Τίμων ἦν τις ἀΐδρυτος ἀβάτοισιν εὐσκώλοισι περιειργμένος, Ἐριννύων ἀπορρώξ. ὁ λεγόμενος μισάνθρωπος, ὅν φησι Νεάνθης ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι· μὴ προσιέμενον δὲ

ἰατροὺς, ἀποθανεῖν σαπέντα, καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι, ὑπὸ θαλάσσης περιρραγέντα καὶ ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Σούνιον φυγούσῃ. ἀβάτοις δὲ ἀντὶ τοῦ ἄβατος καὶ ἄστατος καὶ οἷον ἀκάνθαις τετριχωμένος. καὶ σκληρὸς ἢ σκόλοψι καὶ παττάλοις ἠφανισμένος. ἀντὶ τοῦ σκυθρωπὸς καὶ μισάνθρωπος.

α 3509 Ἀπορώτατος: ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἔστιν εὑρεῖν. οὕτως Ἰσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησαίου θυγατρός.

α 3510 Ἀπόρροια: ἡ ἀπορροὴ τοῦ ὕδατος.

α 3511 Ἀπορρύει: ἀπορρύπτει, ἀπονίπτει. καὶ Ἀπορρυήσεται, ἀντὶ τοῦ ἀποπεσεῖται.

α 3512 Ἀπορρυφθείς: ἀντὶ τοῦ ἀπονιφθείς.

α 3513 Ἀπορρύψαι καὶ Ἀπορρυφθῆναι.

α 3514 Ἀποσαλεύσας: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἀποφυγὼν ἐκ τοῦ λιμένος καὶ σάλῳ ὁμιλήσας, τουτέστι τῷ ἀλιμένῳ τόπῳ, ἔνθα σάλος γίνεται.

α 3515 Ἀποσάξαντα: Δείναρχος ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα.

α 3516 Ἀποσαφοῦντες: διαρρήδην κηρύττοντες. οἵ τε ὀφθαλμοὶ Ἰσιδώρου τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες.

α 3517 Ἀποσεμνύνει· αἰτιατικῇ. γεραίρει. Ἀποσεμνυνεῖται δὲ ἀπονοεῖται σιωπῶν, ὑπερηφανεῖ. σεμνότητος γὰρ ἕνεκα ἐπιπολὺ ἐσιώπα Αἰσχύλος ἐν τοῖς θεάτροις εἰσιών· καὶ ἐν ταῖς ἀρχαῖς τῶν δραμάτων ἐτερατεύετο. καὶ Ἀριστοφάνης Βατράχοις· ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε ἐν ταῖς τραγῳδίαις ἐτερατεύετο.

α 3518 Ἀποσείομαι· αἰτιατικῇ.

α 3519 Ἀποσημήνασθαι: ἀφομοιοῦσθαι. καὶ Ἀποσημήνασα, φανερώσασα, ἐξειποῦσα. Ἰώσηπος· ἀποσημήνασα δὲ τοῖς ἄρχουσι τῶν Παλαιστηνῶν ἐνήδρευε στρατιωτῶν ἔνδον τινάς. Παλαιστῖνος δέ.

α 3520 Ἀποσιμῶσαι: τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προθεῖναι γυμνήν. Φίλιππος. Θουκυδίδης δὲ τὸ μετεωρίσαι τὰς ναῦς.

α 3521 Ἀποσιώπησις: σχήματος εἶδος· ὡς παρὰ Ἀριστοφάνει· ὦ μηδαμῶς. ἔστι δὲ καὶ παρὰ Δημοσθένει τὸ ὅμοιον. ἀλλ' ὦ τί ἄν σέ τις προσειπὼν ὀρθῶς προσείποι; εἰρηκότος γὰρ αὐτοῦ μηδαμῶς, εἶπεν, ὦ μηδαμῶς.

α 3522 Ἀπόσιτος: ἄσιτος, ἄτροφος. ὁ δὲ καὶ ἀπόσιτος ἡμέρας τε καὶ νύκτας δύο πολλάκις ἔμενε, καὶ ταῖς τοῦ Πάσχα ἡμέραις ἀπόσιτος ἦν, ὕδατι βραχεῖ ἀποζῶν. καὶ Ἀποσιτῶ, τὸ καταλιμπάνω τὸν σῖτον.

α 3523 Ἀποσκευαζόμενος: ἀποβαλλόμενος, ἀπορριπτῶν, ἀπογυμνῶν. ὁ δὲ γράφει παντὶ τρόπῳ τὸν Ἀλκιβιάδην ἀποσκευάσασθαι. καὶ Ἀποσκευαζόμενοι, ἀποτιθέμενοι βάρος καὶ ἀποβάλλοντες. ἐκ μεταφορᾶς τῶν διὰ τὴν ζάλην τῆς θαλάσσης ναυτῶν τὰ σκεύη νηὸς ἀπορριπτούντων. καὶ αὖθις· ἀποσκευάζονταί τε τὸν κίνδυνον, εἶναι Ῥωμαῖοι βεβαιωσάμενοι.

α 3524 Ἀποσκευάζοντες: ἀποφέροντες. καὶ γὰρ κινδυνεύσειν ἔμελλεν, εἰ μὴ φθάσας τὸ μειράκιον ἀποσκευάσαιτο. ἀντὶ τοῦ ἀποθοῖτο ἀνελών. καὶ Ἀποσκευάσαι τὴν τράπεζαν, καθαρὰν ποιῆσαι.

α 3525 Ἀποσκευάζομαι· αἰτιατικῇ.

α 3526 Ἀποσκευή: ἡ ἐπὶ τῶν ἐπιτηδείων κομιδὴ, τὸ παρ' ἡμῖν λεγόμενον τοῦλδον. τὰ σαγμάρια. μετὰ δὲ τὰς δυνάμεις πάσας συνέταξε τούτοις καὶ τὴν ἀποσκευὴν, ἵνα πρὸς τὸ παρὸν εὐπορῶσι τῶν ἐπιτηδείων. πρὸς γὰρ τὸ μέλλον ἀφροντίστως εἶχε περὶ τῶν σκευοφόρων λογιζόμενος ὡς, ἐὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἅψηται τῆς πολεμίας, ἡττηθεὶς μὲν οὐ προσδεήσεται τῶν ἀναγκαίων, κρατῶν δὲ τῶν ὑπαίθρων οὐκ ἀπορήσει τῶν ἐπιτηδείων.

α 3527 Ἀποσκλαίη: ἀποθάνοι. καὶ Ἀποσκλῆναι, ἀποθανεῖν.

α 3528 Ἀποσκιρτᾷ: ἀποπηδᾷ.

α 3529 Ἀποσκοπιεῖσθαι λέγουσιν, οὐ σκοπεύειν.

α 3530 Ἀπὸ σκοποῦ: μάτην, ἢ περιττῶς, ἢ ἐναντίως.

α 3531 Ἀποσκορακίζει: εὐτελίζει, ἐξορίζει, διώκει. οἱ δὲ εἶπον ἀντὶ τοῦ ἀπορρίψει. Δαβίδ· βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με. ἀπὸ ἱστορίας· τὸ γὰρ ἐς κόρακας ὕβρις ἦν παρὰ τοῖς παλαιοῖς.

α 3532 Ἀποσκυδμαίνω: ὀργίζομαι.

α 3533 Ἀποσκυθίσαι: κυρίως μὲν τὸ ἐπιτεμεῖν τὸ ἐπικεφάλαιον δέρμα σὺν θριξί, καταχρηστικῶς δὲ τὸ ἀποκεῖραι.

α 3534 Ἀποσμήχει· αἰτιατικῇ. ἀποκαθαίρει.

α 3535 Ἀποσμιλεύουσι: τῇ σμίλῃ ξέουσιν, ἐκκαθαίρουσι. καὶ Ἀποσμιλεύματα, τὰ τῇ σμίλῃ ἐκβαλλόμενα ἀποξύσματα. ἵνα μὴ εὐθύνας ὑπόσχωσι τοῖς πανδέκταις, τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα.

α 3536 Ἀποσοβεῖ· αἰτιατικῇ. ἀποδιώκει. ὁ δὲ ἀνέστη ὡς ἀποσοβήσων τῆς κεφαλῆς αὐτὸν ἐπιπετόμενον. καὶ Ἀποσοβῶμεν, ἀποτρέχωμεν. Μένανδρος.

α 3537 Ἄποσον: τὸ ἄμετρον. Ἄπωσον δὲ διὰ τοῦ ω μεγάλου, τὸ ἔκπεμψον.

α 3538 Ἀποσπάδας καὶ Ἀποσπάδοντας: ἀποσπάδας μὲν τοὺς ἀποσπασθέντας, ἀποσπάδοντας δὲ τοὺς ἐκκοπέντας.

α 3539 Ἀποσπάσας· ὁ δὲ καὶ ἐντεῦθεν ἀποσπάσας ἔξαινε κατ’ αὐτοῦ πληγάς. καὶ Ἀποσπάσαι.

α 3540 Ἀποσπεύδοντας. κωλύοντας. καὶ Ἀποσπευδούσης, κωλυούσης, ἐμποδιζούσης. ἀποσπευδούσης δὲ καὶ τῆς γυναικὸς καὶ τῶν παίδων· καὶ γὰρ οὗτοι συνῆσαν αὐτῷ. ὁ δὲ τὴν Ἑλένην ἀπέσπευδε τοὺς Τρῶας ἀποδοῦναι.

α 3541 Ἀποσποδῆσαι: ἀφανίσαι. ἀπὸ τῆς σποδοῦ. αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποκροῦσαι καὶ ἀφανίσαι, τυπτόμενον ἐκβαλεῖν. Ἀριστοφάνης Ὄρνισιν· ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

α 3542 Ἀπόσπονδον: ἐχθρὰν, μισητήν. Πισίδης· ταύτην ἀφέντες τὴν ἀπόσπονδον μέθην καὶ πᾶσαν ἰλὺν ἀλλοφύλων ᾀσμάτων.

α 3543 Ἀποσπουδάζων: παυόμενος τῆς σπουδῆς, ἀμελῶν.

α 3544 Ἀποσπώντων· γενικῇ. βιαίως ἑλκόντων. αἱ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν, βαρβάρου πικρῶς ἐγκειμένου, καὶ τῶν δορυφόρων ἀποσπώντων κἀκείνων ἀπρὶξ ἐχομένων, διασπᾶται ὁ κατὰ τοῦ τραχήλου ὅρμος.

α 3545 Ἀπόστα· οὐ μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ παράστα. Μένανδρος Παιδίῳ· ἐνταῦθ’ ἀπόστα μικρόν. Δὶς ἐξαπατῶντι· ἐμοὶ παράστα· τὴν θύραν κόψας ἐγὼ καλῶ τιν’ αὐτῶν.

α 3546 Ἀπόστασις: ἀποχώρησις ἐκ διαστήματος. Πολύβιος· οὐδενὸς ἐπεγνωκότος τῶν πολιτῶν τὸ συμβαῖνον διὰ τὴν ἀπόστασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως. Ἀπόστασις καὶ ἡ Ἀποστασία ἀπό τινος πρός τινα. ὁ δὲ ἀμείβεται τὸν εὐεργέτην ἀποστάσει. καὶ Ἀποστασίου δίκη, ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀποστῶσι τῶν ἀπελευθερωσάντων. Ἀποστασίου δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνται ἀπ’ αὐτῶν ἢ προστάτην ἕτερον ἐπιγράφωνται, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως λοιπὸν ἐλευθέρους. Ἀποστασίου δίκη· ὅταν δοῦλος ὑπὲρ

ἐλευθερίας ἐνίσταται, φάσκων μὴ προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιποιουμένοις. Ἀπροστασίου δέ· τῶν μετοίκων ἕκαστος προστάτην ἔχουσι κατὰ νόμον ἕνα τῶν ἀστῶν, καὶ δι’ αὐτοῦ τό τε μετοίκιον τίθεται κατὰ ἔτος καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις δοκῶν εἶναι μέτοικος προστάτην μὴ ἔχῃ ἢ μὴ δῷ τὸ μετοίκιον ἢ ἀστὸς εἶναι φάσκῃ παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βουλόμενος δίκην εἰσάγει πρὸς αὐτὸν, ἥτις λέγεται ἀπροστασίου.

α 3547 Ἀποστατήσω· γενικῇ. ἀποχωρισθῶ. Ἀρριανός· ἀποστατήσω οὐδὲ ἐγὼ τοῦ ἔργου. καὶ αὖθις· οὐκ ἔστιν ὅστις ἀποστατῆσαι τοῦ τείχους ἐλέγετο.

α 3548 Ἀποσταυροῦντες: σταυροῖς περικλείοντες. κύκλῳ τὸ νησίζον τῆς χερρονήσου ὠχύρουν ἀποσταυροῦντες καὶ περιχαρακοῦντες.

α 3549 Ἀποσταίην: μακρὰν γενοίμην.

α 3550 Ἀποστέγειν· μήτε μὴν τειχῶν ἔχειν περίβολον, οἷον ἀποστέγειν καὶ ἀναστέλλειν τοὺς πολεμίους καρτερόν. οἷον ἀπερύκειν, κωλύειν.

α 3551 Ἀποστέλλω· δοτικῇ.

α 3552 Ἀποστεροῦμαι· γενικῇ. ἔστι δὲ καὶ αἰτιατικῇ Ἀποστερῶ.

α 3553 Ἀποστέρησις: τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν. καὶ ὅταν ἐλεημοσύνην μὴ παράσχωμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολαζόμεθα.

α 3554 Ἀποστερητρίδα· Ἀριστοφάνης Νεφέλαις· οἴμοι· τίς ἂν δῆτ’ ἐπιβάλοι ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα; ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν καὶ τοῦ ἀρνεῖσθαι τοὺς δανειστάς. τὸ δὲ ἀποστερητρίδα, ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον.

α 3555 Ἀποστέρξας· αἰτιατικῇ. καρτερικῶς ὑπομείνας. ὁ δὲ τροφὴν οὐ προσέμενος, ἀλλ’ ἀποστέρξας εὐγενῶς τὸν βίον κατέστρεψεν.

α 3556 Ἀπόστηθι: ἀποχώρει. καὶ Ἀποστῆναι, ἀποχωρισθῆναι. τὸ γὰρ ἀποστῆναι χαλεπὸν ἀεὶ φύσεως, ἣν ἔχει τις ἀεί. καίτοι πολλοὶ ταῦτ’ ἔπαθον· ξυνόντες γνώμαις ἑτέρων μετέβαλον τοὺς τρόπους.

α 3557 Ἀποστῆναι· γενικῇ.

α 3558 Ἀποστησάμενον: ἀντὶ τοῦ πρὸς σταθμὸν παραλαβόντα Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. καὶ Ἀποστήσονται, οἷον σταθμῷ λάβωσιν ἴσον. καὶ Ἀποστήσασθαι, ἀποδοῦναι χρέος.

α 3559 Ἀποστολαί: ἀποπέμψεις, δῶρα. καὶ Ἀπόστολος, ὁ ἀποστελλόμενος μετὰ στρατιᾶς εἰς πόλεμον παρασκευῆς. τῶν δὲ πλοίων τὰ μὲν συντριβόμενα ταῖς ἀποστολαῖς. τουτέστι ταῖς ἀποπέμψεσι. καὶ Ἀποστελλόμενοι· οὐ μόνον οἱ πεμπόμενοι ἐκ προσταγμάτων τῶν ἀπολυόντων, ἀλλὰ καὶ οἱ παραπεμπόμενοι ἀποδημεῖν μέλλοντες, ἀποστελλόμενοι ἐλέχθησαν. καὶ Ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι. Ἀπόστολοι δὲ αἱ τῶν νεῶν ἐκπομπαί. οὕτως Δημοσθένης, τὸ μὲν ἐν τῷ ὑπὲρ Κτησιφῶντος, τὸ δὲ ἐν α′ Φιλιππικῶν.

α 3560 Ἀποστολικὴ πολιτεία: τουτέστιν ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός. ἀγγαρευόμενος προστίθει. τυπτόμενος ἐπίβαλλε. ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, διωκόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, συσταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν κύριον.

α 3561 Ἀποστοματίζειν: ἀπὸ μνήμης λέγειν. καὶ Ἀπὸ στόματος, ἄνευ γραμμάτων. ὁ δὲ κελεύει ἀπὸ στόματος φράζειν τοῖς ἡγεμόσι τῶν Μάρδων. καὶ Ἀπὸ στόματος, ὡς ἡμεῖς τὸ μὴ διὰ γραμμάτων, ἀλλ’ ἀπὸ μνήμης. Φιλήμων Νεμομένοις· ἀπὸ στόματος ἅπαντ’, ἐὰν βούλησθ’, ἐρῶ. Κρατῖνος δὲ ταυτὸ τοῦτ’ ἀπὸ γλώττης, Νόμοις· ἀλλὰ, μὰ Δί’, οὐκ οἶδ’ ἔγωγε γράμματ’ οὐδ’ ἐπίσταμαι, τὰ ἄλλα ἀπὸ γλώττης φράσω σοι· μνημονεύω γὰρ καλῶς. Θουκυδίδης ζ′· καὶ

ἥκοντες εἰς τὰς Ἀθήνας οἱ ἀπὸ τοῦ Νικίου, ὅσα τε ἀπὸ γλώττης εἴρητο αὐτοῖς εἶπον. Πλάτων Θεαιτήτῳ· ἀτὰρ τίνες ἦσαν οἱ λόγοι; ἔχοις ἂν διηγήσασθαι; οὐ μὰ τὸν Δί' οὔκουν, οὔγε ἀπὸ στόματος, ἀλλ' ἐγραψάμην μὲν τοῦτ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα. καὶ Ἀποστοματίζειν φασὶ τὸν διδάσκαλον, ὅταν κελεύῃ τὸν παῖδα λέγειν ἄττα ἀπὸ στόματος.

α 3562 Ἀποστομοῦν: ἀποφράττειν. προέθετο τὰς διώρυγας ἀποστομοῦν τὰς ἐπιφανεστάτας.

α 3563 Ἀποστρακισθῆναι· αἰτιατικῇ. ἐξορισθῆναι. ἐν ὀστράκοις γὰρ τὸ πρὶν ἐγράφοντο αἱ ἐξορίαι. ὅτι ἀποστρακισθῆναί φασι Κίμωνα τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθέντα ὑπὸ Ἀθηναίων. ἀντὶ τοῦ ἐξορισθῆναι.

α 3564 Ἀποστρέφομαι· αἰτιατικῇ.

α 3565 Ἀποστροφή: ἀντὶ τοῦ καταστροφή.

α 3566 Ἀποστυγοῦντες: μισοῦντες. Ἰώσηπος· Ἀντίοχος ἀποστυγήσας. Φαβρίκιος ἡγεμὼν καθίσταται τοῦ πρὸς τὸν Πύρρον πολέμου. ἀντικαθεζομένων γὰρ ἀλλήλοις τῶν στρατοπέδων, νύκτωρ φυλάξας τις ὡς τὸν Φαβρίκιον ἀφικνεῖται δηλητηρίῳ φαρμάκῳ ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος, ἥν τις δοθείη πρὸς αὐτοῦ χρημάτων ὠφέλεια. ὃν ὁ Φαβρίκιος ἀποστυγήσας τῆς ἐπιχειρήσεως ἀποπέμπει τῷ Πύρρῳ δέσμιον. ἀγασθεὶς δὴ τὸ πραχθὲν ὁ Πύρρος ἀναβοῆσαι λέγεται· οὗτός ἐστι καὶ οὐκ ἄλλος Φαβρίκιος, ὃν δυσχερέστερον ἄν τις παρατρέψοι τῆς οἰκείας ἀρετῆς ἢ τῆς συνήθους πορείας τὸν ἥλιον.

α 3567 Ἀποσυκάζεις: συκοφαντεῖς, δοκιμάζεις. ἀποσυκάζειν γὰρ τὸ τὰ πέπειρα σῦκα διαλέγειν. διόπερ προσέθηκε, πιέζων. ἐκθλίβοντες γὰρ δοκιμάζομεν τὰ σῦκα, εἰ πέπειρά ἐστιν ἢ μή. ἐπεὶ τοίνυν συκάζειν λέγεται καὶ τὸ συκοφαντεῖν καὶ τὸ σῦκα κλέπτειν, ἅπαξ εἰπὼν τὸ συκάζεις, ἐπήνεγκε τὸ πιέζων, ἅμα μὲν ὡς ἐπὶ σύκων, ἅμα δὲ ἐπεὶ καὶ αὐτὸς θλίβει τοὺς συκοφαντουμένους· καὶ πιέζει δωροδοκῶν καὶ διασείων τοὺς ὑπευθύνους, τουτέστι τοὺς μὴ λογισμοὺς προσεσχηκότας τῆς ἀρχῆς, ἧς ἐπιστεύθησαν. ἐχρήσατο οὖν τῇ λέξει, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις ἦν τὰ σῦκα, καὶ εἴ τις διεβλήθη κλέπτων σῦκα ἐκολάζετο. φαίνειν δὲ ἔλεγον καὶ τὸ κατηγορεῖν.

α 3568 Ἀποσυστῆσαι: οὐδὲν πλέον τοῦ συστῆσαι σημαίνει.

α 3569 Ἀπόσσυτος καὶ Ἀπέσσυτο· σεύω τὸ ὁρμῶ, καὶ σύω, ἀφ' οὗ τὸ σῦμι, ὅθεν καὶ τὸ ἔσσυτο καὶ ἀπέσσυτο καὶ ἀπόσσυτος.

α 3570 Ἀποσφαλείς: παρατραπεὶς, ὀλισθήσας, τῆς εὐθείας ἐκτραπείς.

α 3571 Ἀποσφαλμήσας: ἀποπηδήσας, ἀποσκιρτήσας. Πολύβιος· ὁ δὲ ἵππος ἀπὸ τῆς πληγῆς ἀποσφαλμήσας ἐφέρετο ῥύδην διὰ τοῦ μεταξὺ τόπου τοῦ στρατοπέδου. ἢ ἀντὶ τοῦ σφαλείς. καὶ ἀλλαχοῦ· ὁ δὲ ἵππος ὁ τοῦ Σκιπίωνος ἐδυσχρήστησε μὲν ἀπὸ τῆς πληγῆς, οὐ μὴν ὁλοσχερῶς ἐσφάλμησε. διόπερ ὀρθὸς ἀπέπεσεν ἐπὶ τὴν γῆν ὁ Σκιπίων. Πολύβιος.

α 3572 Ἀπὸ σφείων: ἀφ' ἑαυτῶν.

α 3573 Ἀποσφήλωσις: ἡ ἀποτυχία.

α 3574 Ἀποσφύδου καρτερεῖν.

α 3575 Ἀποσχεδιάζειν: εἰκῇ καὶ παραχρῆμα λέγειν. καὶ Ἀποσχεδιάσας, συντομεύσας, ἢ ψευσάμενος. καὶ Ἀποσχεδιάζουσιν, ἀντὶ τοῦ ἐκ τοῦ παρατυχόντος λέγουσιν. καὶ μέντοι ὠμοτάτην κατὰ τῶν αἰχμαλώτων ἀποσχεδιάζουσι ψῆφον καὶ πάντας ἀνεῖλον ἄρρενάς τε καὶ θηλείας· τοὺς δὲ παῖδας διέσῳζον διὰ τὸ ἄωρον τῆς ἡλικίας.

α 3576 Ἀπόσχῃ: αὐθυπότακτον. ἀντὶ τοῦ ἀποσχέσθαι ποιήσεις.

α 3577 Ἀποσχῆναι: ἀπενεχθῆναι.

α 3578 Ἀποσχίζω· γενικῇ. καὶ Ἀπόσχω· γενικῇ.

α 3579 Ἀποσχοινίσαντες: ἀποστερήσαντες.

α 3580 Ἀποταμιεύεται: ἀποκλείει.

α 3581 Ἀπόταξις: τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑπηρετεῖν τὸν ὡρισμένον φόρον. Ἀντιφῶν ἐν τῷ ὑπὲρ τοῦ Σαμοθρᾳκῶν φόρου.

α 3582 Ἀποτάσσομαι· δοτικῇ.

α 3583 Ἀποταυρούμενος: θρασυνόμενος.

α 3584 Ἀπόταφος: ὁ ἀπεστερημένος τῶν προγονικῶν τάφων. οὕτως Δείναρχος.

α 3585 Ἀποτάτω· πορρωτάτω. διὰ τοῦ ω μεγάλου. καὶ ζήτει εἰς τὸ ω μέγα.

α 3586 Ἀποτεθρίακεν: ἀντὶ τοῦ ἔτιλεν, ψιλὸν εἰργάσατο. κυρίως δὲ ἀπεφύλλισε συκᾶς· θρία γὰρ τὰ φύλλα τῆς συκῆς. Ἀριστοφάνης· τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν; Ὀδόμαντες δὲ ἔθνος Θρᾳκικόν. ἐλεαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα καὶ ἀποσεσυρμένα εἶχον αὐτά. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. καὶ Ἀποτεθρυωμένοι, ἀπηγριωμένοι. εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν τεθρύων, ἅπερ ἐστὶν ἄγρια καὶ ἄγονα φυτά.

α 3587 Ἀποτέλειοι: οἱ κατὰ πόλεις ἡγεμόνες τῶν Ἰουδαίων.

α 3588 Ἀποτέμνω· αἰτιατικῇ. τὸ ἀποκόπτω.

α 3589 Ἀποτεμεῖται: ἀποχωρίσειεν.

α 3590 Ἀποτετικέναι: ἀποδοῦναι.

α 3591 Ἀποτεύξασθαι: ἀποτυχεῖν.

α 3592 Ἀποτείνεται· αἰτιατικῇ. ἐκτείνεται, φιλονεικεῖ.

α 3593 Ἀποτειχίζων: ἀποφράσσων. ἀποτειχίσας δὲ τὴν γαστέρα οὐδενὶ τῶν φαρμάκων ἔτι εἰμὶ ἁλώσιμος, οὐδ᾽ ἂν ἄδην ἐμφορῶμαι τοῦ φαρμάκου. καὶ Ἀποτειχίσαι, τὸ λαβεῖν τειχίον, καὶ ἀποτειχίσαι καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. καὶ Ἀποτετειχισμένος, ὁ ἀπειλημμένος, ὁ ἀποκεκλεισμένος τῷ τείχει. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης. καὶ Ἀποτείχισις, ἡ τῶν τειχῶν ἀφαίρεσις.

α 3594 Ἀπὸ τῆς ἴσης· Θουκυδίδης· οὐδ᾽ αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατιὰς ἐποιοῦντο. οἷον ἀπὸ τῆς ἰδίας ἕκαστος οὐσίας τὸ φθάνον.

α 3595 Ἀποτίθημι καὶ Ἀποτίθεμαι· αἰτιατικῇ.

α 3596 Ἀποτίμησιν: τέλος, ἢ φόρον.

α 3597 Ἀποτιμηταὶ καὶ Ἀποτίμημα καὶ Ἀποτιμᾶν καὶ τὰ ἀπ᾽ αὐτῶν. οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο· ἔδει δὲ τὸν ἄρχοντα πέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα. καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταὶ, τὸ δὲ ἔργον ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ δόντες ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον, οἰκίαν ἢ χωρίον ταύτης ἄξιον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων, ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος δευτέρῳ.

α 3598 Ἀπότιμος: οὕτως Σοφοκλῆς ἀπότιμον θεὸν τὸν λοιμόν, τουτέστι τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν. θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους· ὁ δὲ φθείρει καὶ ἀπόλλυσιν.

α 3599 Ἄποτις, ἀπότιδος.

α 3600 Ἀποτίσεις χοῖρε γίγαρτα: οἷον ὧν κατέφαγες ἀποδώσεις πλείονα. ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων.

α 3601 Ἀποτολμᾷ· αἰτιατικῇ.

α 3602 Ἀποτομία: τραχύτης, ἐναντίωσις. οἱ δὲ διὰ τὴν ἀποτομίαν τῆς ἀποκρίσεως οὐ τὸ τυχὸν δέος εἶχον περὶ αὑτούς. καὶ Ἀπότομον, σκληρόν.

α 3603 Ἄποτον· ζήτει ἐν τῷ ἄγευστος θοίνης.

α 3604 Ἀπὸ τουδί: ἀπὸ τοῦ νῦν. Ἀριστοφάνης Νεφέλαις.

α 3605 Ἀπὸ τοῦ κρατίστου: μετὰ δυνάμεως. ἅτε πεπειθαρχηκότων Καρχηδονίων ἀπὸ τοῦ κρατίστου πᾶσι τοῖς ἐπιταττομένοις. καὶ Πολύβιος· καὶ τὸ μὲν παλαιὸν ἀπὸ τοῦ κρατίστου ἐγίνετο παρὰ Ῥωμαίοις ἡ μοναρχία· ἐν δὲ τοῖς καθ’ ἡμᾶς πολλαὶ ὁδοὶ εὕρηνται.

α 3606 Ἄπο τοῦ πράγματος: ἀντὶ τοῦ ἄποθεν.

α 3607 Ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας: τουτέστι τὴν φρόνησιν αὐτῶν ἀφελόμενος.

α 3608 Ἀπὸ τῶν οὐχ ὁμοίων: ἐξ ἀνομοίων. ἀμυνόμενοι ἀπὸ τῶν οὐχ ὁμοίων ὅπλων ὅμως τῇ οἰκείᾳ ἀλκῇ θαρροῦντες.

α 3609 Ἀποτραχηλίζοντες: ἀπάγχοντες. Εὐνάπιος· καὶ οἱ μὲν αὐτοὺς διέφθειρον σχοίνοις ἀποτραχηλίζοντες. καὶ αὖθις· οὐ μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν ὑμᾶς τοῦ σκέλους λαβών τις ἐκτραχηλίσῃ.

α 3610 Ἀποτραχύνεται: θρασύνεται.

α 3611 Ἀποτρέπω· αἰτιατικῇ.

α 3612 Ἀποτρέχει τοῦ ἐπιτρέχειν διαφέρει.

α 3613 Ἀποτρίβω· αἰτιατικῇ· καὶ Ἀποτρίβεσθαι· αἰτιατικῇ.

α 3614 Ἀπότριψις, μέλλησις, ἀπάγγελσις, ἀγώνισις, προάγγελσις, τέκμαρσις, κάθεξις, πλάνησις, διάφευξις, ἐφόρμησις, ὅπλισις, ξένισις, κούφισις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρπασις, γυναίκισις, λάλησις, ὁμοιοκατάληκτα ὀνόματα. καὶ Ἀποτριβόμενος, ἀντὶ τοῦ ἐμποδίζων, ἀπείργων. ὁ δὲ Ἀννίβας ἐν κακοῖς ὢν ἔμενε τοὺς πολεμίους ἀποτριβόμενος.

α 3615 Ἀποτρόπαιοι: φευκτοὶ, μισεῖσθαι ἄξιοι· ἢ ἀποτρέποντες τὰ κακά. οὕτω γὰρ ἐδόκουν ἀποτρόπαιοί τινες εἶναι καὶ ἀλεξίκακοι.

α 3616 Ἀποτροπιαζόμενοι: ἀποτρεπόμενοι καὶ ἀποστρεφόμενοι καὶ μισοῦντες. εἰώθασι τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. καὶ Ἀποτροπίασμα, ἐξίλασμα, ἀποτρέπον τὰ μὴ προσήκοντα. ἢ τὸ ἀποτροπῆς ἄξιον, οἷον ἀποτρόπαιον.

α 3617 Ἀποτρόφους: τοὺς μὴ ὄντας τροφίμους τῆς φιλοσοφίας.

α 3618 Ἀπότρωκτον· ἄλφιτον· τοῦτο δέ φασι τὸ ἀπότρωκτον πρῶτον εὑρεῖν Ἐπίχαρμον.

α 3619 Ἀποτρύειν· Σοφοκλῆς· οὐκ ἀποτρύειν ἐλπίδα τὴν ἀγαθὴν χρῆναί σε, ἀνάλγητα γὰρ οὐδ’ ὁ πάντα κραίνων βασιλεὺς ἐπέβαλε θνητοῖσι Ζεύς.

α 3620 Ἀποτυμπάνισον: ἀνηλεῶς τι φόνευσον. ζήτει ἐν τῷ τυμπανίζεται.

α 3621 Ἀποτύχω· γενικῇ. καὶ Ἀποτυγχάνω· γενικῇ.

α 3622 Ἀπ’ οὔατος ἄγγελος ἔλθοι: παρὰ Καλλιμάχῳ. τουτέστι δύσφημος, μὴ ἄξιος τοῦ μὴ ἀκουσθῆναι.

α 3623 Ἀπουργοὶ γωνίαι: εὐτελεῖς, εἰς ἃς τὰ σαρώματα συνῆγον.

α 3624 Ἀπουρία: ἡ ἐξ ἀνίσων γάμων σπορὰ, ἀπὸ δούλης ἢ δούλου γεννωμένη.

α 3625 Ἀπουρώσαντας· Πολύβιος· τότε μὲν ἐς τὴν Μυνδίαν ἀπουρώσαντας καθορμισθῆναι. μὴ χρωμένους οὐρίῳ πνεύματι.

α 3626 Ἀπουσιάσει· ὁ δὲ εἰς τὴν ἑαυτοῦ θυγατέρα ἀπουσιάσει. τῆς οὐσίας μέρος δώσει.

α 3627 Ἀποφαντικός: σημαίνει κυρίως τὸν ἐκφαίνοντά τι νόημα, εἴτε διὰ καταφάσεως εἴτε δι’ ἀποφάσεως. σημαίνει δὲ ἰδικῶς καὶ τὸν μὴ συγκατατιθέμενον.

α 3628 Ἀποφαντόν· ἢ καταφαντόν. ζήτει ἐν τῷ ἀξίωμα.

α 3629 Ἀπόφασις: Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖται δὲ αὐτὸ καὶ ἀπογραφή.

α 3630 Ἀποφάσκει: ἀπαγορεύει ἢ ἀποφαντικῶς λέγει τι.

α 3631 Ἀποφαίνει: φανεροποιεῖ. Ἀποφένει δὲ διὰ τοῦ ε ψιλοῦ, ἀντὶ τοῦ φονεύει.

α 3632 Ἀποφέρειν: ἀποδιδόναι. Ἀριστοφάνης· καὶ ταῦτ’ ἀποφέρειν πάντα, κοὐκ ἀποστερεῖν. τὰ δεδανεισμένα.

α 3633 Ἀποφεύγειν· αἰτιατικῇ. καὶ Ἀποφυγγάνειν· ἐν τῷ κατὰ Ἀριστοκράτους Δημοσθένης.

α 3634 Ἀπόφημι: ἀποφαίνομαι. καὶ Ἀποφῆναι, ἀποδεῖξαι.

α 3635 Ἀπόφημον: δύσφημον. ἡ γλῶττα ἡ ἀπαίδευτος καὶ ἀμαθὴς τῇ τε ἄλλῃ καὶ ταύτῃ ἐπίσπαστα παλαμᾶται, καὶ μέντοι καὶ ἐς τὸ ἀπόφημόν τε καὶ βλάσφημον κατολισθάνει.

α 3636 Ἀποφθεγγόμενος: μαντευόμενος.

α 3637 Ἀποφθέγματα Χρυσίππου ἀπόρρητα· ζήτει ἐν τῷ Χρύσιππος.

α 3638 Ἀποφθίμενον: ἀποθανόντα. δέξαι μ’ ἀποφθίμενον τὸν κύνα Διογένη. καὶ Ἀποφθίσειεν, ἀνελεῖν, θανατῶσαι. Τεῦκρός φησι πρὸς τὸν νεκρὸν τοῦ Αἴαντος· εἶδες, ὡς χρόνῳ ἔμελλέ σ’ Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;

α 3639 Ἀποφορᾶν: ἀντὶ τοῦ ἀπενεγκεῖν καὶ διάστημα ποιῆσαι μεταξύ. οὕτως Ἰσαῖος. καὶ Ἀποφορὴ παρὰ Ἡροδότῳ, ἡ τελουμένη παρὰ τῶν δούλων τοῖς δεσπόταις.

α 3640 Ἀποφορτίσασθαι: ἀποβαλεῖν φορτίον.

α 3641 Ἀποφώλιοι: ξένοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες.

α 3642 Ἀποφράδες ἡμέραι: ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρουσιν. ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. Ἀππιανός· μέγα τοῦτο Ῥωμαίοις πάθος ἐγένετο καὶ πλήθους ἕνεκα καὶ ἀξιώματος εὐγενοῦς οἴκου καὶ πανωλεθρίας. καὶ τὴν ἡμέραν ἀποφράδα τίθενται. ἢ Ἀποφράδες, μιαραὶ ἡμέραι, μάλιστα ἐν αἷς τὰ ἐναγίσματα.

α 3643 Ἀποφοιβάζων: ἀποκαθαίρων. ἢ χρησμῳδῶν, μαντευόμενος.

α 3644 Ἀποφροντίζω· αἰτιατικῇ.

α 3645 Ἀποφοιτᾶν: ἀποπηδᾶν, ἀναχωρεῖν.

α 3646 Ἀποφυσήσας τὴν σποδὸν τῶν ἐγκρυβομένων ὠπτημένων. Σφηξὶν Ἀριστοφάνης· κᾄπειτ’ ἀνελών μ’ ἀποφυσήσας εἰς ὀξάλμην ἔμβαλε θερμήν.

α 3647 Ἀποχετεύονται: μεταφέρονται.

α 3648 Ἀποχειροβίων: τῶν ἐκ χειρῶν ζώντων καὶ ταῖς τέχναις προσκαθημένων.

α 3649 Ἀποχειροτονηθῆναι· γενικῇ. ἀποστραφῆναι, ἀποδοκιμασθῆναι. Ἀριστοφάνης· σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ ἐκκλησίᾳ. ἐπὶ Κλεωνύμου γὰρ πρεσβευσαμένων Λακεδαιμονίων ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ, ἀντειπόντος Κλέωνος. καὶ αὖθις· ὁ δὲ Φιλιππικὸς ἀποχειροτονεῖται παραυτίκα καὶ Κομεντίολον ὁ βασιλεὺς στρατηγὸν ἀνίστησιν.

α 3650 Ἀποχώρησις: ἀντὶ τοῦ ἀποστροφή.

α 3651 Ἀποχωρίζομαι· γενικῇ. καὶ Ἀποχωρῶ· γενικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3652 Ἀποχρᾶν: ἐξαρκεῖν. Ἡρόδοτος. καὶ Ἀποχρῶν, ἐξαρκοῦν. τοῖς τε ἄλλοις ἐπάρας, καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὑτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς. καὶ Ἀποχρώσης, ἀρκούσης.

α 3653 Ἀπόχρη· δοτικῇ. ἀρκεῖ.

α 3654 Ἀποχρησάμενος· τῶν βαρβάρων ἐξαίτησιν σπονδῶν ποιησαμένων, ὧν μεταδοὺς, οὐκ ἀποχρησάμενος τοῖς προτερήμασι, μεγίστην παρὰ τοῖς βαρβάροις δικαιοσύνης ἀπέλειπε δόξαν. ἀντὶ τοῦ οὐ κατεπαρθείς. καὶ αὖθις· οἱ δὲ περὶ Πόπλιον ἠπείγοντο σπεύδοντες συνάψαι καὶ συναποχρήσασθαι ταῖς τῶν βαρβάρων ὁρμαῖς.

α 3655 Ἀποχρώντως: αὐτάρκως. ἱκανῶς. Ἀριστοφάνης Ταγηνισταῖς· ἀλλὰ στεφάνωσαι. καὶ γὰρ ἡλικίαν ἔχεις ἀποχρῶσαν ἤδη. ὁ δὲ ἦν δεινὸς ἀνὴρ καὶ παιδείας ἀποχρώντως ἔχων.

α 3656 Ἀποψηφίζονται: Δείναρχος ἐν τῷ κατὰ Ἀρχεστράτου ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα δὲ Δημοσθένης ἀποψήφισιν καλεῖ.

α 3657 Ἀποψηφίζω· γενικῇ. ἀλλὰ νομίζεις ἡμᾶς ἀποψηφιεῖσθαί σου.

α 3658 Ἀποψηφισθέντα· εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον καὶ ἐκρίνετο ξενίας, καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος· εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. οὕτως Δημοσθένης· τίς γὰρ ὑμῶν οὐκ οἶδεν ἀποψηφισθέντα Ἀντιφῶντα; ζήτει ἐν τῷ διαψήφισις.

α 3659 Ἀποψοφιεῖν: τὸ πέρδεσθαι, εὐσχήμως λέγων. εὐσχημονέστερον δὲ διαπνεῖν καὶ ἀποπνεῖν.

α 3660 Ἀποψώμενον. καὶ Ἀποψώμεθα, καθαίρομεν τὴν πυγήν. Ἀριστοφάνης Πλούτῳ· ἀποψώμεθα δ' οὐ λίθοις ἔτι ἀλλὰ σκοροδίοις. τουτέστι τοῖς τῶν σκορόδων φύλλοις.

α 3661 Ἀποψύχειν: τὸ ἀποθνήσκειν ἐν πρώτῃ Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ ξηραίνειν. ὡς τό, ἀποψύχειν ἐν τῷ κλιβάνῳ λίνα τὰ ὑγρανθέντα.

α 3662 Ἀπώγωνες: οἱ μὴ ἔχοντες πώγωνα.

α 3663 Ἀπῳδὸν μέλος: τὸ μὴ ἀρέσκον. τὸ τῆς ᾠδῆς ἀλλότριον. καὶ Ἀπῳδός, ὁ κακόηχος, ὁ ἀπὸ τῆς ᾠδῆς.

α 3664 Ἄπωθεν: χωρὶς ἢ πόρρωθεν. Ῥουφῖνος δέ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε πόλεως Νισίβιδος οὐ μακρὰν ἄπωθεν.

α 3665 Ἀπώθησαν: ἐξέβαλον.

α 3666 Ἀπώθητον: τὸ ἐξωθούμενον. καὶ Ἀπωθοῦ, περισπωμένως ἀντὶ τοῦ ὤθησον. Ἀπόθου δὲ ἀντὶ τοῦ ἀποβαλοῦ, διὰ τοῦ ο μικροῦ.

α 3667 Ἀπῴκισμαι· γενικῇ.

α 3668 Ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ: ἐπὶ τῶν τὰ καλῶς πρότερον γενόμενα ὕστερον μικροῦ τινος ἕνεκεν κακοῦ ἀνατρεπόντων. ἢ ἐπὶ τῶν ἃ χαρίζονται δολούντων καὶ μὴ ἀκέραια παρεχομένων. αὕτη δὲ ἡ παροιμία γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὥς φησι Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

α 3669 Ἀπωλεύτων: ἄνευ πώλων. τὰ τέκνα αὐτῶν ἀθροίσαντες εἴς τινα ἅλω καὶ ἱππαγέλην ἐπελάσαντες ἀπωλεύτων, μάλα ἀνοίκτως ἀλοῶντες διέφθειραν.

α 3670 Ἀπώλεια: ἡ διαφθορά.

α 3671 Ἀπωλλύμην: παρατατικός. ἀπωλωλέκει.

α 3672 Ἀπώμοτον: ἀπηγορευμένον, φευκτόν· καὶ ἀποίητον. τί δ' ἔστ' Ἀθηναίοισι πρᾶγμα ἀπώμοτον; Εὔπολις ἐν ταῖς Πόλεσι. καὶ Ἀπώμοτον, ἀπὸ ὠμότητος μὴ γίνεσθαι, καὶ ἐξόμνυσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3673 Ἀπ’ ὤμοιϊν: ἀπὸ τῶν ὤμων.

α 3674 Ἀπώνατο: εὐεργετεῖτο, ὠφελεῖτο. Ἀγαθίας· ἀπώνατο οὖν τῆς προπετείας οὐκ ἐν καλῷ. περὶ Θευδέρτου λέγων τοῦ Φράγγων βασιλέως. καὶ Ἀπώνητο, ὠφελείας ἔτυχεν, ἀπήλαυσεν, ὠφελήθη. Αἰλιανός· οὐ μὴν ἀπώνητο οὐδὲν, ἀλλὰ ἐξέζεσε ζῶν κακοῖς θηρίοις, οἱ μὲν εὐλαῖς, οἱ δὲ ὅτι οὐ ταύταις, φθειρσί γε μήν.

α 3675 Ἀπωξύνθαι.

α 3676 Ἄπωσον: τὸ δίωξον, ὤθησον. καὶ Ἀπῶσμαι. κἀγὼ εἶπον ἀπῶσμαι.

α 3677 Ἀπωστός: ἐκδεδιωγμένος. καὶ Ἀπωστόν, τὸ ἀπωθητόν.

α 3678 Ἀπωτέρω: πόρρω. μακράν. ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων, ἀλλ’ αὐτὸς αὑτοῦ τοῦτ’ ἀποσκεδῶ μύσος. ὅστις γὰρ ἦν ἐκεῖνος ὁ κτανὼν, τάχ’ ἂν κἀμ’ ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι. τουτέστιν οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν, ἀλλὰ καὶ αὐτοῦ ἐμοῦ. ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας ἴσως κἀμοὶ ἐπιβουλεύσει. καὶ Ἀπώτερος, ὁ μακρότερος. Ἀπωτάτω, πόρρω, μάκραν, διὰ τοῦ ω μεγάλου.

α 3679 Ἀπωστός: ἐκδεδιωγμένος. Σοφοκλῆς· τέλος δ’ ἀπωστὸς γῆς ἀπορριφθήσομαι· Τεῦκρός φησιν Αἴαντος ἀναιρεθέντος. δοῦλος λόγοισιν ἀντ’ ἐλευθέρου φανείς. καὶ αὖθις· ἀπωστὸς πρότερον ὑπὸ Θησέως ἐξ Ἀθηνῶν γενόμενος. καὶ Ἀπωστόν, τὸ ἀπωθητόν.

α 3680 Ἀπραγμάτευτον: ἀνεπινόητον. δείσαντες οὖν τὸ ἀπραγμάτευτον, λυπρᾶς οὔσης αὐτῶν τῆς γῆς, καὶ πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες, ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον διαφθαρῆναι.

α 3681 Ἀπραγμόνως: ἐλευθέρως, ἄνευ τινὸς ἐξετάσεως. Ἰάμβλιχος· εἶτα ἐάσατε οὕτως ἀπραγμόνως ἀποθανεῖν.

α 3682 Ἀπραγμοσύνη: ἡ καταφρόνησις, ἡ ἀμέλεια. ὁ δὲ Ἰουστινιανὸς ἄδικον αὐτῶν ἀπεκάλει τὴν ἐς Κουτριγούρους ἀπραγμοσύνην. καὶ Ἀπραγμοσύνη, εἶδος ἄνθους. Ἀριστοφάνης Νεφέλαις· μίλακος ὄζων καὶ ἀπραγμοσύνης. ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ οὐ πολυπραγμονῶν. οἱ δὲ ὅτι ἀπραγμοσύνη φυτὸν ἐν Ἀκαδημίᾳ φυόμενον.

α 3683 Ἀπράγμων: ἄπονος. ἀπράγμονας δεῖ εἶναι τοὺς σπουδαίους, ἐκκλίνειν τε τὸ πράττειν τι παρὰ τὸ καθῆκον. καὶ οἰνωθήσεσθαι μὲν, οὐ μεθυσθήσεσθαι δέ. ἔτι δὲ οὐδὲ μανήσεσθαι· προσπεσεῖσθαι μέντοι αὐτῷ φαντασίας ἀλλοκότους διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν τῶν αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. Ἀπράγμων οὖν ἐπιεικὴς, μέτριος τοὺς τρόπους, οἷον οὐ φιλόνεικος, ἢ φιλοπράγμων. ἢ ἀνειμένος ἢ μωρός.

α 3684 Ἀπραγούντων: μηδὲν ἐνεργούντων. καὶ τὴν ἡσυχίαν ἀναγκαζομένων ἄγειν, ἀλλὰ καινοτομήσειν τι πάλιν κατ’ ἐκείνων.

α 3685 Ἄπρακτα: ἀνεκδίκητα, ἀτιμώρητα. ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γενέσθαι, ἐπείπερ οἱ θεοὶ ἀτιμώρητα αὐτὰ περιεῖδον ἐκ σφῶν γενόμενα.

α 3686 Ἀπραίδευτοι: τουτέστιν ἀζήμιοι.

α 3687 Ἀπριάτην: ἄνευ πράσεως.

α 3688 Ἀπρίξ: ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς. Ἀπρίξ, προσπεφυκότως, ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύμφυσιν.

α 3689 Ἀπροβούλευτον: τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ’ εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτως Δημοσθένης.

α 3690 Ἀπροθέτως: ἄνευ προθέσεως. Πολύβιος· τὰ μὲν οὖν ἀπροθέτως ἐν τοῖς πολεμικοῖς συμβαίνοντα πράξεις μὲν οὐδαμῶς ἁρμόζει λέγειν, περιπετείας δὲ συγκυρήσεις μᾶλλον.

α 3691

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπροϊδής: ἀπροόρατος. Ἄϊδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός. λέγεται καὶ Ἀπροϊδής, ὁ ἀπρόοπτος. ἐν Ἐπιγράμμασι· ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδρακεν· ἀπροϊδὴς δὲ ἐγκέφαλον πλήξας ἐξεκύλισε λίθῳ.

α 3692 Ἀπρόϊτος: ὁ τῆς οἰκίας μὴ ἐξερχόμενος.

α 3693 Ἀπροόπτως: ἀπροοράτως, ἀπροσδοκήτως. οἱ δὲ κατάσκοποι ὑπὸ τοῦ ἀπροόπτου ἁλίσκονται.

α 3694 Ἀπρόσβλητον: γενναῖον, ᾧ οὐδεὶς δύναται προσβαλεῖν. οὐκ ἔχοντα λόγον μεθοδικόν.

α 3695 Ἀπροσδεής: ὁ μηδενὸς ἐνδεής.

α 3696 Ἀπροσέλευστος: ἀπροσπέλαστος, ἀδιεξίτητος. τὸ γὰρ ἐξόπισθεν καὶ ἀπροσέλευστον ἦν διὰ τὸν παραρρέοντα ποταμόν.

α 3697 Ἀπροσήγορος ἄνθρωπος: ὃν οὐχ οἷόν τε προσαγορεῦσαι διὰ τρόπου τραχύτητα.

α 3698 Ἀπρόσιτος: ἀπροσπέλαστος. ἀπρόσιτον ἀκαταλήπτου διαφέρει. ἀκατάληπτον γάρ ἐστιν, ὅταν ἐρευνηθὲν καὶ ζητηθὲν μὴ καταληφθῇ παρὰ τῶν ζητούντων αὐτό· ἀπρόσιτον δέ ἐστιν, ὃ μηδὲ ἐρεύνης ἀνέχεται τὴν ἀρχήν. ἀκατάληπτον γὰρ πέλαγος καὶ τὸ βάθος, ἀπρόσιτον δὲ ὃ μηδὲ τὴν ἀρχὴν δυνατὸν ἐρευνηθῆναι, οἷον περὶ θεοῦ οὐσίας.

α 3699 Ἀπρόσκλητον: τὴν οὐ προσκεκλημένην. Ἀπρόσκλιτον δὲ τὸ ἀπροσπαθές.

α 3700 Ἀπρόσκοπος.

α 3701 Ἀπρόσμαχοι: ἀκαταγώνιστοι. καὶ Ῥωμαίους ἐν πεδίοις ἀναπεπταμένοις καὶ ἐν τῇ ἐκείνων οἰκείᾳ γῇ αἰσθέσθαι, ὅτι οὐκ ἀπρόσμαχοι εἶεν Πάρθοι.

α 3702 Ἀπρόσωπον: δυσειδὲς, κακόμορφον. ὁ δὲ πρὸς τὸ κέρδος ἀπιδὼν καὶ τυφλώττων πρὸς τὸ εὐσεβὲς, ἀπρόσωπον μὲν ὅσα ἰδεῖν, μικρὸν δὲ τὸ μέγεθος, λίθου δὲ μὴ κεκριμένης τὸ ἄγαλμα ποιεῖ. ἀντὶ τοῦ ἐκλελεγμένης.

α 3703 Ἀπροστασίου: εἶδός ἐστι δίκης κατὰ τῶν μὴ νεμόντων προστατεῖν ἔνοικον. καὶ γὰρ ἕκαστος αὐτῶν ἠρνεῖτό τινα τῶν πολιτῶν τὸν προστησόμενον αὐτῷ περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν. ζήτει ἐν τῷ ἀποστασίου.

α 3704 Ἀπρότων· Δείναρχος ἐν τῷ κατὰ Πυθέου· ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον. ἔν τισι δὲ ὥσπερ παρνόπων γέγραπται. οἱ δὲ πάρνοπες εἶδος ἀκρίδος.

α 3705 Ἄπροικον: τῇ προσῳδίᾳ ὡς ἄνθρωπον οἱ Ἀττικοί.

α 3706 Ἄπταιστος: ἀπρόσκοπος.

α 3707 Ἁπτέα: ἀντὶ τοῦ ἐπιχειρητέον. τούτῳ δὲ ἐδόκει ἁπτέα τοῦ ἔργου, πρὶν καὶ τῶν λοιπῶν ἐπαρθῆναι εἰς τὸ νεωτερίζειν τὰς γνώμας.

α 3708 Ἅπτεσθαι· γενικῇ. λαμβάνεσθαι. Ἅπτει καὶ τὰ ἄλλα τὰ ἐπὶ τοῦ ἐνεστῶτος χρόνου διὰ τοῦ ει λεγόμενα τῶν νεωτέρων μᾶλλον Ἀττικῶν ἐστιν.

α 3709 Ἀπτῆσι: τοῖς μὴ πετομένοις.

α 3710 Ἀπτοεπής: ἀπτόητος ἐν τῷ λέγειν.

α 3711 Ἁπτόν: ψηλαφητόν. Ἅπτων δὲ δεσμεύων. ἢ κρατῶν. ζήτει ἐν τῷ ἀντιτυπῆσαι.

α 3712 Ἄπτωτος: ὁ ἄφοβος.

α 3713 Ἀποίκησις: ἡ μετοίκησις. Ἀποικίζω δὲ τὸ ῥῆμα. καὶ Ἀποικίσαι, κτίσαι πόλιν ἐν ἐρήμῳ. καὶ Ἄποικοι, οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι. ἔποικοι δὲ ἐν πόλει παρὰ Θουκυδίδῃ.

α 3714 Ἀποικοδομεῖς: ἀντὶ τοῦ ἀποφράττεις. οὕτως Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα.

α 3715 Ἀποίμωξόν με τοῦ τριωβόλου τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται: ἀντὶ τοῦ ἀπόλωλα. καὶ Αἰσχύλος ἐν Μυρμιδόσιν· Ἀντίλοχον ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3716 Ἄποινα: λύτρα, ἃ δίδωσί τις ὑπὲρ φόνου ἢ σώματος. οὕτως Σόλων ἐν νόμοις.

α 3717 Ἄποιος: ὁ δίχα ποιοῦ. Ἄπυος δὲ διὰ τοῦ υ ψιλοῦ, ὁ δίχα ἕλκους.

α 3718 Ἀποίσετε: ἀπενέγκατε.

α 3719 Ἀποιχόμενα: παρερχόμενα. Ἀριστοφάνης· παῦε, παῦε. νεκρὸν γὰρ ὄντα ἐλοιδόρει. ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχομένους μὴ λοιδορεῖν.

α 3720 Ἀπύλωτον στόμα: ἀθύρωτον ἀλλ’ οὐκ ἀπύλωτον Ἀριστοφάνης ἐν Βατράχοις. καὶ Φρύνιχος. οἱ δὲ γράφοντες ἀπύλωτον ἀντὶ τοῦ ἠνεῳγμένον καὶ πύλην μὴ ἔχον, τουτέστι μὴ χαλιναγωγούμενον μηδὲ κρατούμενον.

α 3721 Ἄπυος: ὁ δίχα ἕλκους.

α 3722 Ἄπυρα σῖτα· ὁ δὲ παρήγγελε τοῖς Μακεδόσι τριῶν ἡμερῶν σῖτα παρασκευάζειν ἄπυρα. καὶ Ἄπυρος τροφή, ἡ δι’ ὀπώρας καὶ λαχάνων. ὁ δὲ Ζήνων ἀπύρῳ τροφῇ ἐκέχρητο καὶ τρίβωνι λεπτῷ. καὶ Ἄπυρος οἶνος, ὁ μὴ ἑφθός. καὶ ὁ ἀναδενδρίτης.

α 3723 Ἄπυστα: ἀνήκουστα. καὶ ἄπυστοι οἱ Ἀθηναῖοι ἀπὸ Θησέως.

α 3724 Ἀπφά: ἀδελφῆς καὶ ἀδελφοῦ ὑποκόρισμα. καὶ Ἀπφὺς ὑποκοριστικῶς, ὁ πατήρ, παπύς τις ὢν καὶ ἀπφύς.

α 3725 Ἀπφώ: ἀντὶ τοῦ καὶ νῦν.

α 3726 Ἀπφώ: ὃ σημαίνει τοῦ ἀποκρύφου ἢ τοῦ ἀποκρυβέντος. Ἑλισσαῖος ὁ Προφήτης φησί· ποῦ ἐστιν ὁ θεὸς Ἡλιοῦ Ἀπφώ. ἐπάταξε γὰρ τὰ ὕδατα τῇ τοῦ Ἡλιοῦ μηλωτῇ καὶ οὐ διῃρέθη.

α 3727 Ἆρα: συλλογιστικὸς σύνδεσμος. καὶ ἀντὶ τοῦ δὴ, καὶ ὡς ἔοικεν, καὶ ὡς φαίνεται. οὕτως Πλάτων.

α 3728 Ἄραβες: ὄνομα ἔθνους. καὶ Ἀραβίζω, τὰ τῶν Ἀράβων φρονῶ. Ἀράβησε δὲ ἀντὶ τοῦ ἤχησεν.

α 3729 Ἀράβιος ἄγγελος· Μένανδρος ἐν Ἀνατιθεμένῃ ἢ Μεσσηνίᾳ. παρὰ τὴν παροιμίαν, Ἀράβιος αὐλητής. Ἀράβιον ἆρ’ ἐγὼ κεκίνηκα αὐλόν· τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων. τὸ παλαιὸν δέ φασι τοὺς ἐλευθέρους μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον. τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια, ἐφ’ ὧν ἐλέχθη παροιμία· δραχμῆς μὲν αὐλεῖ, τεγχάρων δὲ παύεται. καὶ Ἀράβιος αὐλητής, ἐπὶ τῶν ἀκαταπαύστων. Κάνθαρος Μηδείᾳ· κιθαρῳδὸν ἐξηγείρατε Ἀράβιον τὸν χορὸν τοῦτον. οἱ δὲ Ἀράβιοι ἀρετῇ πολὺ τῶν ἄλλων διαφέρουσιν· οἳ βέλεσιν ἀνδρομήκεσιν χρώμενοι, ἀντὶ τῶν χειρῶν τῷ ποδὶ ἐμβαίνοντες ἐς τὴν νεῦραν, κυκλοῦσι τὸ τόξον.

α 3730 Ἆρά γε τοῦτ’ ἆρ’ ἐγώ ποτ’ ἐπόψομαι; ἀντὶ τοῦ εὐδαιμονήσω.

α 3731 Ἆρα γρυκτόν ἐστιν ὑμῖν; τουτέστιν ἆρα γρύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν.

α 3732 Ἀράμενοι: ἐπάραντες. καὶ Ἀραμένη, ἀντὶ τοῦ ἐπάρασα τὴν ὑδρίαν.

α 3733 Ἄραντες· παρὰ Θουκυδίδῃ ἐπὶ θαλάσσης εἴρηται. ἔστι δὲ ὅτε καὶ ἐπὶ γῆς.

α 3734 Ἀράξης, Ἀράξου. ὄνομα ποταμοῦ. καὶ Ἀράξαι, συντρῖψαι.

α 3735 Ἄραρέ με: ἤρεσέ μου ταῖς φρεσίν. ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. οἷον ἥρμοσταί μου ταῖς φρεσίν.

α 3736 Ἄραρε: κέκριται. οἷον βεβαίως οὕτως ἔχει καὶ ἀμετακινήτως. καὶ Ἄραρον, ἥρμοσαν. καὶ Ἀραρίσκω, ἁρμόζω. καὶ Ἀραρυῖαν, ἡρμοσμένην.

α 3737 Ἀραρώς, καὶ κλίνεται Ἀραρώ. Ἀθηναῖος, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ καὶ αὐτὸς κωμικὸς, διδάξας τὸ πρῶτον Ὀλυμπιάδι ρα′. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ Καινεὺς, Καμπυλίων, Πανὸς γοναὶ, Ὑμέναιος, Ἄδωνις, Παρθενιδικόν.

α 3738 Ἀραρώς, Ἀραρώ· ὥσπερ ἀμνὼς, ἀμνώ· καὶ τυφώς, τυφώ.

α 3739 Ἀραρώς: πάγιος ἢ βέβαιος.

α 3740 Ἀράσιμος: ὁ καταράσιμος.

α 3741 Ἄρασθαι: ἀπενέγκασθαι. ἢ λαβεῖν, φορτίσασθαι. ὅσῳ δὲ ηὔξετο τῆς διαδοχῆς τὸ μέγεθος ἐν τῷ λόγῳ, τοσούτῳ μᾶλλον οὗτος πρὸς τὴν πειθὼ συνεστέλλετο, μεῖζόν γε ὂν ἢ καθ' ἑαυτὸν ἄρασθαι φορτίον. καὶ γὰρ εἴ τίς με, ἔφη, πρὸς ἱερωσύνην ἐκάλει, ὁμολογῶν εἶναι τὸ χρῆμα θεοφιλέστατόν τε καὶ ὁσιώτατον, ὅμως τὸ ἐμαυτοῦ δέος ὡμολόγησα ἂν τῆς ἀσθενείας· ὑποκατακλινόμενός τε καὶ δυσωπούμενος πρὸς τὸ μέγα τοῦτο καὶ πάμμεγα τῆς ἱερωσύνης ἀφίσταμαι κατὰ Πίνδαρον, οὐ μέντοι τοῦ χείρονος, ὡς ἐκεῖνος, ἀλλὰ τοῦ κρείττονος κατ' ἐμαυτόν.

α 3742 Ἀρασσόμενα: προσρηγνύμενα, προσκρουόμενα. ἐν Ἐπιγράμμασι· νῦν θαμινοῖς πατάγοισι μάτην τὸ μέτωπον ἀράσσεις.

α 3743 Ἀρᾶται: εὔχεται, ἢ καταρᾶται, ἢ ἐπιθειάζει. Φερεκράτης Μυρμηκανθρώποις· ὕστερον ἀρᾶται, κἀπιθειάζει τῷ πατρί.

α 3744 Ἄρατος· στρατηγὸς, ὥς φησι Πολύβιος, ὃς ἦν τὰ μὲν ἄλλα τέλειος ἀνὴρ εἰς τὸν πραγματικὸν τρόπον· καὶ γὰρ εἰπεῖν καὶ διανοηθῆναι καὶ στέξαι τὸ κριθὲν δυνατός, καὶ μὴν ἐνεγκεῖν τὰς πολιτικὰς διαφορὰς πρᾶος καὶ φίλους ἐνδήσασθαι καὶ συμμάχους προσλαβεῖν οὐδενὸς δεύτερος, ἔτι δὲ πράξεις, ἀπάτας, ἐπιβουλὰς συστήσασθαι κατὰ τῶν πολεμίων, καὶ ταύτας ἐπὶ τέλος ἀγαγεῖν διὰ τῆς αὑτοῦ κακοπαθείας καὶ τόλμης δεινότατος. ὁ δ' αὐτὸς οὗτος, ὁπότε τῶν ὑπαίθρων ἀντιποιήσασθαι βουληθείη, νωθρὸς μὲν ἐν ταῖς ἐπινοίαις, ἄτολμος δὲ ἐν ταῖς ἐπιβουλαῖς, ἐν ὄψει δ' οὐ μένων τὸ δεινόν. διὸ καὶ τροπαίων ἐπ' αὐτὸν βλεπόντων ἐπλήρωσε τὴν Πελοπόννησον, καὶ τῇδέ πῃ τοῖς πολεμίοις ἀεί ποτ' ἦν εὐχείρωτος. οὕτως αἱ τῶν ἀνθρώπων φύσεις οὐ μόνον τοῖς σώμασιν ἔχουσί τι πολυειδὲς, ἔτι δὲ μᾶλλον ταῖς ψυχαῖς, ὥστε τὸν αὐτὸν ἄνδρα μὴ μόνον ἐν τοῖς διαφέρουσι τῶν ἐνεργημάτων πρὸς ἃ μὲν εὐφυῶς ἔχειν, πρὸς ἃ δὲ ἐναντίως, ἀλλὰ περί τινα τῶν ὁμοειδῶν πολλάκις τὸν αὐτὸν καὶ συνετώτατον εἶναι καὶ βραδύτατον, ὁμοίως δὲ καὶ τολμηρότατον καὶ δειλότατον. οὐ παράδοξα ταῦτά γε, συνήθη δὲ καὶ γνώριμα τοῖς βουλομένοις συνεφιστάνειν. τινὲς μὲν γὰρ ἐν ταῖς κυνηγίαις εἰσὶ τολμηροὶ πρὸς τὰς τῶν θηρίων συγκατασπάσεις, οἱ δ' αὐτοὶ πρὸς ὅπλα καὶ πολεμίους ἀγεννεῖς, καὶ τῆς τε πολεμικῆς χρείας τῆς κατ' ἄνδρα μὲν καὶ κατ' ἰδίαν εὐχερεῖς καὶ πρακτικοί, κοινῇ δὲ καὶ μετὰ πολεμικῆς ἐνίων συντάξεως ἄπρακτοι.

α 3745 Ἄρατος, Σολεὺς τῆς Κιλικίας (ἔστι γὰρ καὶ ἐν Κύπρῳ πόλις Σόλοι), υἱὸς Ἀθηνοδώρου. ἀδελφοὶ δὲ αὐτοῦ Μύρις, Καλώνδας, Ἀθηνόδωρος. ἀκουστὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, γεγονὼς ἐν τῇ ρκδ' Ὀλυμπιάδι, ὅτε ἦν Ἀντίγονος βασιλεὺς Μακεδονίας, υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ, ὁ Γονατᾶς κληθείς· καὶ συνῴκει τε αὐτῷ καὶ παρ' αὐτῷ ἐτελεύτησε, σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ· ἐποποιός. συνέταξε δὲ βιβλία ταῦτα· τὰ Φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολὴ καὶ ὁ ζῆλος Ὁμηρικός· ὕμνους εἰς Πᾶνα, Σπονδοφόρους, Παίγνια, Ἀστρολογίαν καὶ Ἀστροθεσίαν, Σύνθεσιν φαρμάκων, Θηριακῶν ἐπιτήδεια, Ἀνθρωπογονίαν, Ἐπιθυτικὸν, εἰς Θεόπροπον, εἰς Ἀντίγονον, Ἠθοποιΐας, ἐπιστολὰς, ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου, Ἀνατομὴν, εἰς Παυσανίαν τὸν Μακεδόνα, Ἐπικήδειον τὸν Κλεομβρότου, Διόρθωσιν Ὀδυσσείας, ἐπιστολὰς ὁμοίως καταλογάδην. Ἄρρατον δὲ ἰσχυρὸν, στερεόν. οὕτως Πλάτων. Ἀράττων δὲ πλήττων, κρούων.

α 3746 Ἀραφήνιος: δῆμος Αἰγηΐδος.

α 3747 Ἀραχὶ καὶ Ἀρχί: ἐπιρρήματα.

α 3748 Ἀραχίων: ὄνομα κυρίον.

α 3749 Ἀράχνειον νῆμα καὶ Ἀραχναῖος μίτος, ὁ λεπτότατος. ἐν Ἐπιγράμμασι· ἀραχναίοιο μίτου πολυδινέα λάτριν ἄτρακτον.

α 3750 Ἀράχνη: θηλυκῶς τὸ ὕφασμα. ἀράχνης δὲ ἀρσενικῶς, τὸ ζωΰφιον· παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν. τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ τεῦξαι λεπταλέον μῖτον ἐπιστάμεναι. εἴρηται δὲ ἀράχνης καὶ παρ᾽ Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ Καλλίᾳ. λέγουσι δὲ καὶ ἀραχνικὰ, ἀπὸ τῆς ἀράχνης ὀρθῆς. Καλλίας Κύκλωψιν· ὥσπερ ἀραχνικὸς τὴν ὁδὸν προφορούμενα. θηλυκῶς δὲ Σοφοκλῆς Ἰνάχῳ· πάντα δ᾽ ἐρίθων ἀραχνᾶν βρίθει. Καλλίμαχος· ἔργον ἀράχνα. Κρατῖνος δὲ Πυτίνῃ· ἀραχνίων μεστὴν ἔχεις τὴν γαστέρα. Φερεκράτης Τυραννίδι· ἆρ᾽ ἀράχνια ὥσπερ ταῖς συκυαῖσι ταῖς κεναῖς. Νικόφρων Ἀφροδίτης γοναῖς· ἆρ᾽ ἀράχνιόν τι φαίνεται ἐμπεφυκέναι.

α 3751 Ἀραχώσιοι: ἐθνικόν. καὶ Ἀραχωσία, χώρα.

α 3752 Ἀρβαζάκιος, Ἴσαυρος, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως, ὃν Ἁρπαζάκιον ἐκάλουν διὰ τὸ πλεονεκτικόν. ἦν μὲν γὰρ ἐξ Ἀρμενίας, τοῖς τρισὶν ἅμα συγκατειλημμένος πάθεσιν, ὥσπερ Ἡφαιστείοις δεσμοῖς ἀρρήκτοις ἀλύτοις, καὶ ἔμενέ γε ἐν αὐτοῖς ἔμπεδον. ταῦτα δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία. οὕτω δὲ εἰς ἔσχατον ὅρον τὰς ἑαυτῷ δοκούσας ἀρετὰς ἐπετήδευεν, ὥστε οὐκ ἄν τις ἐπίστευσε πειραθεὶς, ὅτι τὰς τρεῖς ἐκείνας οὕτως εἰς ἄκρον ἐξήσκησε. μουσουργοῖς μὲν γὰρ συνέζη τοσαύταις, ὅσας οὔτε ἐκεῖνος ἀριθμεῖν εἶχεν οὔτε ἕτερός τις τῶν διακονουμένων. καὶ οἵγε προσήκοντες αὐτῷ λογισταὶ τῶν στρατιωτικῶν ἔργων τὸν μὲν ἀριθμὸν τῶν στρατιωτῶν ᾔδεσαν· τὸ δὲ πλῆθος τῶν ἑταιρῶν καὶ τὸν ἐκ τῶν χειρῶν ἀριθμὸν αὐτοῦ διέφυγεν. ὥσπερ οὖν Ὀρόντην τὸν Πέρσην φασὶν εἰπεῖν, ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μύρια σημαίνει καὶ ἕνα ἀριθμόν, οὕτω κἀκεῖνοι τὰς ἑταίρας κατὰ μονάδας καὶ μυριάδας ἠρίθμουν.

α 3753 Ἀρβάκης, βασιλεὺς Μήδων ἐπὶ Σαρδαναπάλου, ἀνὴρ τόν τε βίον σώφρων καὶ πραγμάτων εἰ δή τις ἔμπειρος, τετριμμένος τε ἐν κυνηγεσίοις καὶ πολέμοις καὶ πολλὰ μὲν πάλαι γενναῖα ἐξειργασμένος, μείζω δὲ τότε διανοούμενος. οὗτος ἀκηκοὼς τόν τε βίον καὶ τὰ ἤθη οἷς χρῆται βασιλεὺς ἐς νοῦν ἐνεβάλετο, καὶ ἐνεθυμήθη ἄρα, ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἕξοι τὰ τῆς Ἀσίας κράτη· καὶ βουλὴν συντίθεται περὶ ὅλης ἀρχῆς.

α 3754 Ἀρβέλαι: πόλισμα Σικελικὸν ἡ Ἀρβέλη. οἱ δὲ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εὐεξαπάτητοι εἶναι. καὶ παροιμία· τὶ οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας;

α 3755 Ἄρβηλα: ὄνομα τόπου. καὶ Ἀρβήλοις, Ἀθηναίοις. Ἀρβύλη δὲ τὸ ὑπόδημα.

α 3756 Ἀργαλέον φρονέοντα παρ᾽ ἄφροσι πόλλ᾽ ἀγορεύειν· Εὐριπίδου λόγος Βάκχαις. καὶ Ἀργαλέον, χαλεπόν. εἴρηται δὲ ἀπὸ τοῦ ἄλγους, ἀλγαλέον καὶ τροπῇ τοῦ λ εἰς τὸ ρ. ἔργον δὲ παρὰ τοῖς παλαιοῖς τὸ δυσχερές. ἐκ τούτου παραγωγὸν ἐργαλέον, καὶ τροπῇ· ὡς ἀπὸ τοῦ ἔπω ἀπύω, τὸ φωνῶ. ἀργαλέον δὲ, δύσκολον, δυσχερές. καὶ Ἀργαλέως ἐπιρρηματικόν. καὶ Ἀργαλεώτερον.

α 3757 Ἀργὰ ῥήματα: ὅσα ὄνησιν οὐ φέρει ψυχῆς.

α 3758 Ἀργανθώνη: ὄνομα κύριον. καὶ Ἀργανθώνειος κλίνη. καὶ Ἀργανθώνιον δὲ ὄρος τῆς Κίου νήσου.

α 3759 Ἀργαριζίν: ὄνομα ἔθνους.

α 3760 Ἀργάς: ὁ δεινότατος παρ᾽ ἡλικίαν ἀργὰς καλεῖται. τούτῳ ἀφομοιοῦσθαι ὑπὸ Αἰσχίνου τὸν Δημοσθένην. ἄλλοι δὲ τὸν δεινότατον καὶ θηριώδη τὸν τρόπον. καὶ μάλιστα Ἀργεῖοι τὸν ὄφιν ἀργὰν ἐκάλουν. Τίμαρχος δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν οὕτω καλεῖσθαί φησιν, ἀλλὰ γένος εἶναι ὄφεων τοὺς ἀργάς.

α 3761 Ἀργαῖον: τὸ Καισαρείας ὄρος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3762 Ἄργελλα: οἴκημα Μακεδονικὸν, ὅπερ θερμαίνοντες λούονται.

α 3763 Ἀργελόφους· Ἀριστοφάνης· σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς ἀργελόφους περιτρώγων.

α 3764 Ἀργέου υἱός· καί πως ὁ Ἀργέου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν, τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει καὶ ἀναιρεῖ αὐτόν. ὅτι τῷ Θηραμένει, τῷ Ἰσοκράτους διδασκάλῳ, πολλὰ μὲν καὶ ἄλλα παρανενόμηται, δύο δὲ τὰ μέγιστα καὶ σχετλιώτατα, ἥ τε τῶν ἐν Ἀργεννούσῃ στρατηγῶν ἀπαγωγὴ, ἣν αὐτὸς συνεστήσατο μετὰ Καλλιξένους, ἥ τε τῶν λ′ ἐπὶ καταλύσει τοῦ δήμου κατάστασις. ζήτει ἐν τῷ δεξιός.

α 3765 Ἀργεννῆσι: λευκαῖς.

α 3766 Ἀργεία: Ἥρα. ἢ ἡ τῶν Ἀργείων γῆ.

α 3767 Ἀργείων: ὄνομα κύριον. καὶ Ἀργεῖοι, οἱ Ἕλληνες.

α 3768 Ἀργεινός: ὁ λαμπρός· καὶ Ἀργεινόεις.

α 3769 Ἀργειόδους: ὁ λευκοὺς ὀδόντας ἔχων.

α 3770 Ἀργείους ὁρᾷς: παροιμία ἐπὶ τῶν ἀτενῶς καὶ καταπληκτικῶς ὁρώντων.

α 3771 Ἀργεῖοι φῶρες: ἐπὶ τῶν προδήλως πονηρῶν. οἱ γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ κωμῳδοῦνται. Ἀριστοφάνης Ἀναγύρῳ.

α 3772 Ἀργειφόντης: ὁ Ἑρμῆς.

α 3773 Ἀργείης: ὁ λευκός.

α 3774 Ἀργής: ὁ κεραυνός. καὶ Ἀργῆσκος, ὄνομα κύριον.

α 3775 Ἀργιλλώδης: ὁ ῥυπαρός. ἢ Ἀργιλώδης γῆ, λευκὴ καὶ καθαρά. ἀκρίδα Δημοκρίτου μελεσίπτερον ἅδε θανοῦσαν ἄργιλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει.

α 3776 Ἀργίνη: ὄνομα πόλεως.

α 3777 Ἀργινόεις, ἀργινόεντος: λευκοῦ. πηγαὶ δ’ ἀργινόεντος ἀναθλίβοιντο γάλακτος.

α 3778 Ἀργίννουσα: νῆσος.

α 3779 Ἀργιόδοντα: λευκὸν, ἢ ὀξυόδοντα.

α 3780 Ἀργίποδες: ταχεῖς, ὀξύποδες.

α 3781 Ἀργόλαι: εἶδος ὄφεων, οὓς ἤνεγκε Μακεδὼν Ἀλέξανδρος ἐκ τοῦ Ἄργους τοῦ Πελασγικοῦ εἰς Ἀλεξάνδρειαν καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτε μετέθηκε τὰ ὀστᾶ Ἱερεμίου τοῦ προφήτου ἐξ Αἰγύπτου εἰς Ἀλεξάνδρειαν· οὓς ὁ αὐτὸς προφήτης ἀπέκτεινεν. ἀργόλαι οὖν ἐκ τοῦ Ἄργους λαιοί.

α 3782 Ἀργοναῦται: οἱ ἐν τῇ Ἀργοῖ νηῒ πλέοντες.

α 3783 Ἀργὸν ἔτος: κατὰ ἑπταετίαν ἤγετο παρὰ Ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. καὶ Ἀργός, ἐπὶ θηλυκοῦ. Ἀριστοφάνης Νεφέλαις· οὐ μὴν ἐρῶ γ’ ὡς ἀργὸς ἦν, ἀλλ’ ἐσπάθα.

α 3784 Ἄργουσα: πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη.

α 3785 Ἀργώ: ναῦς. καὶ Ἀργοναῦται. καὶ τῇ Ἀργοῖ, δοτικῇ.

α 3786 Ἀργῶς· λύσις ὀνείρου. ἀργῶς κινεῖσθαι δυστυχεῖς ποιεῖ τρίβους.

α 3787 Ἀργυραμοιβός: ὁ κέρμα ἀντὶ ἀργύρου ἀλλασσόμενος, ὁ τραπεζίτης, ὁ ἀργυροπράτης, κολλεκτάριος.

α 3788 Ἀργυρέα: ἀργυρᾶ. καὶ παροιμία· Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα νικήσεις. ἐπὶ τῶν δώροις τινὰ πείθειν πρὸς τὰ δυσκατόρθωτα παραινούντων. τοῦτον γὰρ τὸν χρησμὸν ἡ Πυθία ἔχρησε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φιλίππῳ αἰνιττομένη διὰ προδοσίας περιέσεσθαι τῆς Ἑλλάδος. χρείω, τὸ μαντεύομαι διὰ διφθόγγου· ὁ μέλλων χρήσω διὰ τοῦ η· χρίω δὲ τὸ ἀλείφω.

α 3789 Ἀργύρειος σταυρός. Ἀργυρίδιον δὲ ὡς ἡμεῖς. Εὔπολις Δήμοις· ἐγὼ δὲ συμψήσασα τἀργυρίδιον. Ἀργύριον δὲ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσιν.

α 3790 Ἀργυρῖνοι: ὄνομα ἔθνους.

α 3791 Ἀργυρίππη: πόλις, ἣν κτίζει Διομήδης. καὶ ζήτει ἐν τῷ Βενεβενδός.

α 3792 Ἀργυρὶς θήκη καὶ Ἀργυρῖτις γῆ καὶ Χρυσῖτις, ἡ ἐργαζομένη χρυσὸν καὶ ἄργυρον. διττὰ ἦν γραμματίδια, οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον ἑαυτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἃ καὶ κιβώτια ἐκάλουν, τὰ δ’ ἄλλα μαρτύρια. καὶ Ἀργυρῖται ἐλέγοντο οἱ ἀργυρίου εὐποροῦντες.

α 3793 Ἀργυρογνώμων: δοκιμαστής.

α 3794 Ἀργυροδίνης: καλὰς δίνας ἔχων. δῖναι δὲ αἱ τῶν ὑδάτων συστροφαί.

α 3795 Ἀργυρόηλον: τὸ ἀργυροῦς ἥλους ἔχον.

α 3796 Ἀργυροκοπεῖον: ἐν ᾧ κόπτεται τὸ νόμισμα· ὃ νῦν τινες ἡμαντήριον καλοῦσιν.

α 3797 Ἀργυρόπεζα: ἡ ἀργυροῦς πόδας ἔχουσα. πέζα γὰρ ὁ ποῦς. καὶ Ἀργυρόποδα δίφρον. ὁ Ξέρξου δὲ δίφρος, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἀνέκειτο δ’ εἰς τὸν Παρθενῶνα τῆς Ἀθηνᾶς.

α 3798 Ἀργύρου κρῆναι λαλοῦσιν: ἐπὶ τῶν ἀπαιδεύτων μὲν, διὰ δὲ πλούτου ὑπερβολὴν παρρησιαζομένων καὶ λαλούντων.

α 3799 Ἀργυροῦν καὶ Χρυσοῦν: τὸ δ’ ἀργύρεον καὶ χρύσεον Ἰακὰ, τὸ δὲ χρύσειον κτητικόν. Θουκυδίδης α′· χρῆσίν τ’ ἔχει τῶν χρυσείων μετάλλων. ὥσπερ καὶ ἀργύρεια λέγεται δευτέρᾳ. μέχρι Λαυρίου, οὗ τἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις.

α 3800 Ἀργυρώματα καὶ Χρυσώματα: ὁμοίως ὡς ἡμεῖς. Λυσίας.

α 3801 Ἀργυρώνη. καὶ Ἀργυρώνητος, δοῦλος.

α 3802 Ἀργύφεον: τὸ μέλαν. ἢ τὸ λαμπρόν.

α 3803 Ἀρδαβούριος, υἱὸς Ἄσπαρος, γενναῖος τὸν θυμὸν καὶ τοὺς τὴν Θρᾴκην πολλάκις καταδραμόντας βαρβάρους εὐρώστως ἀποκρουσάμενος. τούτῳ οὖν γέρα ἀριστειῶν ὁ βασιλεὺς Μαρκιανὸς παρέσχετο τὴν ἕω στρατοπεδαρχίαν. καταλαβὼν δὲ ἐν εἰρήνῃ ταύτην ὁ στρατηγὸς πρὸς ἄνεσιν ἐτράπη καὶ ῥᾳστώνην θηλυδριῶτιν. ἔχαιρε γὰρ μίμοις καὶ θαυματοποιοῖς καὶ πᾶσι σκηνικοῖς ἀθύρμασι, καὶ τοῖς τοιούτοις διημερεύων αἰσχροῖς ἠλόγει πάμπαν τῶν πρὸς εὔκλειαν τεινόντων. Μαρκιανοῦ δὲ τοῦ βασιλέως χρηστοῦ μὲν γεγονότος, θᾶττον δὲ ἐκβεβιωκότος, αὐτοκελεύστῳ γνώμῃ Ἄσπαρ Λέοντα διάδοχον αὐτοῦ γενέσθαι παρεσκεύασεν.

α 3804 Ἀρδάνιον: κεράμιον, γάστρα, ὅθεν τὰ θρέμματα πίνει. καὶ εἴρηται παρὰ τὸ ἄρδειν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας τῶν τετελευτηκότων τοῖς εἰσιοῦσιν καὶ ἐξιοῦσιν ἵνα περιρραίνωνται. ἐχρῶντο δὲ καὶ αἱ γυναῖκες τῷ ἀρδανίῳ, αἱ τὴν κρόκην τρίβουσαι ἐπ’ αὐτοῦ.

α 3805 Ἀρδεᾶται: ὄνομα ἔθνους.

α 3806 Ἄρδην: κατὰ δύναμιν τῆς λέξεως ἀντὶ τοῦ ἀθρόους. τὸ γὰρ ἄρδην ὅμοιόν ἐστι τῷ φοράδην ἐνέγκαι· ἡ γὰρ ἄρσις τοῦτο δηλοῖ. ἀντὶ τοῦ πάντας ὁμοῦ αἴρω.

α 3807 Ἀρδήττης, Ἀρδήττου: ὄνομα κύριον. καὶ Ἀρδηττὸς τόπος ἐστὶν Ἀθήνησιν, ἐν ᾧ πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸν ὅρκον τὸν Ἡλιαστικόν. Θεόφραστος δὲ ἐν τοῖς περὶ νόμων καταλελύσθαι τὸ ἔθος τοῦτο λέγει.

α 3808 Ἀρδιαῖος: ὄνομα ἔθνους.

α 3809

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄρδιν: ἀκίδα βέλους, ἢ τὰ ἐκ χειρὸς ὅπλα. Ἡρόδοτος. καὶ Ἄρδις πληθυντικῶς, ἀντὶ τοῦ φαρέτρας.

α 3810 Ἀρδομένην: ποτιζομένην. καὶ Ἄρδω· αἰτιατικῇ.

α 3811 Ἄρδυς, Ἄρδυος. ζήτει ἐν τῷ Γύγης.

α 3812 Ἆραι: τὸ ῥῆμα, ἀρῶ. καὶ διᾶραι.

α 3813 Ἀραὶ κατὰ οἰχομένων· ζήτει ἐν τῷ τοία Στυγός σε μελανοκάρδιος.

α 3814 Ἀραιὴν χεῖρα: τὴν ἀσθενῆ· καὶ δασύνεται.

α 3815 Ἀραῖνος: ὄνομα ποταμοῦ.

α 3816 Ἀραῖος: ἀρᾷ ὑποκείμενος. μὴ νῦν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι δέδρακ', ὀλοίμην. καὶ Σοφοκλῆς· εἰ δὲ μὴ, μενῶ ς' ἐγὼ καὶ νέρθεν ἀραῖος εἰσαεὶ βαρύς. ὁ Ἡρακλῆς φησι τελευτῶν πρὸς τὸν υἱὸν αὐτοῦ. Ἀραιὸς δὲ ὁ ἀσθενής. Ἀραιῶς δὲ ἐπιρρηματικῶς μὴ ἡρμοσμένως. εὗρον δὲ τὴν θύραν τοῦ μνήματος ἀραιῶς ἐπικειμένην.

α 3817 Ἀραῖς: κατάραις. οὐ μὴν ἔμελλον αἱ ἀραὶ λήθῃ δοθήσεσθαι. λοιμὸς γὰρ τῇ τῶν Ἐφεσίων πόλει ἐνήκμαζεν οἷος βαρύτατος. καὶ αὖθις· ἐν ἀρᾶς ἔθηκε μέρει· συριττοίμην ὡς ἐκεῖνος.

α 3818 Ἄρραιστος: ὁ ἄφθαρτος.

α 3819 Ἄραιτο: λάβοι, κομίσειεν. Εὐριπίδης· οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος οὐδὲ πάθος οὐδὲ ξυμφορὰ θεήλατος, ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις. καὶ αὖθις· οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι. πολλαχοῦ ὡς ἀχθοφορούντων Αἰγυπτίων μέμνηνται.

α 3820 Ἀρεάδνη: ὄνομα κύριον.

α 3821 Ἀρέθουσα: πηγὴ κατὰ τὴν νῆσον Σικελίας, ἐν ᾗ εἰσβάλλει Ἀλφειὸς, ποταμὸς τῆς Ἀρκαδικῆς πόλεως, δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος καὶ μηδαμῶς τῇ ἁλμυρίδι μιγνύμενος, ὡς ἂν τῆς τοιαύτης πηγῆς ἐρώμενος.

α 3822 Ἄρρεν, καὶ ἀρρενικῶς, καὶ ἡμίανδρος, καὶ ἡμιγύναιξ, καὶ διγενὴς, καὶ θηλυδρίας, καὶ ἑρμαφρόδιτος, καὶ ἴθρις, οὗ ἡ ἰσχὺς τεθέρισται, καὶ Ἀρρενωπός, ὁ ἀνδρόγυνος, καὶ ὁ ἀνδρεῖος, ὁ στερρός. λέγουσι δ' οὕτω τὰ μὲν ἄλλα γύνιδας, ἔχοντας δέ τι ἀνδρόμορφον. Ἱππῶναξ δὲ ἡμίανδρον, τὸν οἷον ἡμιγύναικα. λέγεται δὲ καὶ ἀπόκοπος, καὶ βάκηλος, καὶ ἀνδρόγυνος, καὶ γάλλος, καὶ γύννις, καὶ Ἄττις, καὶ εὐνουχώδης.

α 3823 Ἀρεόβινδος: ὄνομα κύριον.

α 3824 Ἀρεοπαγίτης: διφορεῖται. καὶ παροιμία, Ἀρεοπαγίτης, ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων καὶ σιωπηλῶν. καὶ Ἄρεως νεοττὸς, καὶ Ἄρεως παιδίον, ἐπὶ τῶν θρασυτάτων. κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ, τῷ δὲ δευτέρῳ Ἀλεξανδρίδης Πεισάνδρῳ.

α 3825 Ἀρρεπής: κούφη.

α 3826 Ἆρες· ἆρον δέ.

α 3827 Ἀρέσκεια. καὶ Ἀρέσκω· πρὸς αἰτιατικὴν σύνταξιν καὶ Σοφοκλῆς καὶ Ἀριστοφάνης· σὲ δὲ ταῦτ' ἀρέσκει. καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον. δοτικῇ.

α 3828 Ἀρεστήρ: πόπανον τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον. παρὰ τὸ ἀρεστόν.

α 3829 Ἆρ' ἔστιν; οὐκ ἔνεστιν; ἡ γνώμη πλανᾷ; καὶ φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

α 3830 Ἀρετή: διάθεσις ὁμολογουμένη καὶ αὐτὴ δι' αὐτὴν οὖσα αἱρετὴ, οὐ διά τινα φόβον ἢ ἐλπίδα ἤ τι τῶν ἔξωθεν· ἐν αὐτῇ τέ ἐστιν εὐδαιμονία, ἅτε οὔσῃ ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς βίου. καὶ διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῷον, ὁτὲ μὲν διὰ τὰς τῶν ἔξωθεν πραγματειῶν πιθανότητας, ὁτὲ δὲ διὰ τὴν κατήχησιν τῶν συνόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους. ἡ ἀρετὴ δὲ τέλειός ἐστιν, ὥσπερ ἀνδριάς· καὶ ἢ ἀθεώρητος, ὥσπερ ὑγεία· ἢ

θεωρηματική, ὡς φρόνησις. καὶ ἐπιστημονικαὶ μέν εἰσι καὶ θεωρηματικαὶ αἱ ἔχουσαι σύστασιν ἐκ θεωρημάτων, ὡς φρόνησις καὶ δικαιοσύνη· ἀθεώρητοι δὲ αἱ κατὰ παρέκτασιν θεωρούμεναι ταῖς ἐκ τῶν θεωρημάτων συνεστηκυίαις, καθάπερ ὑγεία καὶ ἰσχύς. τῇ γὰρ ἀφροσύνῃ τεθεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν ὑγείαν, καθάπερ τῆς ψαλίδος οἰκοδομίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι. καλοῦνται δὲ ἀθεώρητοι, ὅτι μὴ ἔχουσι συγκαταθέσεις, ἀλλ' ἐπιγίνονται, ὡς ὑγεία καὶ ἀνδρεία. τεκμήριον δὲ τοῦ ὑπαρκτὴν εἶναι τὴν ἀρετὴν, τὸ γενέσθαι ἐκ προκοπῆς τοὺς περὶ Σωκράτην, Διογένην, Ἀντισθένην. εἶναι δὲ καὶ τὴν κακίαν ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. διδακτήν τε εἶναι τὴν ἀρετὴν, καὶ δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθοὺς ἐκ φαύλων. εἰσὶ δὲ δύο ἀρεταί, θεωρητικὴ καὶ πρακτική. οἱ δὲ γʹ, λογικὴν, φυσικὴν, ἠθικήν, οἱ δὲ περὶ Ποσειδώνιον δʹ, οἱ δὲ πλείονας, οἱ δὲ μίαν, τὴν φρόνησιν. πρώτας δὲ ἀνδρείαν, φρόνησιν, δικαιοσύνην, σωφροσύνην, τὰς δὲ λοιπὰς ὑποτεταγμένας ταύταις, μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν, ἀγχίνοιαν, εὐβουλίαν. ἀνάλογοι δὲ καὶ αἱ κακίαι. τὸν δὲ ἐνάρετον χρὴ θεωρητικὸν εἶναι καὶ πρακτικὸν ποιητέων. τὰ δὲ ποιητέα καὶ αἱρετέα ἐστὶ καὶ ὑπομενετέα καὶ ἐμμενετέα, ὥστε εἶναι τὰ μὲν αἱρετῶς ποιεῖν, τὰ δὲ ὑπομονητικῶς, τὰ δὲ ἐμμενετικῶς, φρόνιμός τέ ἐστι καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ σώφρων. κεφαλαιοῦσθαι δὲ ἑκάστην τῶν ἀρετῶν περί τι ἴδιον κεφάλαιον, οἷον τὴν ἀνδρείαν περὶ τὰ ὑπομενετέα, τὴν φρόνησιν περὶ τὰ ποιητέα καὶ μὴ καὶ οὐδέτερα· ὁμοίως καὶ τὰς ἄλλας περὶ τὰ οἰκεῖα τρέπεσθαι. ἀρετὴ δέ ἐστι βελτίστη ἕξις, ἢ ἕξις ἀφ' ἧς αὐτό τε τὸ οὗ ἐστιν ἄριστόν ἐστι καὶ τὰς ἐνεργείας τὰς οἰκείας ἄριστα ἀποδίδωσιν. ἀρετὴ κατὰ φύσιν· κακία παρὰ φύσιν. ὅτι οὐ πᾶσα ἀρετὴ ἐπιστήμη· ἔστι γὰρ ἡ μὲν διανοητική, ἡ δὲ ἠθική· αἱ δὲ ἠθικαὶ οὐκ ἔχουσιν ἐν τῇ γνώσει τὸ εἶναι. ὅτι φασὶν οἱ Στωϊκοὶ μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ κακίας, οἱ δὲ Περιπατητικοὶ μεταξὺ λέγουσιν εἶναι τὴν προκοπήν. ὡς γὰρ δεῖν φασιν οἱ Στωϊκοὶ ἢ στρεβλὸν εἶναι ξύλον ἢ ὀρθόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, οὔτε δικαιότερον, οὔτε ἀδικώτερον· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅτι αἱ πολιτικαὶ ἀρεταὶ κατακοσμοῦσιν ἡμᾶς καὶ ἀμείνους ποιοῦσιν, ὁρίζουσαι καὶ μετροῦσαι τὰς ἐπιθυμίας, καὶ ὅλως τὰ πάθη μετροῦσαι, καὶ ψευδεῖς δόξας ἀφαιροῦσαι, τῷ ὅλως ἀμείνονι καὶ τῷ ὡρίσθαι καὶ τῶν ἀμέτρων καὶ ἀορίστων ἔξω εἶναι. τὰς δὲ πολιτικὰς ἀρετὰς ὁ Πλάτων ἀλλαχοῦ καθάρσεις λέγει. δʹ ἀρεταί. ὅτι ἕπεται τῇ φρονήσει εὐβουλία καὶ σύνεσις, τῇ δὲ σωφροσύνῃ εὐταξία καὶ κοσμιότης, τῇ δὲ δικαιοσύνῃ ἰσότης καὶ εὐγνωμοσύνη, τῇ δὲ ἀνδρείᾳ ἀπαραλλαξία καὶ εὐτονία.

α 3831 Ἀρετή: Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία. ὅτι ἀποβλητὴ ἡ ἀρετὴ διὰ μέθην ἢ μελαγχολίαν, ἀναπόβλητος δὲ διὰ βεβαίαν κατάληψιν· καὶ αὐτάρκη δὲ αὐτήν φασιν εἶναι. οἱ δὲ οὐκ αὐτάρκη εἶναι, ἀλλὰ χρεία ἐστὶν ἰσχύος καὶ ὑγείας καὶ χορηγίας. ὅτι ἡ ἀρετὴ τῶν ἀντικειμένων ἐστίν· ἀντικείμενα δέ εἰσιν, ὅσα τῇ ἀναιρέσει τῶν ἐναντίων συνίσταται· τυφλότης, ὄψις, κατάφασις, ἀπόφασις καὶ τὰ ὅμοια. ζήτει ἐν τῷ ὑπερήφανος. ὅτι ἀρετῆς κτῆμα, ὅταν ἀπίδοι τις εἰς τὴν Ῥωμαίων εὐταξίαν, ἐπιγνώσεται εἶναι ἀρετῆς κτῆμα, οὐ τύχης δῶρον.

α 3832 Ἀρετῶ: τὸ ἀρετῆς ἐπιμελοῦμαι. Προκόπιος· ἀμφότεροι δὲ, οἱ μὲν θανατῶντες, οἱ δὲ ἀρετῶντες, ἐπὶ τοὺς πέλας πολλῷ ἵεντο.

α 3833 Ἀρζανηνή: τόπος.

α 3834 Ἀρειανός. ἰστέον, ὅτι ἐγένοντο καὶ ἐν Ἀρειανοῖς διαιρέσεις δι' αἰτίαν τοιαύτην. καθ' ἑκάστην παρ' αὐτοῖς ἐριστικαὶ ζητήσεις εἰς ἄτοπά τινα τοὺς λόγους αὐτῶν προήγαγον. ἐπεὶ γὰρ ἐν τῇ ἐκκλησίᾳ πιστεύεται ὁ θεὸς πατὴρ εἶναι τοῦ υἱοῦ τοῦ λόγου, ζήτημα ἐνέπεσεν εἰς αὐτοὺς, εἰ δύναται καὶ πρὸ τοῦ ὑποστῆναι τὸν υἱὸν ὁ θεὸς καλεῖσθαι πατήρ. ἐπεὶ γὰρ τὸν τοῦ θεοῦ λόγον οὐκ ἐκ πατρὸς γεννᾶσθαι, ἀλλ' ἐξ οὐκ ὄντων ὑποστῆναι ἐδόξαζον, περὶ τὸ πρῶτον καὶ ἀνωτάτω κεφάλαιον σφαλέντες εἰκότως περὶ ψιλοῦ ὀνόματος εἰς ἄτοπον φιλονεικίαν ἐξέπεσον. Δωρόθεος μὲν ἐκ τῆς Ἀντιοχείας ὑπ' αὐτῶν μετασταλεὶς ἔλεγε μὴ δύνασθαι πατέρα εἶναι ἢ καλεῖσθαι μὴ ὑφεστῶτος υἱοῦ. Μαρῖνος δὲ, ὃν ἐκ Θρᾴκης πρὸ Δωροθέου κεκλήκεισαν, καιροῦ

δραξάμενος ἀφορμῆς (ἐλυπεῖτο γὰρ ὅτι αὐτοῦ Δωρόθεος προεκέκριτο) τοῦ ἐναντίου λόγου προΐστατο. καὶ γίνεται εἰς αὐτοὺς διαίρεσις διὰ τὸ προλεχθὲν λεξείδιον, καὶ κατ᾽ ἰδίαν ἑκάτερος τὰς συναγωγὰς ἐποιοῦντο, λέγοντες τὸν πατέρα εἶναι πατέρα καὶ μὴ ὑφεστῶτος υἱοῦ. ἐκαλοῦντο δὲ οὗτοι Ψαθυριανοὶ, ὅτι Θεόκτιστός τις, ψαθυροπώλης, Σύρος, διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. ἐπηκολούθησε δὲ αὐτοῖς καὶ Σελενᾶς ὁ τῶν Γότθων ἐπίσκοπος. καὶ οὗτοι μικρὸν ὕστερον διῃρέθησαν, Μαρίνου πρὸς Ἀγάπιον διενεχθέντος, ὃν αὐτὸς εἰς ἐπίσκοπον Ἐφέσου προβέβλητο. οὗτοι δὲ οὐ περὶ θρησκείας ἀλλὰ περὶ προεδρίας μικροψυχήσαντες ἐπολέμουν ἀλλήλοις. ἐχωρίζοντο δὲ ἀλλήλων ἐπὶ ἔτη λε′ ἕως τοῦ νέου Θεοδοσίου.

α 3835 Ἀρειανὸς καὶ Ἀρειανίζω καὶ Ἀρειανισταὶ καὶ τὰ τούτοις ὅμοια, ἀπὸ Ἀρείου τοῦ αἱρεσιάρχου· ὃς ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐν τοῖς ἱερωμένοις πρεσβυτέροις τεταγμένος, ἐπειδὴ τὰ πάντα συγχεῖν ἐβούλετο, καταδικασθεὶς ὑπὸ τῆς ἐν Νικαίᾳ τῶν τιη′ ἁγίων πατέρων συνόδου, διεφθάρη ἀήθει καὶ καινῷ τοῦ θανάτου τρόπῳ. ἐν γὰρ τῷ τῆς πόλεως φόρῳ, ἐπειχθείσης οἱ τῆς γαστρὸς, ἀποκλίνας εἰς ἀπόπατον ἅμα σὺν τοῖς διαφορήμασι πάντων ἐκενώθη τῶν ἐντὸς ἀναγκαίων. καὶ ἐξ αὐτοῦ καὶ Ἀρειόφρονες.

α 3836 Ἀρειή: ἡ ἀπειλή. ἢ ἀσθενής. ὃ καὶ δασύνεται.

α 3837 Ἀρειμάνειος: ὁ ἐν τῷ Ἄρει μαινόμενος. Ἀρειμένης δὲ ὄνομα κύριον.

α 3838 Ἄρειος πάγος: δικαστήριον Ἀθήνησιν. ἐν αὐταῖς βουλαὶ β′, ἡ μὲν τῶν φ′ καθ᾽ ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς μίαν τῶν Ἀρεοπαγετῶν. ἐδίκαζε δὲ καὶ τὰ φονικὰ καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ Ἄρειος πάγος, ἤτοι ὅτι ἐν τῷ πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον· Ἄρειος δὲ, ἐπεὶ τὰ φονικὰ δικάζει· ὁ δὲ Ἄρης ἐπὶ τῶν φόνων· ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίου δίκῃ, ὅτε ἀπέκτεινεν αὐτὸν βιασάμενον Ἀλκίππην τὴν αὐτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρὸς, ὥς φησιν Ἑλλάνικος ἐν α′. καὶ Ἄρειον τεῖχος καὶ Ἀρειοπαγίτης.

α 3839 Ἀρήγω: τὸ βοηθῶ.

α 3840 Ἀρηΐδηλος: ὁ φανερός.

α 3841 Ἀρηΐθοος: ὁ ἐν πολέμῳ ταχύς.

α 3842 Ἀρηΐλυκος: ὄνομα κύριον. καὶ Ἀρηϊλύκοιο.

α 3843 Ἀρήϊος: ὁ πολεμικός. καὶ Ἀρήϊοι. Ἀλκαῖος· ἄνδρες πόλεως πύργοι ἀρήϊοι. καὶ Ἀρηΐοις, τοῖς τοῦ πολέμου. εἶναι ἔλεγε νεότητα ἐπίλεκτον καὶ ἀρηΐοις ὅπλοις πεφράχθαι.

α 3844 Ἀρηΐφατος: ὁ ἐν πολέμῳ ἀνῃρημένος.

α 3845 Ἀρηΐφιλος: ὁ φίλος τοῦ Ἄρεως.

α 3846 Ἀρημένος: ὁ βεβλαμμένος. καὶ Ἀρήμεναι.

α 3847 Ἀρήνη: ὄνομα πηγῆς.

α 3848 Ἀρρηνοφορεῖν: δ′ μὲν ἐχειροτονοῦντο τῶν εὐγενῶν, δύο δὲ ἐκρίνοντο, αἵτινες ἦρχον τῆς ὑφῆς τοῦ πέπλου καὶ τῶν ἄλλων τῶν περὶ αὐτήν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο.

α 3849 Ἀρήνωρ: ὁ φύλαξ.

α 3850 Ἀρήρει: εὖ ἥρμοστο. καὶ Ἀρηρός, τὸ εὐάρμοστον. Ἀρηρὼς δὲ ὁ ἡρμοσμένος.

α 3851 Ἀρηρομένη: ἠροτριασμένη.

α 3852 Ἄρης: κυρίως ὁ σίδηρος. βαψαμένη κοίλων ἐντὸς Ἄρη λαγόνων. σημαίνει δὲ καὶ τὸν πόλεμον. παρὰ τὸ ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ῥῆς, καὶ μετὰ τοῦ στερητικοῦ α Ἄρης. ἐν γὰρ πολέμῳ οὐ λόγων ἀλλ᾽ ἔργων χρεία. καὶ Ὅμηρος· ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ᾽ ἐνὶ βουλῇ. τὸ α καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μακρὸν καὶ βραχύ. Ὅμηρος· Ἆρες, Ἄρες βροτολοιγέ. κλίνεται δὲ Ἄρης, Ἄρου, καὶ Ἄρης, Ἄρητος, καὶ Ἄρης, Ἄρεος. Ἄρης γάρ ἐστι καὶ ταράττει τὴν κλίσιν.

α 3853 Ἄρης τύραννος: ἐπὶ τῶν μετὰ βίας τι διαπραττομένων.

α 3854 Ἀρρήσιος, μοναχός· ὃς τοὺς νέους πταίσαντας οὐκ ἀφώριζεν, ἀλλὰ τοὺς προκόψαντας λέγων, ὅτι ὁ νέος ἀφορισθεὶς καταφρονητὴς γίνεται, ὁ δὲ προκόψας τῆς ἐκ τοῦ ἀφορισμοῦ ὀδύνης ταχεῖαν λαμβάνει τὴν συναίσθησιν.

α 3855 Ἀρήτη: ὄνομα κύριον.

α 3856 Ἀρήτιον.

α 3857 Ἀρητῖνοι: ὄνομα ἔθνους.

α 3858 Ἀρήσασθαι: εὔξασθαι.

α 3859 Ἀρητήσιον πεδίον.

α 3860 Ἀρητόν: τὸ βλαβερόν. Ἄρρητον δὲ λόγον, κακόφημον, μὴ ῥηθῆναι ὀφείλοντα. Σοφοκλῆς· πῶς δῆτα λέγω λόγον ἄρρητον. ἀρρήτων ἀρρητότερον καὶ κακῶν πέρα γεγραφὼς ἢ καὶ πεπραχώς. τίς οὖν οὐ μισήσειεν ὑπερβολὴν ἀρρητουργίας ἑτέροις μὴ ἀπολελεῖφθαι; λαμβάνεται δὲ ἡ λέξις καὶ ἐπὶ ἀκαταληψίᾳ, ὡς τό· ἄρρητον τὸ θαῦμα τῆς σῆς κυήσεως, μητροπάρθενε.

α 3861 Ἀρρητοποιΐα: ἀσέλγεια, αἰσχρουργία.

α 3862 Ἄρητος: ὄνομα κύριον.

α 3863 Ἀρρηφορία: θυσία. εἰ μὲν διὰ τοῦ ἄλφα ἀρρηφορία, ἐπειδὴ τὰ ἄρρητα ἐν κίσταις ἔφερον τῇ θεῷ αἱ παρθένοι· εἰ δὲ διὰ τοῦ ε ἑρσεφορία· τῇ γὰρ Ἕρσῃ ἐπόμπευον τῇ Κέκροπος θυγατρί. καὶ Ἀρρηφόροιο. καὶ Ἀρρηφόροι, αἱ τὰ ἄρρητα φέρουσαι μυστήρια. ἀρρηφόροι καὶ παναγεῖς γυναῖκες.

α 3864 Ἀρία: ὄνομα πόλεως.

α 3865 Ἀριάδνη: γυνὴ τοῦ Θησέως. καὶ ζήτει ἐν τῷ Αἰγαῖον πέλαγος.

α 3866 Ἀριαμένης: ὄνομα κύριον.

α 3867 Ἀρριανός, ἐποποιὸς, μετάφρασιν τῶν Γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας· Ἀλεξανδριάδα· ἔστι δὲ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις εἴκοσι καὶ τέσσαρσιν· εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

α 3868 Ἀρριανός, Νικομηδεὺς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ καὶ Μάρκου καὶ Ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

α 3869 Ἀριαράθης: ὄνομα κύριον.

α 3870 Ἀρύβαλλος: οὐ μόνον παρὰ Στησιχόρῳ καὶ ἄλλοις Δωριεῦσιν, ἀλλὰ καὶ ἐν Ἱππεῦσιν Ἀριστοφάνης· εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ.

α 3871 Ἀριβαρζάνης: ὄνομα κύριον.

α 3872 Ἀριγνώτη, μαθήτρια Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία, φιλόσοφος Πυθαγορική. συνέταξε τάδε· Βακχικά· ἔστι δὲ περὶ τῶν Δήμητρος μυστηρίων· ἐπιγράφεται δὲ καὶ Ἱερὸς λόγος. ἔγραψε δὲ καὶ Τελετὰς Διονύσου καὶ ἄλλα φιλόσοφα.

α 3873 Ἀρίγνωτος: ὁ εὐδιάγνωστος.

α 3874 Ἀριδαῖος: ὄνομα κύριον.

α 3875

Ἀρίδες: ἡ εὐθεῖα ἀρίς, τὸ τεκτονικὸν ἐργαλεῖον. καὶ γυρὰς ἀμφιδέτους ἀρίδας. καὶ αὖθις· αἵ τ' ἀρίδες ξυστήρ τε. Ἄρις δὲ, ὁ μὴ ἔχων ῥῖνα.

α 3876 Ἀριδείκετος: ὁ διάδηλος. καὶ ἔνδοξος. Ἀρίδηλος δὲ ὁ διάδηλος καὶ φανερός.

α 3877 Ἀριαῖος: ὄνομα κύριον.

α 3878 Ἀριζήλη: ἡ διάδηλος καὶ φανερά. καὶ Ἀρίζηλος, ἀρσενικόν.

α 3879 Ἀριήκοον: ὀξυήκοον, εὐπειθῆ.

α 3880 Ἀριθμῶ· αἰτιατικῇ. καὶ Ἀριθμοῦντα, κατατάττοντα. καὶ ἀριθμοῦντά τινας τοῖς δορυφόροις. ὅτι οἱ Πυθαγόρειοι πάντα ἀριθμὸν προσηγόρευον. ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα. ὁ δὲ δέκα σύνθεσις τῶν δ'. καὶ διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον.

α 3881 Ἄριμα: ὄρη. καὶ Ἀριμάνιος, θεὸς παρ' Αἰγυπτίοις.

α 3882 Ἀριμάσπειος: τόπος. καὶ Ἀριμασπός, ἐθνικόν.

α 3883 Ἀριματθαῖος: ἀπὸ τόπου.

α 3884 Ἀρίμηνον: ὄνομα πόλεως. καὶ Ἀριμίνιος, ὄνομα ἐθνικόν.

α 3885 Ἀριοβαρζάνης: ὄνομα κύριον.

α 3886 Ἀρίων, Μηθυμναῖος, λυρικὸς, Κυκλέως υἱὸς, γέγονε κατὰ τὴν λη' Ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα· προοίμια εἰς ἔπη ,β'. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι καὶ πρῶτος χορὸν στῆσαι καὶ διθύραμβον ᾆσαι καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. φυλάττει δὲ καὶ ἐπὶ γενικῆς

α 3887 Ἀριπρεπής: ὁ διάδηλος.

α 3888 Ἄρις: ὁ μὴ ἔχων ῥῖνα.

α 3889 Ἀρίσβη: πόλις τῆς Βοιωτίας.

α 3890 Ἀρίσημος: φανερὸς ἐν πολέμοις.

α 3891 Ἄριστα: κάλλιστα. καὶ παροιμία· Ἄριστα χωλὸς ὑφεῖ. ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά.

α 3892 Ἀρίσταρχος, Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμοθρᾷξ, πατρὸς Ἀριστάρχου. γέγονε δὲ κατὰ τὴν ρνς' Ὀλυμπιάδα, ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσε. λέγεται δὲ γράψαι ὑπὲρ ω' βιβλία ὑπομνημάτων μόνων. μαθητὴς δὲ γέγονεν Ἀριστοφάνους τοῦ γραμματικοῦ καὶ Κράτητι τῷ γραμματικῷ Περγαμηνῷ πλεῖστα διημιλλήσατο ἐν Περγάμῳ. μαθηταὶ δὲ αὐτοῦ γραμματικοὶ περὶ τοὺς μ' ἐγένοντο. τελευτᾷ δὲ ἐν Κύπρῳ ἑαυτὸν ὑπεξαγαγὼν ἐνδείᾳ τροφῆς, νόσῳ τῇ ὕδρωπι ληφθείς. ἔτη δὲ αὐτοῦ τῆς ζωῆς οβ'. καὶ παῖδας μὲν κατέλιπεν Ἀρίσταρχον καὶ Ἀρισταγόραν. ἄμφω δὲ ἐγένοντο εὐήθεις, ὥστε καὶ ἐπράθη ὁ Ἀρίσταρχος· Ἀθηναῖοι δὲ ἐλθόντα παρ' αὐτοῖς ἐξωνήσαντο.

α 3893 Ἀρίσταρχος, Τεγεάτης, ὁ τῶν τραγῳδιῶν ποιητὴς, νοσεῖ τινα νόσον· εἶτα αὐτὸν ἰᾶται ὁ Ἀσκληπιὸς καὶ προστάσσει χαριστήρια τῆς ὑγείας. ὁ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν; εἴ γε τὰ μέγιστα ἡμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδατος καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς, καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες. οὗτος δὲ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρίσταρχος σύγχρονος ἦν Εὐριπίδῃ· ὃς πρῶτος εἰς τὸ νῦν αὐτῶν μῆκος τὰ δράματα κατέστησε. καὶ ἐδίδαξε μὲν τραγῳδίας ο′, ἐνίκησε δὲ β′, βιοὺς ὑπὲρ ἔτη ρ′.

α 3894 Ἀρίσταρχος· οὗτος τὴν ἐν Ἐφέσῳ μόναρχον εἶχεν ἐξουσίαν ἐκ τῶν Ἀθηναίων ἥκων κλητός. ἐκάλουν δὲ ἄρα αὐτὸν οἱ προσήκοντες, ὅτι ἐμμελῶς τε καὶ σὺν κηδεμονίᾳ αὐτῶν ἦρξεν ἔτεσι ε′. ὑπανέστη δὲ ἐκ τῶν Ἀθηναίων, ὅτε Ἅρπαγος Κῦρον τὸν Καμβύσου παῖδα ἐπὶ τὴν σὺν Πέρσαις ἀπόστασιν ἐπάρας ἔτυχεν.

α 3895 Ἀρίσταχμος: ὄνομα κύριον.

α 3896 Ἀρισταίνετος: ὄνομα κύριον.

α 3897 Ἀρίσταινος· Φιλοποίμην καὶ Ἀρίσταινος οἱ Ἀχαιοὶ συνέβησαν οὐ τὴν φύσιν μίαν σχεῖν, οὔτε τὴν αἵρεσιν τῆς πολιτείας. ἦν γὰρ ὁ μὲν Φιλοποίμην εὖ πεφυκὼς πρὸς τὰς πολεμικὰς χρείας καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν, ὁ δ᾽ ἕτερος πρὸς τὰ πολιτικὰ καὶ λογικὰ τῶν διαβουλίων. τῇ δ᾽ αἱρέσει κατὰ τὴν πολιτείαν τοῦτο διέφερον ἀλλήλων. τῆς γὰρ Ῥωμαίων ὑπεροχῆς ἤδη τοῖς Ἑλληνικοῖς πράγμασιν ἐμπλεκομένης ὁλοσχερῶς, κατά τε τοὺς Φιλιππικοὺς καὶ Ἀντιοχικοὺς καιροὺς Ἀρισταίνετος ἦγε τὴν ἀγωγὴν τῆς πολιτείας οὕτως, ὥστε πᾶν τὸ πρόσφορον μὲν Ῥωμαίοις ἐξ ἑτοίμου ποιεῖν, ἔνια δὲ καὶ πρὶν ἢ προστάξαι ἐκείνους. ἐπειρᾶτο μέντοιγε τῶν νόμων ἔχεσθαι δοκεῖν, καὶ τὴν τοιαύτην ἐφείλκετο φαντασίαν, εἴκων ὁπότε τούτων ἀντιπίπτοι τις προδήλως τοῖς ὑπὸ Ῥωμαίων γραφομένοις. ὁ δὲ Φιλοποίμην, ὅσα μὲν εἴη τῶν προκαλουμένων ἀκόλουθα τοῖς νόμοις καὶ τῇ συμμαχίᾳ, πάντα συγκατήνει καὶ συνέπραττεν ἀπροφασίστως, ὅσα δὲ τούτων ἐκτὸς ἐπιτάττοιεν, οὐχ οἷός τ᾽ ἦν ἐθελοντὴς συνυπακούειν, ἀλλὰ τὰς μὲν ἀρχὰς ἔφη δεῖν δίκαιον ἡγεῖσθαι, μετὰ δὲ ταῦτα πάλιν ἀξιοῦν. εἰ δὲ μηδ᾽ οὕτω πείθοιεν, τέλος οἷον ἐπιμαρτυρομένους εἴκειν καὶ τότε ποιεῖν τὸ παραγγελλόμενον.

α 3898 Ἀρισταῖος: εἷς τῶν Γιγάντων, ὃς περιεσώθη. Ἀριστεὺς δὲ, Ἀριστέως. καὶ Ἀριστίων ὡσαύτως. ἔστι δὲ Σάμιος μὲν ἢ Πλαταιεὺς, ἐκ μειρακυλλίου δὲ ἑταῖρος Δημοσθένους· ἐπέμφθη δὲ ὑπ᾽ αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν. μνημονεύει αὐτοῦ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. ὅτι ἐν τῷ ὄρει τῆς Σικελίας, τῷ λεγομένῳ Αἴτνῃ, Ἀρισταῖον μόνον τὸν Γίγαντα περισωθῆναί φασι· καὶ οὔτε πῦρ οὐράνιον ἐπ᾽ αὐτὸν ἦλθεν, οὔτε Αἴτνη πιέζει αὐτόν.

α 3899 Ἀρίσταιχμος: ὄνομα κύριον.

α 3900 Ἀριστέας, Δημοχάριδος ἢ Καυστροβίου, Προικοννήσιος, ἐποποιός· τὰ Ἀριμάσπεια καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ′. τούτου φασὶ τὴν ψυχὴν, ὅταν ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, Ὀλυμπιάδι ν′. ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογονίαν, εἰς ἔπη ᾳ.

α 3901 Ἀριστερά: τὰ μωρά· δεξιὰ δὲ τὰ συνετά. Σοφοκλῆς περὶ Αἴαντός φησιν· οὔ ποτε γὰρ φρενόθεν γ᾽ ἐπ᾽ ἀριστερὰ, παῖ Τελαμῶνος, ἔβης.

α 3902 Ἀριστείδης, Ἀδριανεὺς, σοφιστής (Ἀδριανοὶ δὲ πόλις Μυσίας, τῆς νῦν Βιθυνίας), Πολέμωνος τοῦ Σμυρναίου ῥήτορος μαθητὴς, υἱὸς Εὐδαίμονος, φιλοσόφου τε καὶ ἱερέως γενομένου τοῦ ἐν τῇ πατρίδι αὐτοῦ ἱεροῦ τοῦ Διός. οἱ δὲ Εὐδαίμονα τὸν πατέρα αὐτοῦ γράφουσιν. ἠκροάσατο δὲ Ἡρώδου κατὰ τὰς Ἀθήνας καὶ ἐν Περγάμῳ Ἀριστοκλέους, γεγονὼς ἐπί τε Ἀντωνίνου τοῦ Καίσαρος καὶ διατείνας μέχρι Κομόδου. τῶν δὲ λόγων αὐτοῦ παρ᾽ οὐδενὶ πέρας εὕροι τις ἂν, ἄλλως δὲ ἄλλοις ἐπιτευχθέντας.

α 3903 Ἀριστείδης, ὁ Λυσιμάχου, πένης ὢν διὰ τὸν τρόπον ἄνευ ὅρκων ἐπιστεύετο. καὶ Καλλίου ποτὲ κρινομένου παρελθὼν εἶπεν, ἐμοὶ τὸν ἄνδρα χαρίσασθε· καὶ ἔτυχε. τοῦ δὲ χρυσίον ἀντιπέμψαντος, παρῃτήσατο εἰπών· ὁ μὲν Καλλίου βίος τῆς Ἀριστείδου χρῄζει πενίας, ἡ δὲ Ἀριστείδου πενία καταφρονεῖ τοῦ Καλλίου πλούτου. οὗτος Θεμιστοκλεῖ ποτε ἀντεπολιτεύσατο. συμπρεσβεύων δὲ αὐτῷ τὴν ἔχθραν, εἶπεν, ἔσω τῶν ὁρίων ἀφῶμεν, ὁμονοῶμεν δὲ ὑπὲρ τῆς

πόλεως. οὕτω δὲ ἦν δίκαιος, ὡς μέλλοντος αὐτοῦ ἐξοστρακίζεσθαι ἀπὸ τῆς ἀγροικίας τις ὄστρακον αὐτῷ ἐπιδιδοὺς (ἠγνόει δὲ τὸν ἄνδρα) γράφειν ἠξίου τὸν ἐξοστρακισμόν. τοῦ δὲ ἐρωτήσαντος, τί Ἀριστείδης αὐτὸν λυποίη· πάνυ δίκαιος ὢν, ἔφη. καὶ γελάσας ὁ Ἀριστείδης ἔγραψε ψῆφον. ὁ αὐτὸς διέτριψεν ἐν Αἰγίνῃ φυγών. Ξέρξης δὲ ὡς αὐτὸν ἐν τῇ φυγῇ πρεσβευσαμένου καὶ τρισχιλίους δαρεικοὺς, ὅτε ἐπῄει τὴν Ἑλλάδα, διδόντος, οὐδὲν ἐπιστρέφεσθαι ἔφη τοῦ Περσικοῦ πλούτου, τοιαύτῃ χρώμενος διαίτῃ. ἔτυχε δὲ οὐκ ἐπιμελῆ τὸν ἄρτον προσφερόμενος. Ἀριστείδης καὶ Μιλτιάδῃ μάλιστα ἐῴκει. ἑκάτερος τούτων ἄριστος ἐγένετο, Ἀριστείδης μὲν δίκαιος, ὁ δὲ Μιλτιάδης ἐν Μαραθῶνι ἐστρατήγησε. τοῦ δὲ ἐν Μαραθῶνι πολέμου μέμνηται, διότι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς πεποίηται, τοῦ δὲ ἐν Μαραθῶνι μόνοι οἱ Ἀθηναῖοι.

α 3904 Ἀριστεῖον: τὸ τοῖς ἀριστεύσασι διδόμενον ἔπαθλον. καὶ Ἀρίστειος ἐκ τοῦ Ἀριστεύς.

α 3905 Ἀριστήσασθε, γεύσασθε. Ἀρίστισον δὲ διὰ τοῦ ι. Ἀριστοφάνης Ὄρνισι· τούτους μὲν ἄγων μετὰ σοῦ ἀρίστισον εὖ.

α 3906 Ἀριστίνδην: κατ’ ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων νομοθετῶν.

α 3907 Ἀρίστιος Κύκλωψ· μέμνηται τούτου Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

α 3908 Ἀρίστιππος: Ἀριτάδου, ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστής· ἀφ’ οὗπερ ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς, καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ. καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων. ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ ἄριστα. διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ’ ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίστιππος, ὃς ἐκλήθη Μητροδίδακτος, οὗ Θεόδωρος, ὁ Ἄθεος ἐπικληθείς, εἶτα Θεός· τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμήδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραιβάτης, τοῦ δὲ Ἡγησίας ὁ Πεισιθάνατος, τοῦ δὲ Ἀννίκερις, ὁ Πλάτωνα λυτρωσάμενος.

α 3909 Ἀρίστιππος, Σωκράτους ὁμιλητὴς, ἐν πᾶσι τὴν ἡδονὴν ἀσπασάμενος καὶ ἐπίχαρις. λέγεται δὲ ὅτι καὶ τοῦ παιδὸς αὐτῷ φέροντος ἀργύριον καὶ ἀχθομένου τῷ βάρει, τὸ βαροῦν ἀπόβαλε, ἔφη. ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι’ ἃ ἐπήγετο, εἰς τὴν θάλατταν ἐξέβαλεν αὐτά. ἡ γὰρ τούτων, ἔφη, ἀπώλεια ἐμὴ σωτηρία. ἐπέσκωπτε δ’ Ἀντισθένην ἀεὶ διὰ τὴν στρυφνότητα. καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθὼν καὶ πίνων ἐνίκα καὶ ὀρχήσεως τοῖς ἄλλοις κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ προσκομιζομένης αὐτῷ τῆς στολῆς, εἶπεν Εὐριπίδου ἰαμβικά· οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολὴν, ἄρρην πεφυκὼς καὶ γένους ἐξ ἄρρενος. Ἀρίστιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ· καὶ γὰρ ἐν βακχεύμασιν ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται. ὑπὲρ φίλου δὲ ἀξιῶν καὶ μὴ τυγχάνων, τῶν ποδῶν ἥψατο καὶ ἔπεισε· καὶ οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος, εἶπεν, ἀλλὰ Διονύσιος, ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων.

α 3910 Ἀριστογένης, Θάσιος, ἰατρὸς, ἔγραψε βιβλία κδʹ· ἐκρίθη δὲ Περὶ διαίτης ἓν, Περὶ δυνάμεως αʹ, Περὶ δακέτων αʹ, Περὶ σπέρματος αʹ, Ὑγιεινὸν αʹ, Ἐπιστολικὰ, Ἐπιτομὴν φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

α 3911 Ἀριστογένης, Κνίδιος, ἰατρὸς, δοῦλος Χρυσίππου τοῦ φιλοσόφου. ἰάτρευσεν Ἀντιγόνῳ τῷ ἐπικληθέντι Γονατᾷ.

α 3912 Ἀριστογείτων, Κυδιμάχου ἢ Λυσιμάχου, Ἀθηναῖος, ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς· ὅστις ἐπεκαλεῖτο κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ. ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας, Ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγὸν, Πρὸς Λυκοῦργον, Κατὰ Τιμοθέου, Κατὰ Τιμάρχου, Κατὰ Ὑπερίδου, Κατὰ Θρασύλλου, Ὀρφανικόν. ζήτει περὶ τοῦδε τοῦ Ἀριστογείτονος, μήποτέ ἐστιν οὗτος ὁ Ἁρμοδίου ἑταῖρος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3913 Ἀριστογείτων, Σκυδίμου, συκοφάντης. τούτου ὁ πατὴρ ὀφλήσας τῷ δημοσίῳ τελευτᾷ ἐν τῷ δεσμωτηρίῳ. καὶ αὐτὸς Ἀριστογείτων μετὰ ταῦτα ὡς κληρονόμος τοῦ ὀφλήματος ἐδέθη. ἡ δὲ μήτηρ ἐπράθη ὑπὸ τοῦ δήμου. ἐν δὲ τῷ δεσμωτηρίῳ κλέψας γραμματεῖον κατεγνώσθη ὑπὸ τῶν δεσμωτῶν, καὶ τὴν ῥῖνα, οὗ τὸ γραμματεῖον ἔκλεψεν, ἔφαγε. καὶ Ζωβίαν ὑποδεξαμένην αὐτὸν φυγόντα, ἀξιοῦσαν εὖ παθεῖν, ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγε, καὶ τὴν ἀδελφὴν ἐπ’ ἐξαγωγῇ πέπρακεν. Ὑπερίδην δὲ ἐγράψατο παρανόμων ἐπὶ τῷ μετὰ Χαιρώνειαν ψηφίσματι καὶ οὐχ εἷλεν.

α 3914 Ἀριστόδημος, Ἀριστοκράτους, Κύμης τῆς Ἰταλιώτιδος τύραννος, ἀνὴρ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους· ὃς ἐκαλεῖτο μαλακὸς ὑπὸ τῶν ἀστῶν καὶ σὺν χρόνῳ γνωριμωτέραν τοῦ ὀνόματος ἔσχε τὴν κλῆσιν, εἴθ’ ὅτι θηλυδρίας ἐγένετο παῖς ὢν καὶ τὰ γυναιξὶν ἁρμόττοντα ἔπασχεν, εἴθ’ ὅτι πρᾶος ἦν φύσει καὶ μαλακὸς ἐς ὀργήν.

α 3915 Ἀριστόδημος· Ἐπιτομὴν τῆς Καθόλου Ἡρωδιανοῦ ἔγραψε πρὸς Δαναόν.

α 3916 Ἀριστοκλῆς, Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος Περιπατητικός. συνέταξε Περὶ φιλοσοφίας βιβλία ι′· Πότερος σπουδαιότερος Ὅμηρος ἢ Πλάτων. καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν. ἔγραψε δὲ καὶ Τέχνας ῥητορικὰς, Περὶ Σαράπιδος, Ἠθικὰ βιβλία θ′.

α 3917 Ἀριστοκλῆς, Λαμψακηνὸς, φιλόσοφος Στωϊκός. ἔγραψεν Ἐξήγησιν τῶν Χρυσίππου Περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, βιβλία δ′.

α 3918 Ἀριστοκλῆς, Περγαμηνὸς, σοφιστὴς, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ Τέχνην ῥητορικὴν, Ἐπιστολὰς, Περὶ ῥητορικῆς βιβλία ε′, Μελέτας, Πρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

α 3919 Ἀριστοκράτης, Ῥοδίων στρατηγός· ὃς ἦν κατὰ τὴν ἐπιφάνειαν ἀξιωματικὸς καὶ καταπληκτικός. διόπερ ἐκ πάντων τούτων ὑπέλαβον οἱ Ῥόδιοι τελέως ἀξιόχρεων ἡγεμόνα καὶ προστάτην ἔχειν τοῦ πολέμου. διεψεύσθησαν δὲ τῶν ἐλπίδων· ἐλθὼν γὰρ ἐς τὰς πράξεις ὥσπερ ἐς πῦρ, καθάπερ τὰ κίβδηλα τῶν νομισμάτων, ἀλλοῖος ἐφάνη.

α 3920 Ἀριστοκρατία: ἡ κράτησις τῶν ἀρίστων.

α 3921 Ἀριστομάχη: ὄνομα κύριον.

α 3922 Ἀριστομένης, Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, Ὀλυμπιάδι πζ′. ἐπεκλήθη Θυροποιός.

α 3923 Ἄριστον: περὶ ὥραν γ′· παρὰ τὸ εἰς ἀριστείαν προέρχεσθαι. ζήτει ἐν τῷ δεῖπνον.

α 3924 Ἀριστόνικος, Ἀλεξανδρεὺς, γραμματικός. ἔγραψε Περὶ τῶν σημείων τῶν ἐν τῇ Θεογονίᾳ Ἡσιόδου καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας· Ἀσυντάκτων ὀνομάτων βιβλία ϛ′.

α 3925 Ἀριστόνικος, ὁ τοῦ Πτολεμαίου τοῦ βασιλέως Αἰγύπτου εὐνοῦχος μὲν ἦν, ἐκ παιδίου δ’ ἐγεγόνει σύντροφος τῷ βασιλεῖ. τῆς δ’ ἡλικίας προβαινούσης ἀνδρωδεστέραν εἶχεν ἢ κατ’ εὐνοῦχον τόλμαν καὶ προαίρεσιν. καὶ γὰρ φύσει στρατιωτικὸς ἦν καὶ τὴν πλείστην διατριβὴν ἐποιεῖτο ἐν τούτοις καὶ περὶ ταῦτα. παραπλησίως καὶ κατὰ τὰς ἐντεύξεις ἱκανὸς ὑπῆρχε καὶ τὸν κοινὸν νοῦν εἶχεν, ὃ σπάνιόν ἐστι. πρὸς δὲ τούτοις πρὸς εὐεργεσίαν ἀνθρώπων ἐπεφύκει καλός.

α 3926 Ἀριστονομία: ἡ διανομὴ τῶν ἀρίστων.

α 3927 Ἀριστόξενος, υἱὸς Μνησίου, τοῦ καὶ Σπινθάρου, μουσικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ φιλόσοφος γέγονε καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίου, εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου καὶ τέλος Ἀριστοτέλους· εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῖς Ἀριστοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων· ὡς εἶναι ἀπὸ τῆς ρια′ Ὀλυμπιάδος, σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα, καὶ ἱστορίας καὶ παντὸς εἴδους παιδείας· καὶ ἀριθμοῦ αὐτοῦ τὰ βιβλία εἰς υνγ′.

α 3928 Ἀριστόξενος, Κυρηναῖος· ὅστις ὑπὸ τῆς ἀνυπερβλήτου τρυφῆς τὰς ἐν τῷ κήπῳ θρίδακας οἰνομέλιτι ἑσπέρας ἐπότιζε, καὶ χλωροὺς πλακοῦντας ἔλεγεν ἀναπέμπεσθαι αὐτῷ.

α 3929 Ἀριστοτέλης, υἱὸς Νικομάχου καὶ Φαιστιάδος· ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος. ἐκ Σταγείρων, πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφοὺς μὲν ἔσχεν Ἀρίμνηστον καὶ Ἀριμνήστην, θυγατέρα δὲ ἀπὸ Πυθιάδος, τῆς θυγατρὸς Ἑρμείου τοῦ εὐνούχου· ὃς καὶ θλαδίας ὢν αὐτὴν ἔσπειρε. γημαμένη δὲ τρισὶν ἡ Ἀριστοτέλους θυγάτηρ τεκνώσασα προετελεύτησεν Ἀριστοτέλους τοῦ πατρός. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν ἠγάγετο μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου· ὅστις ἦν ἄρχων Ἀταρνέως, χώρα δὲ αὕτη Τρῳάδος, Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονὼς ἔλαβε· καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. ἦρξε δὲ ἔτη ιγ′ τῆς Περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημίας, ἐν ᾗ Πλάτων ἐδίδαξεν. ἐγεννήθη δὲ ἐν τῇ ϟθ′ Ὀλυμπιάδι καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον· οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο′.

α 3930 Ἀριστοτέλης· Τίμαιός φησι κατὰ Ἀριστοτέλους εἶναι αὐτὸν εὐχερῆ, θρασὺν, προπετῆ· ἀλλ' οὐ σοφιστὴν ὀψιμαθῆ, μισητὸν ὑπάρχοντα, καὶ τὸ πολυτίμητον ἰατρεῖον ἀποκεκλεικότα, καὶ πρὸς πᾶσαν αὐλὴν καὶ σκηνὴν ἐμπεπηδηκότα. πρὸς δὲ γαστρίμαργον, ὀψαρτυτὴν, ἐπὶ στόμα φερόμενον ἐν πᾶσι. δοκεῖ δή μοι τὰ τοιαῦτα μόλις ἄνθρωπος ἀγύρτης καὶ προπετὴς ἐπὶ δικαστηρίου ῥιψολογῶν ἀνεκτὸς φανῆναι. ὅτι Ἀριστοτέλης τῆς φύσεως γραμματεὺς ἦν, τὸν κάλαμον ἀποβρέχων εἰς νοῦν· ὃν οὐδὲν ἴσως ἐχρῆν τῶν χρησίμων, εἰ καὶ τεχνικώτερόν ἐστι καὶ περιττότερον ἐξειργασμένον, παραιτεῖσθαι. καὶ Ἀριστοτέλειος λόγος.

α 3931 Ἀριστοτόκεια: ἡ ἀρίστους γεννῶσα.

α 3932 Ἀριστοφάνης, Ῥόδιος ἤτοι Λίνδιος, οἱ δὲ Αἰγύπτιον ἔφασαν, οἱ δὲ Καμειρέα· θέσει δὲ Ἀθηναῖος· ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς· κωμικὸς, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ′ Ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου· παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον, κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ′. ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα ταῦτα· Ἀχαρνεῖς, Βάτραχοι, Εἰρήνη, Ἐκκλησιάζουσαι, Θεσμοφοριάζουσαι, Ἱππεῖς, Λυσιστράτη, Νεφέλαι, Ὄρνιθες, Πλοῦτος, Σφῆκες.

α 3933 Ἀριστοφάνης, Βυζάντιος, γραμματικός, υἱὸς Ἀπελλοῦ ἡγουμένου στρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου· ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς ἤκουσε· πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου ἢ Σικυωνίου. γέγονε δὲ κατὰ τὴν ρμδ′ Ὀλυμπιάδα.

α 3934 Ἀριστόχειρ: ὁ γενναῖος περὶ τὰ ἀριστεῖα. καὶ ἀριστόχειρ ἀγών.

α 3935 Ἀρίστων, ὁ Πλάτωνος πατήρ. τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων. καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις· οὔτε ὁ Φαίδων, οὔτε ὁ Γοργίας· οὐμενοῦν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης.

α 3936 Ἀριστώνυμος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος ῥιγῶν, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς. βασιλεύοντος Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ τοῦ μετ' αὐτὸν τοῦ Φιλοπάτορος· καὶ προέστη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξβ′.

διασκευασθεὶς δὲ ὡς βουλευόμενος πρὸς Εὐμενῆ φυγεῖν, ἐφυλάχθη ἐν εἱρκτῇ χρόνον τινά. ἠφείθη δὲ καὶ ὑπὸ στραγγουρίας τελευτᾷ, ἔτη βεβιωκὼς οζʹ. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

α 3937 Ἀρίστρατος: ὄνομα κύριον.

α 3938 Ἀρίστυλος· αἰσχροποιὸς ἦν. Ἀριστοφάνης· τοῦτ’ ἤδη δεινὸν ἀκοῦσαι, εἴ σε φιλήσειεν Ἀρίστυλος, φάσκων αὐτοῦ πατέρ’ εἶναι. καὶ Ἀρίστυλος κεχηνώς. Ἀριστοφάνης· σὺ δ’ Ἀρίστυλος ὑποχάσκων ἐρεῖς, ἕπεσθε μητρὶ χοῖροι. οὗτος αἰσχρὸς ποιητὴς, ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ ἀεὶ ἐκεχήνει.

α 3939 Ἀρίστοιχος: ὄνομα κύριον.

α 3940 Ἀριφράδης· οὗτος λοιδορεῖται ἀεὶ γυναιξὶ συνών. κιθαρῳδὸς δὲ ἦν. Ἀριστοφάνης· Ἀριφράδης ἐστὶ μὲν πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται· ἔστι δ’ οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ’ ἂν ᾐσθόμην, οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι. τὴν γὰρ αὐτοῦ γλῶτταν αἰσχραῖς ἥδον. τουτέστι τὸ αἰδοῖον τοῦ ἀνθρώπου καὶ τὸ σπέρμα. Ἀριφράδης δὲ, Πολύμνηστος καὶ Οἰώνιχος ἀρρητοποιοί. καὶ Πολυμνήστεια καὶ αὐτὴ κωμῳδεῖται ἐπ’ αἰσχρότητι. εἴ τις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα φυλάττεται, μή ποτ’ ἐκ τοῦ αὐτοῦ μεθ’ ἡμῶν πίεται ποτηρίου. καὶ αὖθις· Ἀρίφραδες, παῦσαι ληρῶν.

α 3941 Ἀρίφρων: ὁ κακῶς φρονῶν.

α 3942 Ἀρρίχους: θηλυκῶς, τὰς ἀρρίχους, ἡ ἀρρίχη. ἐξηγοῦνται δέ τινες κόφινον. ἡγητέον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι, διάφορον δέ τι. λέγουσι δὲ καὶ νῦν ἔτι σωράκων τι εἶδος ἀρρίχους. ὅτι αἱ ἀρρίχαι εἶδος κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν.

α 3943 Ἄρθμια: φίλια. Ἡρόδοτος· Ἀθηναίων μὴ ἐόντων ἡμῖν ἀρθμίων, τῷ δὲ βαρβάρῳ συμμάχων. καὶ Ἀρθμήσαντες, φίλοι γενόμενοι.

α 3944 Ἀρθρέμβολα: ὀνόματα βασανιστηρίων· παρὰ τὸ ἐξαρθροῦν τὸν ἐμβαλλόμενον.

α 3945 Ἀρθροπέδαν· ἀρθροπέδαν στῆμόν τε καὶ ὠλεσίβωλον ἀρούρης σφῦραν.

α 3946 Ἀρκάδας μιμούμενοι: ἐπὶ τῶν ἑτέροις πονούντων. οἱ γὰρ Ἀρκάδες μαχιμώτατοι Ἑλλήνων γενόμενοι ἰδίᾳ μὲν οὐδένα ἐνίκησαν, ἑτέροις δὲ συμμαχοῦντες πολλούς. ταύτῃ δὲ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ. διὰ γὰρ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι ἔφη. Ἀρκὰς οὖν, Ἀρκάδος, Ἀρκάδι.

α 3947 Ἀρκαδία: χώρα. καὶ ὄνομα κύριον. ὅτι Ἀρκαδίας τῆς δευτέρας γυναικὸς Ζήνωνος στήλη ἐστὶν ἐν Ἀρκαδιαναῖς, ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων τῶν λεγομένων Τόπων ἐν τῷ τοῦ Ἀρχιστρατήγου· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου καὶ σέκρετον τὸν τόπον ἐποίησε. τῆς δὲ ἑτέρας αὐτοῦ γυναικὸς πρώτης Ἀριάδνης καὶ αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ. καὶ παροιμία· Ἀρκαδίην με αἰτεῖς; μέγα με αἰτεῖς, οὔ τοι δώσω· ἐπὶ τῶν τὰ μεγάλα καὶ μὴ συμφέροντα αἰτούντων.

α 3948 Ἀρκάδιος, γραμματικὸς, Ἀντιοχεύς. ἔγραψε Περὶ ὀρθογραφίας, Περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, Ὀνοματικὸν θαυμάσιον.

α 3949 Ἀρκαῖος: ὄνομα κύριον.

α 3950 Ἀρκεσίλαος: ὄνομα κύριον. ὁ φιλόσοφος. καὶ ζήτει ἐν τῷ φημί.

α 3951 Ἀρκεῖν: βοηθεῖν. γέγονε γὰρ οὗτος οὐδαμῶς εὐκαταφρόνητος, ἀλλ’ ἱκανὸς ἀρκεῖν καὶ προστατεῖν πραγμάτων.

α 3952 Ἄρκειος κεφαλὴ καὶ Ἄρκειον κρέας. Ἄρκιον δὲ τὸ ἱκανὸν καὶ ὠφέλιμον.

α 3953 Ἀρκούντως ἔχειν: ἀπηρτισμένως εἶναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3954 Ἄρκου παρούσης τὰ ἴχνη ζητεῖς: ἐπὶ τῶν τὰ παρόντα ζητεῖν προσποιουμένων.

α 3955 Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει. εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐν παραβύστῳ. ἀντὶ τοῦ ἐν ἀποκρύφῳ, ἐν μυστηρίῳ.

α 3956 Ἀρκῶ· δοτικῇ. ἰσχύω, ὑπομεῖναι δύναμαι. ὁ πολὺς ἤδη βίοτος ἀπολέλοιπεν, οὐδ' ἔτ' ἀρκῶ.

α 3957 Ἀρκτέον: δεῖ ἄρχεσθαι.

α 3958 Ἄρκτος ἢ Βραυρωνίοις· ἀρκτευόμεναι γυναῖκες τῇ Ἀρτέμιδι ἑορτὴν ἐτέλουν, κροκωτὸν ἠμφιεσμέναι, οὔτε πρεσβύτιδες ι' ἐτῶν, οὔτε ἐλάττους ε', ἀπομειλισσόμεναι τὴν θεόν· ἐπειδὴ ἄρκτος ἀγρία ἐπιφοιτῶσα διέτριβεν ἐν τῷ δήμῳ Φλαυιδῶν· καὶ ἡμερωθεῖσαν αὐτὴν τοῖς ἀνθρώποις σύντροφον γενέσθαι. παρθένον δέ τινα προσπαίζειν αὐτῇ καὶ ἀσελγαινούσης τῆς παιδίσκης παροξυνθῆναι τὴν ἄρκτον καὶ καταξέσαι τῆς παρθένου· ἐφ' ᾧ ὀργισθέντας τοὺς ἀδελφοὺς αὐτῆς κατακοντίσαι τὴν ἄρκτον, καὶ διὰ τοῦτο λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. χρηστηριαζομένοις δὲ τοῖς Ἀθηναίοις εἶπε λύσιν τῶν κακῶν ἔσεσθαι, εἰ τῆς τελευτησάσης ἄρκτου ποινὰς ἀρκτεύειν τὰς ἑαυτῶν παρθένους ἀναγκάσουσι. καὶ ἐψηφίσαντο οἱ Ἀθηναῖοι μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειε τῇ θεῷ.

α 3959 Ἀρκτεῦσαι· Λυσίας τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι ἀρκτεύειν ἔλεγε. καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι καλοῦνται, ὡς Εὐριπίδης καὶ Ἀριστοφάνης δηλοῖ.

α 3960 Ἀρκτῖνος, Τήλεω, τοῦ Ναύτεω ἀπογόνου, Μιλήσιος, ἐποποιὸς, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου· γεγονὼς κατὰ τὴν θ' Ὀλυμπιάδα, μετὰ υι' ἔτη τῶν Τρωϊκῶν.

α 3961 Ἄρκτος: τὸ ζῷον· καὶ τὸ ἀεικίνητον ἀστροθέτημα. Ἀρκτοῦρος δὲ λέγεται καὶ αὐτὸς ὅλος ὁ Βοώτης, ἰδίως δὲ καὶ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστήρ. λέγεται καὶ Ἀρκτοφύλαξ. καὶ Ἀρκτῷος, ὁ ἀνατολικός.

α 3962 Ἄρκυς: τὸ θηρευτικὸν δίκτυον. τὰ λίνα, ἃ ἱστᾶσι πρὸς ἄγραν τῶν λεόντων. παρὰ τὸ ἕλκω, τροπῇ τοῦ λ εἰς ρ· ἢ παρὰ τὸ ἀγρεύειν· ἢ παρὰ τὸ εἴργειν, τὸ κωλύειν. τοῦ δὲ ἄρκυς ἐκτείνεται ἡ ὑστέρα συλλαβὴ, ὁμοίως ἐπί τε τῆς ὀρθῆς καὶ τῆς αἰτιατικῆς πτώσεως. καὶ ἄρκυς γὰρ καὶ τὰς ἄρκυς. καὶ Ἀρκυωρός, ὁ φύλαξ, ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἔστι δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λίνα. καὶ Ἀρκυωρεῖν, τὰς ἄρκυς τηρεῖν· αἵ εἰσι θηρευτικὰ λίνα. καὶ ἄρκυσιν.

α 3963 Ἅρμα: τόπος τῆς Ἀττικῆς. καὶ παροιμία· ὅταν δι' Ἅρματος ἀστράψῃ. ἐπὶ τῶν χρονίως γινομένων.

α 3964 Ἀρμαθέμ: τόπος.

α 3965 Ἁρμαλιά: ἡ τροφή. ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν. ὅτι τὸ ἁρμάμαξά τινες ψιλοῦσι παραλόγως.

α 3966 Ἁρμαμεντήρια.

α 3967 Ἁρμάτειος τροχός, Ἁρμάτειος δὲ νόμος, καὶ Ἁρμάτειον μέλος, ἀπὸ ἅρματος.

α 3968 Ἁρμάτιος· οὗτος μέγιστον ἴσχυσε παρὰ τῇ Ζηνωνίδι τῇ βασιλίσσῃ καὶ αὐτῷ Βασιλίσκῳ. ἐσφάγη δὲ ὑπὸ Ζήνωνος τοῦ βασιλέως, καὶ ὑπερήσθησαν οἱ πολῖται τῇ τούτου σφαγῇ. ἐπὶ γὰρ Λέοντος πρὸς τοὺς στασιάζοντας ὅσους λάβοι τῶν Θρᾳκῶν τὰς χεῖρας ἐκτέμνων ἀπέπεμπεν. Ὀνόουλφος δὲ αὐτὸν διεχρήσατο, ὅντινα ὁ Ἁρμάτιος πένητα καὶ ἄρτι ἐκ βαρβάρων ἥκοντα προσλαβὼν φιλοφρόνως τὸ μὲν πρῶτον κόμητα ἐποίησεν, ἔπειτα καὶ στρατηγὸν Ἰλλυριῶν, καὶ εἰς ἑστίασιν ἔχειν πολὺν ἄργυρον παρέσχεν. ἀντέδωκε δὲ τούτῳ τὴν βαρβαρικὴν ἀπιστίαν μετὰ χειρὸς μιαιφόνου.

α 3969 Ἁρματηλάτης: ὁ ἡνίοχος.

α 3970

Ἁρμάτος· ὅτι Βασιλίσκος ὁ βασιλεὺς, ἐπείπερ ὡς συγγενεῖ τῷ Ἁρμάτῳ ἀδεῶς ἐπέτρεπεν ἐντυγχάνειν Ζηνωνίδι τῇ βασιλίδι, τριβομένης σφίσι τῆς ὁμιλίας καὶ τοῦ κάλλους αὐτῶν οὐκ εὐπαροδεύτου ὄντος, ἄμφω ἀλλήλων ἐκτόπως ἤρων. ῥίψεις οὖν ὀμμάτων ἐπ’ ἀλλήλους ἐγίνοντο καὶ παρεκστροφαὶ συνεχεῖς προσώπων καὶ μειδιαμάτων μεταδόσεις· πόνος τε μετὰ ταῦτα ἔρωτος ὑπ’ ὄψιν στεγομένου. ἐπεὶ δὲ κοινωσάμενοι τὸ πάθος Δανιὴλ εὐνούχῳ καὶ Μαρίᾳ μαίᾳ ἰάσαντο τοῦτο μόλις τῇ τῆς μίξεως ἰατρείᾳ, Ζηνωνὶς Βασιλίσκον διὰ θωπείας ἦγε τοῦ τὸν ἐραστὴν ἔχειν ἐν τῇ πολιτείᾳ τὰ πρωτεῖα. ὁρῶν δὲ Θεοδώριχος τιμώμενον ἐκ πάντων Ἁρμάτον ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου τριχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. ὁ δ’ Ἁρμάτος ἔκ τε φορᾶς χρημάτων καὶ τιμῆς ἀπλέτου τυφωθεὶς οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ’ ἀνδρείᾳ. καὶ τοσοῦτον αὐτοῦ ἤδε ἡ ἄλη ἐκράτει, ὡς σκευὴν ἀναλαμβάνειν Ἀχιλλέως, οὕτω τε περιβαίνειν ἐς ἵππον καὶ κατὰ τὸν ἱππόδρομον φρυάττεσθαι τοῦ οἴκου. ἐξῆρε δὲ τοῦτον πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον· ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα, εἰ δ’ ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον. οὐ γὰρ ἥρωας ἔβαλλεν ὡς Πύρρος, ἀλλὰ γυναιμανὴς ἦν ὡς Πάρις.

α 3971 Ἁρματωλία: ἡ τῶν ἁρμάτων ἡνιοχεία. καὶ τοῦ κύκλου παρέτραγον ὑφ’ ἁρματωλίας. ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν. Ἁρματροχία δὲ ἡ ἐγχάραξις τοῦ ἅρματος. ἔστι καὶ Ἁματροχία.

α 3972 Ἄρμενα: ἁρμόδια, ἐπιτήδεια. ἐν Ἐπιγράμμασι· Πανὶ τάδ’ αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνας. καὶ Ἄρμενον, τὸ ἱστίον. ὅτι οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν.

α 3973 Ἁρμογή: εὐταξία. μαθόντες δὲ τὴν τῶν πολεμίων ἁρμογὴν τῆς πορείας.

α 3974 Ἁρμογή: ὡς ἡμεῖς. Εὔπολις Αἰξί· ταύτην ἐγὼ ἐζήτουν πάλαι τὴν ἁρμογήν.

α 3975 Ἁρμόδιοι: ἀρεστοί. καὶ παροιμία· Ἁρμοδίου μέλος, ἐπὶ τῶν δυσκόλων. τὰ γὰρ εἰς Ἁρμόδιον μέλη τοιαῦτά ἐστιν. Ἁρμόδιος καὶ Ἀριστογείτων ἐπέθεντο τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν ἀπέκτειναν Ἀθηναῖοι.

α 3976 Ἁρμοζόμενος: ἐπιτηδείως διατιθέμενος. ὁ δὲ νυκτὸς ἐποίει τὰς εἰσόδους ἁρμοζόμενος πρὸς τὴν ὑποκειμένην πρόθεσιν.

α 3977 Ἁρμονίαν: τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὴν νευρὰν ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ὅτι ἡ ἁρμονία ἐπιγίνεται τοῖς ἡρμοσμένοις· δεῖ γὰρ εἶναι τὰς χορδάς, εἶτα τοιῶσδε ἐπιταθῆναι, καὶ οὕτως ἐπιγενέσθαι τὴν ἁρμονίαν. οὐ μάχεται δὲ τοῖς ἡρμοσμένοις, ἀλλ’ ἕπεται οὕτως ἔχουσα, ὡς ἂν ἔχῃ τὰ ἡρμοσμένα. ἔστι δὲ ἁρμονία συμφωνία τῶν χορδῶν. ἀναρμοστία δέ ἐστι τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ὧν τὸ μὲν ἀσυμμετρία ἐστὶ τῶν στοιχείων ἡ νόσος, τὸ δὲ τῶν ὁμοιοτέρων ἡ ἀσθένεια, τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. ἁρμονία δέ ἐστι λόγος τῶν μιχθέντων ἢ σύνθεσις. λέγεται δὲ διχῶς. κατὰ α′ μὲν λόγον ἡ σύνθεσις τῶν σωμάτων, ὅταν οὕτως παρατεθῇ, ὡς μὴ δύνασθαι ἄλλον ἐμβληθῆναι μεταξὺ λίθον ἤ τι τῶν συγγενῶν βαρέων σωμάτων. ἐκ δὲ τούτων μεταφέρομεν τὸ τῆς ἁρμονίας ὄνομα καὶ ἐπὶ τὸν λόγον τῶν μεμιγμένων, οἷον ἔν τε τοῖς κεκραμένοις καὶ ἐν τοῖς κατὰ μουσικήν. τὸν γὰρ λόγον τῶν μιχθέντων τὸν ἡμιόλιον ἢ τὸν ἐπίτριτον ἤ τινα ἄλλον λέγομεν ἐκ τῶν συνθέτων κατὰ μεταφορὰν ἁρμονίαν. κατὰ α′ δὲ λόγον ἡ ἁρμονία ἐπὶ τῆς παραθέσεως λέγεται, ἐπειδὴ γνωριμωτέρα ἡμῖν ἐστιν. οὔτε σύνθεσιν οὖν οὔτε μίξιν εὔλογον ποιεῖν τὴν ψυχήν. ἐπὶ οὖν τῶν ποιητικῶν δεῖ καὶ ποιᾶς ὕλης, ἤγουν οὐσίας. ἄλλως γὰρ χαλκὸς ἠχεῖ καὶ ἄλλως σίδηρος καὶ ἄλλως μόλυβδος καὶ ξύλον. διὸ καὶ τὰ ὀψόβαφα εἰώθασιν ἐκ διαφόρου κατασκευάζειν ὕλης, ἵνα τῇ διαφορᾷ τῶν ἀπηχήσεων τὴν ἁρμονίαν ἀποτελέσωσιν. ἡ γὰρ ἁρμονία πολυμιγέων ἐστὶ καὶ δίχα φρονεόντων ἕνωσις. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον. ἁρμονίαι δὲ

λέγονται καὶ τὰ συμπησσόμενα τῶν κραββάτων μέρη. τῶν ἁρμονιῶν διαχασκουσῶν. τροπικῶς δὲ τὰ ποιήματα. Ἀριστοφάνης.

α 3978 Ἁρμονίδης: ὄνομα κύριον.

α 3979 Ἁρμοσταί: οἱ ἀπὸ βασιλέως στελλόμενοι εἰς ἔθνη. οἱ δὲ Φαλίσκοι οὐδενὶ προσεῖχον τῶν ἐπιχωρίων ἁρμοστῇ πάντας ὑφορώμενοι. Ἁρμοσταὶ οὖν οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι.

α 3980 Ἁρμόττων· δοτικῇ. συνάπτων. καὶ Ἁρμόζων· δοτικῇ.

α 3981 Ἁρμοῖ που: ἀρτίως, νεωστί. οὕτω που Καλλίμαχος ἐν Ἑκάλῃ· ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχεν ἁβρὸς ἴουλος.

α 3982 Ἀρνακίδα. Ἀρνακίς, τὸ τοῦ ἀρνοῦ κῴδιον, τὸ μετὰ τῶν ἐρίων δέρμα. Ἀριστοφάνης Νεφέλαις· οἴμοι τίς ἂν δῆτ' ἐπιβάλοι ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα; ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν, καὶ τοῦ ἀρνεῖσθαι τοὺς δανειστάς. τὸ δὲ ἀποστερητρίδα ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον.

α 3983 Ἀρναῖος: ὄνομα κύριον.

α 3984 Ἀρνευτήρ: κυβιστητήρ.

α 3985 Ἄρνη: πόλις Βοιωτίας.

α 3986 Ἀρνίον σοι λελάληκεν· ἐν Αἰγύπτῳ, ὥς φασιν, ἀνθρωπείᾳ φωνῇ ἐλάλησεν. εὑρέθη δὲ ἔχον ἐν τῇ κεφαλῇ βασίλειον δράκοντα ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ πτερωτὸν, ἔχοντα μῆκος πήχεων δ′, καί τινι λελάληκε τὰ μέλλοντα.

α 3987 Ἄρνουφις· οὗτος Αἰγύπτιος ἦν φιλόσοφος, ὃς συνὼν Μάρκῳ, τῷ βασιλεῖ Ῥωμαίων, τῷ φιλοσόφῳ, δίψει ποτὲ καμνόντων τῶν Ῥωμαίων ἐξαίφνης ποιῆσαι νέφη τε ἀγερθῆναι ζοφώδη καὶ ὄμβρον ἀφεῖναι λάβρον ἅμα βρονταῖς τε καὶ σέλασιν ἐπαλλήλοις. καὶ τοῦτο σοφίᾳ τινὶ ἐργάσασθαι Ἄρνουφιν. οἱ δέ φασιν Ἰουλιανὸν τὸν Χαλδαῖον τοῦτο πεποιηκέναι τὸ θαυμάσιον.

α 3988 Ἀρνυμένη: ἀντικαταλλάσσουσα. ζώειν γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστα, ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον. καὶ Ἄρνυσθαι, ἀντικαταλλάσσεσθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν, τὸν μισθὸν ἀντί τινος λαμβάνειν λέγεται. λαμβάνεται δὲ ἀντὶ τοῦ περιποιούμενος καὶ ἀντὶ τοῦ φυλάττων. οὕτως Πλάτων.

α 3989 Ἄρομα: τὸ ἀροτρίασμα. Ἄρωμα δὲ διὰ τοῦ ω μεγάλου τὸ μυρεψικόν. καὶ Ἀρόσιμον κλίμα, τὸ ἀροτριούμενον.

α 3990 Ἀρουραία μάντις: ἐπὶ τῶν νωθρῶν καὶ ἀπράκτων. ἔστι δὲ ἀκρὶς δυσκίνητος, χλωρὰ, καλουμένη μάντις, ἧς τινες προσέχοντες ταῖς κινήσεσι μαντεύονται. ὅτι ἡ ἄρουρα ἔχει πόδας ν′.

α 3991 Ἀροῦσιν: ἐπάρωσιν, ὑψώσουσιν.

α 3992 Ἆρον· ἆρες δέ.

α 3993 Ἀρωγή: ἡ βοήθεια. καὶ Ἀρωγός, βοηθός. ὠφέλιμος.

α 3994 Ἀρρωδία: ὁ φόβος. Ἡρόδοτος· ἀρρωδία ἦν τὸ πεῖθον.

α 3995 Ἄρρωλος: ὄνομα πόλεως.

α 3996 Ἄρωμα: θυμίαμα μυρεψικόν. Ἀρώματα οὖν οὐ τὰ θυμιάματα οἱ Ἀττικοὶ καλοῦσιν, ἀλλὰ τὰ ἐσπαρμένα.

α 3997 Ἀρρώστημα νοσήματος διαφέρει· ἀρρώστημα γάρ ἐστι νόσημα μετὰ ἀσθενείας, τὸ δὲ νόσημα οἴησις σφοδρὰ δοκοῦντος αἱρετοῦ. καὶ ὡς ἐπὶ σώματος εὐεμπτωσίαι τινὲς λέγονται, οἷον κατάρρους, διάρροια, οὕτω κἀπὶ τῆς ψυχῆς εἰσι καταφορίαι, οἷον φθονέρα, ἐλεημοσύνη καὶ τὰ παραπλήσια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 3998 Ἀρρωστία: ἡ ἀσθένεια. Ἀρρωστία δὲ τοῦ στρατεύειν, ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδίδης.

α 3999 Ἁρπάζω· αἰτιατικῇ.

α 4000 Ἁρπαλέος: ὁ ἐπιθυμητικός. καὶ Ἁρπάλεια χρήματα.

α 4001 Ἁρπάληξ: ὄνομα κύριον.

α 4002 Ἁρπαστὸν καὶ Σφαῖρα: εἴδη παιδιᾶς.

α 4003 Ἁρπεδόνες: τὰ σχοινία. Ἁρπεδόνη, ἡ διὰ σπάρτου θήρα. ἐν Ἐπιγράμμασι· καὶ πολλοὺς ὀϊστοὺς τόξου πορφυρέης ἧκεν ἀφ’ ἁρπεδόνης.

α 4004 Ἁρπεδόσι: τοῖς ἱστοῖς. καλύπτειραν δὲ προσώπου, ἔργον ἀραχναίοις νήμασιν ἰσόμορον. καὶ αὖθις· τὸ δὲ προτευχθὲν ἀραχναίῃς εἴκελον ἁρπεδόσιν.

α 4005 Ἅρπη: τὸ δρέπανον, καὶ κλίνεται ἅρπης. Ἁρπὶς δὲ διὰ τοῦ ι τὸ ὑπόδημα, καὶ κλίνεται ἁρπίδος. καὶ Ἁρπηφόρος, ὁ δρεπανηφόρος. καὶ Ἁρπήνη.

α 4006 Ἅρπεζον· ὅτι τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ παρὰ Ἡροδότῳ τινὲς ἅρπεζον καλοῦσιν.

α 4007 Ἀρπήνουσα: ὄνομα νήσου.

α 4008 Ἁρπίς, ἁρπίδος.

α 4009 Ἅρπυιαι: ἁρπακτικαὶ δαίμονες.

α 4010 Ἁρποκρᾶς· οὗτος συνήθης ἦν Ἀμμωνίῳ, ἀνὴρ Αἰγύπτιος, γραμματικὸς, ἐπὶ Ζήνωνος τοῦ βασιλέως· ὃν ἀκούσας ὁ Νικομήδης τὰ ἀμφὶ τὸν Ἀμμώνιον ἐπίστασθαι συλλαβεῖν ἠπείγετο. ὁ δὲ τὰ μέλλοντα ἀπ’ ἀρχῆς εἰκάσας ἢ καὶ προπυθόμενος εὐθὺς ἀφανὴς ἐγεγόνει.

α 4011 Ἁρποκρατίων, Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδʹ, Λέξεις Πλάτωνος ἐν βιβλίοις βʹ.

α 4012 Ἁρποκρατίων, ὁ Γάϊος χρηματίσας, σοφιστής. ἔγραψε Περὶ τῶν Ἀντιφῶντος σχημάτων, Περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων, καὶ ἕτερα.

α 4013 Ἁρποκρατίων, ὁ Αἴλιος χρηματίσας, σοφιστής. ἔγραψε Περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ Ὑποθέσεις τῶν λόγων Ὑπερίδου, Περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, Περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, Περὶ τέχνης ῥητορικῆς, Περὶ ἰδεῶν.

α 4014 Ἁρποκρατίων, ὁ Βαλέριος χρηματίσας, ῥήτωρ, Ἀλεξανδρεύς. Λέξεις τῶν δέκα ῥητόρων, Ἀνθηρῶν συναγωγήν.

α 4015 Ἀρσάκης, Πάρθων βασιλεύς· ὃς δόρατι πληγεὶς ἐν τῇ μάχῃ κατὰ τὴν πλευρὰν θνῄσκει, ἀνὴρ γενόμενος τό τε σῶμα κάλλιστος καὶ περιβλεπτότατος καὶ τὴν ψυχὴν βασιλικώτατος καὶ τοῖς ἐς πόλεμον ἔργοις δαημονέστατος, καὶ ἐς μὲν τὸ ὑπήκοον πᾶν πραότατος, ἐς καθαίρεσιν δὲ τοῦ ἀνθισταμένου ἐρρωμενέστατος. καὶ τοῦτον Παρθυαῖοί τε ἐς τὰ μάλιστα ἐπόθησαν. καὶ Ἀρσακίδαι, οἱ Περσῶν βασιλεῖς. Ἀρσάκης, ὁ Παρθυαῖος, τοὺς Μακεδόνας κρατήσαντας τῆς Περσῶν ἀρχῆς ἔτη ϛϟγ ἐκβαλὼν Πάρθοις τὴν βασιλείαν παραδέδωκεν. ἔνθεν Ἀρσακίδαι ἐκλήθησαν οἱ Περσῶν βασιλεῖς.

α 4016 Ἄρσενι βοᾷ δοκίμῳ: τῇ θαυμαστῇ φωνῇ καὶ δεδοκιμασμένῃ.

α 4017 Ἄρσεων: βασταγμάτων. φορτίων.

α 4018 Ἀρσινόη: ὄνομα κύριον.

α 4019 Ἀρτᾷ: ἐπικρέμαται.

α 4020 Ἀρτάβη: μέτρον Μηδικὸν σίτου, Ἀττικὸς μέδιμνος.

α 4021 Ἀρτασήρας: ὄνομα κύριον.

α 4022 Ἀρταφέρης: ἡγεμὼν Περσῶν. καὶ ζήτει ἐν τῷ ἀπεκορύφου καὶ ἐν τῷ Δάτις.

α 4023 Ἀρτάρια: παρ’ ἡμῖν οἱ τῶν ποδῶν πῖλοι.

α 4024 Ἀρτεμής: ὁλόκληρος, σῷος, ὑγιής. Ἄρτεμις δὲ ἡ θεός.

α 4025 Ἀρτεμίδωρος, Δαλδιανός (πόλις δέ ἐστι Λυδίας ἡ Δάλδις), φιλόσοφος. ἔγραψεν Ὀνειροκριτικὰ ἐν βιβλίοις δʹ, Οἰωνοσκοπικὰ καὶ Χειροσκοπικά.

α 4026 Ἀρτεμίδωρος, ὁ Ψευδοαριστοφάνειος, ὁ ὀψαρτυτικὰς λέξεις συναγαγών.

α 4027 Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, βασιλεὺς Ῥωμαίων, αἰσθόμενος στόλον Σαρακηνῶν ἔρχεσθαι κατὰ τῆς πόλεως, Ἰωάννην ἐφίστησιν ἡγεμόνα τοῦ πολέμου, διάκονον τῆς μεγάλης ἐκκλησίας καὶ λογιστὴν τῶν φόρων, ὃν Γενικὸν καλοῦσιν· ὃς πρὸς τῇ Ῥόδῳ γενόμενος καταστασιασθεὶς ὑπὸ τοῦ πλήθους ἀναιρεῖται.

α 4028 Ἄρτεμις: ἡ θεός.

α 4029 Ἄρτεμις Λαφρία.

α 4030 Ἀρτεμισία· αὕτη ἠρίστευσε κατὰ Περσῶν· δι’ ἣν εἶπεν ὁ βασιλεὺς, ὡς οἱ ἄνδρες γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες ἄνδρες. Ἀρτεμισίαι δὲ δύο γεγόνασι, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι, ὧν ἡ μὲν πρώτη γέγονε κατὰ Περσίδα, ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῇ περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει, θυγάτηρ μὲν ἦν Ἑκατόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου.

α 4031 Ἀρτεμίσιος: παρὰ Μακεδόσιν ὁ Μάϊος. καὶ Ἀρτεμίσιον ἰδίως μὲν Ὑπερίδης πολλάκις ὠνόμασε τὸ τῆς Ἀρτέμιδος ἄγαλμα. λέγεται δὲ καὶ ἀκρωτήριον τῆς Εὐβοίας, οὗ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος μνημονεύει.

α 4032 Ἀρτήρ: ὑποδήματος γένος. Φερεκράτης Γραυσίν.

α 4033 Ἀρτησάμενος: κρεμάσας. καὶ Ἀρτῆσαι, ὁμοίως· Ἀρτίσαι δὲ τὸ τελειῶσαι καὶ Ἀπαρτίσαι διὰ τοῦ ι.

α 4034 Ἄρτι: τὸ μέρος τοῦ παρεληλυθότος συνάπτων τῷ νῦν ἐναντίως ἔχον τῷ αὐτίκα· τοῦτο γὰρ κατὰ τὸ μέλλον συνάπτει τῷ νῦν. Ἀριστοφάνης Νεφέλαις· ἀνήρετ’ ἄρτι. ἀντὶ τοῦ ἐξ ὑπογύου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι, καὶ πάντα ἐξ ὑπογύου λέγειν.

α 4035 Ἄρτι τοῦ ἀρτίως διαφέρει παρὰ τοῖς Ἀττικοῖς. ἄρτι μὲν ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου. ἐκεῖνον εἶφ’, ὃν ἀρτίως εἰσήγαγες, ὁ Στρεψιάδης φησὶ πρὸς Σωκράτην. καὶ ἀντὶ τοῦ νῦν τὸ ἀρτίως. ἔτι περαιουμένοις καὶ ἀρτίως ἀποβαίνουσιν ἐπιτίθεσθαι. Κρίτων ἐν Γετικοῖς.

α 4036 Ἄρτια: ἡρμοσμένα, τέλεια, ὑγιῆ. λέγεται δὲ ταῦτα καὶ ἄρμενα. καὶ Ἀρτιάζειν, τὸ παίζειν ἄρτια ἢ περιττά. στατῆρσι δ’ ἀρτιάζομεν. Ἀριστοφάνης. καὶ Ἀρτιάκις. Ἄρτιος ἀριθμὸς ὁ λβʹ, Ἀρτιοπέριττος δὲ ὁ διχοτομούμενος εὐθέως εἰς περισσὸν ἀριθμόν, οἷον ὁ τῶν ιδʹ. τούτου γὰρ τὸ ἥμισυ ἑπτά.

α 4037 Ἀρτιδαεῖ: ἀρτιμαθεῖ. ἀργύριόν σοι τόνδε γενέθλιον ἐς τεὸν ἦμαρ πέμπω, ἀρτιδαεῖ σύμπνοον ἐργασίῃ.

α 4038 Ἀρτίδιον: μικρὸς ἄρτος. ὁ δέ τινα τῶν βασιλικῶν παίδων αἰτήσας ἀρτίδιον κατεχρήσατο.

α 4039 Ἀρτιεπής: ἀπηρτισμένος ἐν τῷ λέγειν. οὐκ ἐν ἐπαίνῳ τὸ ἀρτιεπὴς, κατὰ τὸ ἐναντίον τοῦ ἁμαρτάνειν· ἀλλ’ ὁ λάλος καὶ ἀπηρτισμένος τῷ λόγῳ.

α 4040 Ἀρτιζόμενοι· οἱ δὲ ἀρτιζόμενοι διεῖλον τὴν δύναμιν. ὁ δὲ πανοῦργος ὢν καὶ πρὸς τὸ τῆς τύχης ἄδηλον ἀρτισάμενος.

α 4041 Ἀρτιθαλῆ: νεόφυτα.

α 4042 Ἀρτικροτεῖσθαι: συμφωνεῖσθαι. ἀρτικροτοῦνθ’ οἱ γάμοι· φησὶ Μένανδρος.

α 4043

Ἄρτι μῦς πίττης γεύεται: ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων ἐν οἷς εἰσιν.

α 4044 Ἄρτιος καὶ Ἄρτιοι, τέλειοι, ὑγιεῖς. ὑπὸ νόσου ποδάγρας οὔτε αἱ χεῖρες οὔτε οἱ πόδες ἄρτιοι ἐτύγχανον οὖσαι.

α 4045 Ἀρτίως: τελείως, ὑγιῶς. οὐ μόνον ἄρτι, τὸ πρὸ ὀλίγου. Φερεκράτης Μυρμηκανθρώποις· ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη. καὶ ἀντὶ τοῦ γνησίου· τοιοῦδ' ἀποβλαφθεὶς ἀρτίως φίλου.

α 4046 Ἀρτίπους: ὑγιεῖς τοὺς πόδας ἔχων.

α 4047 Ἀρτίστομος: ὁ σαφὴς καὶ ὁ ἡδὺ φθεγγόμενος. οὕτως Διονύσιος. ὁ δὲ ἦν κάτοινος ἤδη καὶ οὐκ ἀρτίστομος ἔτι.

α 4048 Ἀρτίτομος: προπαροξυτόνως ὁ τεμνόμενος νεωστί. Ἀρτιτόμος δὲ ὁ νεωστὶ τέμνων.

α 4049 Ἀρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον· ἐν Ἐπιγράμμασι.

α 4050 Ἀρτοπωλεῖον: τὸ μαγκυπεῖον, ἐν ᾧ οἱ ἄρτοι γίνονται. Ἀρτοπώλιον δὲ ὁ τόπος, ἔνθα οἱ ἄρτοι πιπράσκονται.

α 4051 Ἄρτος: ὁ ψωμός. ἔστι δὲ καὶ ὄνομα τυράννου Μεσσαπίων, καὶ πρόξενον Ἀθηναίους ποιήσασθαί φησι Πολέμων.

α 4052 Ἄρτος· παροιμία· Ἄννος κρίβανον· ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄννος γὰρ Αἰγύπτιος εἰς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον.

α 4053 Ἀρτοσιτεῖ: ἄρτον ἐσθίει. Ξενοφῶν· ὅστις δὲ ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον.

α 4054 Ἀρτῶ: τὸ κρεμῶ.

α 4055 Ἀρτώριος: ὄνομα κύριον.

α 4056 Ἀρτύειν: σκευάζειν. καὶ Ἀρτύοντες, παρασκευάζοντες. καὶ Ἀρτύναντες.

α 4057 Ἀρύβαλλος: πλεκτόν τι βαλάντιον ὁ ἀρύβαλλος παρὰ τὸ ἀρύειν καὶ βάλλειν· ἢ μαρσίπιον. χεῖσθαι δὲ λέγεται οὐ μόνον τὰ ὑγρὰ, ἀλλὰ καὶ τὰ στερεά· ὥσπερ νῦν ἐπὶ τῆς ἀμβροσίας. εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ ἀμβροσίαν, κατὰ τούτου δὲ σκοροδάλμην.

α 4058 Ἀρύβας, Ἀλκέτου μὲν ἦν υἱὸς, Μολοττῶν δὲ βασιλεύς.

α 4059 Ἄρρυθμος: ἀδιατύπωτος, ἀκανόνιστος, μὴ ἔχων ῥυθμόν. ῥυθμὸς γὰρ ὁ τύπος. καὶ Ἀρρύθμως. καὶ Ἀρύομαι.

α 4060 Ἀρυώτης: ὄνομα κύριον.

α 4061 Ἀρυπότατος.

α 4062 Ἀρυσάμενος: ἀντλήσας.

α 4063 Ἀρύστιχος: σκευάριόν τι.

α 4064 Ἀρυστρίς· ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυστρίδα.

α 4065 Ἀρύταινα: χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους.

α 4066 Ἀρυταινοειδοῦς· ζήτει ἐν τῷ φάρυγξ.

α 4067 Ἀρύτεσθαι: σὺν τῷ τ λέγουσιν, οὐκ ἀρύεσθαι. Ἀριστοφάνης Νεφέλαις· εἴτ' ἄρα Νείλου προχοὰς ὑδάτων χρυσέοις ἀρύτεσθαι πρόχυσιν. καὶ Πλάτων Νόμοις· ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δὴ καὶ ὁπόσα καὶ ὁπότε.

α 4068 Ἀρρυτίδωτον: μὴ ἔχον ῥυτίδας, αἵ εἰσι γραμμαὶ γήρως σημαντικαί.

α 4069 Ἀρχαῖα: τὰ κεφάλαια τῶν χρεῶν. Ἀριστοφάνης Νεφέλαις· αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων.

α 4070

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρχαϊκόν· οἱ δὲ τοῦ μέρους τῆς εὐσεβείας τὸ ἁπλοῦν τῷ Σπυρίδωνι καὶ ἀρχαϊκὸν συνειδότες, προσέτι δὲ καὶ τὸ τῆς Ἑλληνικῆς παιδείας καθαρῶς ἄγευστον, ἐκώλυον εἰς μέσον ἐλθεῖν καὶ τῷ σοφιστῇ συμβαλεῖν ἐπὶ συνόδου. παλαιὸς γάρ τις καὶ ἀρχαΐζων λόγος, ἁπλοῦς καὶ ἀποίκιλος.

α 4071 Ἀρχαιόγονος, Ἀρχέγονος δέ.

α 4072 Ἀρχαῖον: ἐχρήσαντο οἱ ῥήτορες τῷ ἀρχαίῳ ἐπὶ τοῦ δανειζομένου τὸ ἀργύριον, ὅπερ ἔνιοι κατά τινα συνήθειαν κεφάλαιον ὀνομάζουσι. Δημοσθένης ἐν τῷ κατὰ Νικοστράτου· δανείσας ἀργύριον Ἄρχιππον οὐχ οἷός τε ἦν αὐτὸ ἀπολαβεῖν, οὔτε τόκον οὔτε τὸ ἀρχαῖον. παρείληπται δὲ καὶ ἐπὶ τοῦ παλαιοῦ. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν, γέγραφεν ἀρχαίως. καὶ πάλιν· οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς, Θεμιστοκλῆς καὶ Ἀριστείδης. τάττεται δὲ παρὰ κωμικοῖς καὶ ἐπὶ τοῦ εὐήθους.

α 4073 Ἀρχαῖον τὸ κιθαρίζειν: τουτέστιν οὐδενὸς λόγου ἄξιον, ληρῶδες, ἀνόητον.

α 4074 Ἀρχαῖος: ὁ παλαιός. Ἰσοκράτης μὲν ἐν τῷ Πανηγυρικῷ τὸ ἀρχαιοτρόπως εἰπεῖν, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι· Δημοσθένης δὲ ἐν τοῖς Φιλιππικοῖς εἰπών· οὕτως δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς· ἀντὶ τοῦ ἁπλῶς ἔλαβεν.

α 4075 Ἀρχαῖος: ἀντὶ τοῦ εὐήθης. Πλάτων. ἢ λῆρος. Ἀρχαίως δὲ ἀπραγμόνως, ἀπαρατηρήτως· ἢ καὶ ἠλιθίως, εὐήθως. μινυρίζοντες μέλη ἀρχαιομελισιδωνοφρυνιχήρατα.

α 4076 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: ἐπὶ τῶν σαθρὰ καὶ παλαιὰ λεγόντων. ἡ γὰρ διφθέρα παμπάλαιος, ἐν ᾗ δοκεῖ ὁ Ζεὺς ἀπογράφεσθαι τὰ γενόμενα.

α 4077 Ἀρχαιότυπος: ὁ παλαιὸς νόμος.

α 4078 Ἀρχαιρεσία: περὶ ἀρχῶν ἐκλογή. καὶ Ἀρχαιρεσίη, τὸ πρὸς χάριν πολλῶν ζῆν, ἢ τὸ ἐπιδόσεις χρημάτων ποιεῖσθαι. Ἡρόδοτος.

α 4079 Ἀρχαιρεσιάζειν: Δείναρχος. τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα.

α 4080 Ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· πολέμου γὰρ ἄρχεσθαι δικαιοῖ τὸν νέον, φιλοφροσύνης δὲ τὸν πρεσβύτην.

α 4081 Ἀρχέγονος· οὐκ ἠξίωσαν ταφῆς, ἣν ἡ ἀρχέγονος φύσις νομοθετεῖ.

α 4082 Ἀρχέδικος, κωμικός· τῶν δραμάτων αὐτοῦ ἐστι Θησαυρὸς καὶ Διαμαρτάνων, ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς.

α 4083 Ἀρχέδικος, κωμῳδιογράφος, ὃς κατὰ Δημοχάρους ἔγραψε τοῦ ἀνεψιοῦ Δημοσθένους.

α 4084 Ἀρχέλαος, Ἀπολλοδώρου ἢ Μίδωνος, Μιλήσιος, φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς. ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν· Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου, τοῦ δὲ μαθητὴς Σωκράτης· οἱ δὲ καὶ Εὐριπίδην φασίν. συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. συνέταξε καὶ ἄλλα τινά. ὅτι Βασίλειος, ἐπίσκοπος Εἰρηνουπόλεως, τὴν φρένα καὶ τὴν ἄσκησιν τῷ ὁμωνύμῳ Βασιλείῳ Καισαρείας ἐοικώς, ἔγραψε κατὰ Ἀρχελάου πρεσβυτέρου Κολωνείας.

α 4085 Ἀρχέμορος: ὄνομα κύριον.

α 4086 Ἀρχέπλουτον: ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον. Σοφοκλῆς· καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς, ἀλλ' ἀρχέπλουτον.

α 4087 Ἀρχέστρατος καὶ Ἀρχεστράτειος.

α 4088 Ἀρχέτυπον: πρωτότυπον. καὶ Ἀρχέτυπος, ὁ τὴν ἀρχὴν διδούς. Ἀρχαιότυπον δέ.

α 4089

Ἀρχεῖα: ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται, χαρτοφυλάκια· ἢ τὰ χωρία τῶν κριτῶν· ἢ ἀρχαῖα, ὡς Ξενοφῶν Ἱστοριῶν ηʹ. τοὺς δὲ υἱέας περιῆγεν ἐς τὴν ἐς τάχος γράφουσαν μοῖραν τῆς περὶ τὰ ἀρχεῖα διακονίας.

α 4090 Ἄρχειν· κοινότερον καὶ τὰς μικρὰς ἐπιστασίας καὶ λειτουργίας ἀρχὰς ἔλεγον, καὶ τὸ βουλεῦσαι ἄρξαι· ψιλὴ γὰρ ἐπιστασία. Ἀριστοφάνης· οὐκοῦν δικαστὰς ἐξεπίτηδες ἡ πόλις ἄρχειν καθίστησιν.

α 4091 Ἀρχή, ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν ζῴοις καὶ ἀετῶν ἐν ὀρνέοις· ἡ δὲ χειροτονητὴ, ὡς ἐπὶ βασιλέως ἀνθρώπων. Μαρῖνός φησι· γέγονε δὲ ἡμῖν ἡ ἀρχὴ οὐκ ἀρχὴ μόνον, οὐδὲ κατὰ τὴν παροιμίαν ἥμισυ τοῦ παντός. αὐτὸ δὲ ὅλον τὸ πᾶν.

α 4092 Ἀρχή. [Start of a diagram][Logical Relationship in a Diagram start mark]ἀρχαὶ τῶν ὅλων δύο[Logical Relationship in a Diagram end mark] [Start of a diagram section]τὸ ποιοῦν[End of a diagram section] [Start of a diagram section]καὶ τὸ πάσχον,[End of a diagram section] [Start of a diagram section]τὸ ποιοῦν δὲ τὸν ἐν[End of a diagram section] [Start of a diagram section]τὸ μὲν οὖν πάσχον εἶναι[End of a diagram section] [Start of a diagram section]αὐτῇ λόγον, τὸν θεόν.[End of a diagram section] [Start of a diagram section]τὴν ἄποιον οὐσίαν, τὴν ὕλην.[End of a diagram section][End of a diagram] διαφέρει δὲ ἀρχαὶ καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγενήτους καὶ ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ ἀσωμάτους εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ μεμορφῶσθαι.

α 4093 Ἀρχή· ποιητική· εἰδική· τελική. ὁ δὲ Ἀριστοτέλης φησὶν, ὅτι ἡ ψυχὴ οἷον ἀρχὴ τῶν ζῴων ἐστὶν, ὡς ποιητικὴ, εἰδικὴ, τελική· αὗται γάρ εἰσιν αἱ κυρίως ἀρχαί. ὡς μὲν οὖν ποιητικὴ, ὅτι αὕτη κινεῖ τὸ ζῷον μόνῃ τῇ βουλήσει καὶ οὐ δεῖται μοχλείας τινός· ὡς εἰδικὴ δὲ, ὅτι αὐτή ἐστιν ἡ εἰδοποιοῦσα τὸ ζῷον καὶ ἁπλῶς τὰ ἔμψυχα. λέγεται γὰρ τὰ ἔμψυχα εἴδη αὐτὸ τοῦτο εἶναι κατὰ τὴν ψυχήν· τὸ γὰρ κρεῖττον ἐν ἑκάστῳ τῶν φυσικῶν εἶδός ἐστιν ἑκάστου· κρεῖττον δὲ ἐν τοῖς ἐμψύχοις ἡ ψυχή. ὡς τελικὸν δὲ, ὅτι αὐτῆς ἕνεκα τὸ σῶμα· ἔστι γὰρ τὸ μὲν σῶμα ἕνεκά του, αὐτὴ δὲ οὗ ἕνεκα. ὅθεν καὶ ἡ διοργάνωσις τῶν ζῴων ἄλλη καὶ ἄλλη πρὸς τὴν ἰδιότητα τῆς ἐν ἑκάστῳ ψυχής. ἀλλ' ἡ μὲν ψυχὴ τῶν ζῴων πορρωτέρω ἀρχή, ἡ δὲ φύσις προσεχής. τῶν δὲ ἐξ ἀνάγκης ἑπομένων τῇ ψυχῇ τὰ μὲν αὐτῇ ἀκολουθεῖ, τὰ δὲ ὅλῳ τῷ ζῴῳ, λέγω δὴ τὸ ἐκ τῆς ζωῆς καὶ σώματος. καὶ τὰ μὲν τῆς ψυχῆς πάθη ἡ νόησις· τοῦτο γὰρ αὐτῆς ἴδιον· τὰ δ' ἄλλα πάθη, τὸ αἰσθάνεσθαι, τὸ φαντασιοῦσθαι, θυμοῦσθαι, ἐπιθυμεῖν καὶ εἴ τι τοιοῦτον, κοινά ἐστι τοῦ συναμφοτέρου. ὅτι πέντε γένη ἔλεγεν εἶναι ἀρχὰς πάντων τῶν ὄντων, οὐσίαν, ταυτότητα, ἑτερότητα, κίνησιν, στάσιν. γένη δὲ ταῦτα ἔλεγεν οὐχ οὕτως ὥσπερ τὰ παρὰ τοῖς Περιπατητικοῖς, ἅτινα διῄρηται ὑπ' ἀλλήλων καὶ ἀφ' ἑκάστου σειρά τις ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, ἀλλ' ὡς διὰ πάντων τῶν ὄντων διήκοντα. ἔστι γὰρ ἐν πᾶσι καὶ οὐσία, καθ' ἣν ἑκάστου ἐστὶ τὸ εἶναι· καὶ ἔστι ταυτότης, καθὸ ἐκ μιᾶς τῆς τῶν ὄντων ἐσμὲν ἀρχῆς. ἔχομεν δὲ καὶ ἑτερότητα, ἐπειδὴ καὶ πλῆθός ἐστι τὰ ὄντα· ὅπου δὲ πλῆθος, ἐκεῖ ἑτερότης. ἔστι δὲ καὶ κίνησις ἐν πᾶσι τοῖς οὖσι· κίνησιν δὲ λέγω οὐ τὴν ἀτελῆ ἐνέργειαν, ἀλλὰ τὴν ἐνεργῆ, τὴν ἑκάστου. πάντα γὰρ ἔχει οἰκείαν ἐνέργειαν, καὶ αὐτὰ τὰ ἄψυχα· ἢ γὰρ θερμαίνουσιν ἢ ψύχουσι τὰ παρακείμενα ἢ ὑγραίνουσιν ἢ ξηραίνουσιν ἢ ἄλλο τι τοιοῦτον ποιοῦσι. καὶ ἡ στάσις δὲ ἐπὶ πάντων θεωρεῖται· καὶ γὰρ τὰ ἀεικίνητα στάσεως μετέχει, οὐ μόνον τὸ τὴν ὁλότητα ἑστάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μένειν ἐπὶ τῆς ἀεικινησίας στάσις ἐστί. καθὸ οὖν μένουσι τὰ κινούμενα ἢ ἀεὶ ἢ ἐπί τινα χρόνον, κατ' αὐτὸ τοῦτο στάσεως μετέχει.

α 4094 Ἀρχήν: τὰ πρῶτα, παρευθύ. Ναρσῆν μὲν γὰρ οὐδὲ τὴν ἀρχὴν ὑποστήσεσθαι ᾤοντο.

α 4095 Ἀρχηγέτης: ἡγεμών.

α 4096

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρχὴ ἄνδρα δείκνυσιν: ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιεικῶν, ἐν αὐτῇ δὲ τῇ ἀρχῇ βιαίων γενομένων. Σόλωνος δὲ εἶναί φασιν αὐτὸ ἀπόφθεγμα, Ἀριστοτέλης δὲ καὶ Θεόφραστος Βίαντος.

α 4097 Ἀρχὴ ἥμισυ παντός: ἐπὶ τῶν τινος ἀρχομένων καὶ προκοπτόντων.

α 4098 Ἀρχὴν ἰᾶσθαι πολὺ λώϊον ἠὲ τελευτήν: δηλοῖ δὲ ἡ παροιμία, ὡς ἀρχομένου τινὸς καὶ πάθους καὶ ἄλλου τινὸς δεινοῦ μᾶλλον ἔστι κωλύειν ἢ ἐνακμάσαντος καὶ τελειωθέντος.

α 4099 Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον, μηδ’ ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου· φύντα δ’ ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι: ἐπὶ τῶν δυστυχῶς βεβιωκότων.

α 4100 Ἀρχήσαντος: ἄρξαντος.

α 4101 Ἀρχὴ Σκυρία: ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων. παρόσον πετρώδης καὶ λυπρὰ καὶ διὰ τοῦτο πενιχρὰ ἡ Σκῦρος οὐδὲν φέρουσα λόγου ἄξιον. οἱ δὲ ἀπὸ Θησέως, ὅτι ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ, ὅτι πειρῶν τὴν γυναῖκα αὐτοῦ κατακρημνισθείη. ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος ἐν τοῖς πρώτοις καιροῖς.

α 4102 Ἀρχιάδας· οὗτος οἷος ἦν τὴν ψυχὴν ἀπεδείκνυτο· πλείστων γὰρ αὐτῷ χρημάτων διηρπασμένων, ἐπειδὴ ᾔσθετο Θεαγένη ἔτι παιδίον ὄντα λυπούμενον ἐπὶ τοῖς ἀπολωλόσι καὶ πεπορθημένοις, ὦ Θεάγενες, ἔφη, θαρρεῖν ἤδη σε χρὴ καὶ τοῖς θεοῖς ὁμολογεῖν σωτηρίους χάριτας ὑπὲρ τῶν σωμάτων, ὑπὲρ δὲ τῶν χρημάτων οὐκ ἀθυμητέον. εἰ γὰρ Ἀθηνᾶ ἡ Πολιὰς ἐκέλευσεν αὐτὰ ἀναλῶσαι Παναθηναίοις, πόσου ἂν ἐπριάμεθα τὴν δαπάνην ταύτην; ἀλλὰ τὸν παρόντα ἀγῶνα καὶ Παναθηναίων ἡγεῖσθαι δεῖ καὶ παντὸς ἑτέρου λαμπρότερόν τε καὶ εὐσεβέστερον.

α 4103 Ἀρχίας· οὗτος βουλόμενος τὴν Κύπρον προδοῦναι Δημητρίῳ καὶ φωραθεὶς καὶ ἐς κρίσιν ἀχθεὶς καλῳδίῳ τῶν ἐκ τῆς αὐλαίας παραπετασμένων ἑαυτὸν ἀπεκρέμασε. τῷ γὰρ ὄντι διὰ τὰς ἐπιθυμίας κενοὶ κενὰ λογίζονται κατὰ τὴν παροιμίαν. καὶ γὰρ ἐκεῖνος δόξας φ′ τάλαντα προσλήψεσθαι καὶ τὰ προϋπάρχοντα χρήματα καὶ τὸ πνεῦμα προσαπέβαλεν.

α 4104 Ἀρχίας, Συρακούσιος καὶ Μύσκελλος Ἀχαιὸς ἧκον ἐς Δελφοὺς ἐν τῷ αὐτῷ τοῦ χρόνου καὶ ᾔτουν ἄρα ὑπὲρ ὧν ἔμελλον οἰκίζειν πόλεων φήμην ἀγαθὴν λαβεῖν, τὸν ἐπινησθέντα αὐτοῖς τε καὶ ταῖς πόλεσιν αὐτῶν βίον. λέγει δὲ ἡ Πυθία· χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες ἤλθετ’ ἐρησόμενοι Φοῖβον, τίνα γαῖαν ἵκησθε· ἀλλ’ ἄγε δὴ φράζεσθ’ ἀγαθῶν πότερόν κεν ἕλοισθε, πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν. ἐπεὶ τοίνυν ταῦτα ἠκουσάτην, Ἀρχίας ὢν φιλοχρήματος πλούτου περιβολὴν αἱρεῖται, οὐδὲ ἐψεύσθη τῆς ἐλπίδος· παμπλούσιος γοῦν Συράκουσα ἡ πόλις κατὰ τὴν φήμην τὴν Πυθιάδα ἐγένετο. Μύσκελλος δὲ αἱρεῖται αὐτός τε ὑγιαίνειν καὶ ἡ πόλις· καὶ ἀπώνητο ὧν ᾔτησε. δεῖγμα γοὖν τῆς ἐν Κρότωνι ὑγιείας ῥωμαλέοι τέ εἰσιν οἱ οἰκήτορες, καὶ ἀθλητῶν ἡ πόλις πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. πλοῦτος ἄρα καὶ ὑγίεια δῶρα ἄμφω ἐστόν· αἵρεσις δὲ ἐρρωμένη καὶ διάνοια ὑγιαίνουσα αἱρεῖται τὰ βελτίω, καὶ ἀπέφηναν καὶ οὗτοι, ὁ μὲν συνετώτερος ὤν, ὁ δὲ οὐ πάντη ἐλευθέριος. τῶν γὰρ οὖν ἀγαθῶν τῶν ἀνθρωπικῶν τὸ μὲν πρεσβύτερον, τὸ δὲ δεύτερον, ὡς καὶ Πλάτων φησὶ καὶ τὸ σκολιὸν ᾄδει.

α 4105 Ἀρχίβιος, Ἀπολλωνίου, γραμματικός. τῶν Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν.

α 4106 Ἀρχίβιος, Πτολεμαίου, Λευκάδιος ἢ Ἀλεξανδρεὺς, γραμματικὸς, τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.

α 4107 Ἀρχιγένης, Φιλίππου, Ἀπαμεὺς Συρίας, ἰατρὸς, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ′ καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.

α 4108

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρχιδάμιος πόλεμος: τοῦ Πελοποννησιακοῦ πολέμου τὰ πρῶτα ἔτη Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ἀπὸ τοῦ Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν.

α 4109 Ἀρχίδιον: ὑποκοριστικῶς ἡ ἀρχή. Ἀριστοφάνης· κἂν λαχόντες ἀρχίδιον, εἶτα βούλησθ' ἁρπάσαι τι.

α 4110 Ἀρχιειρεσία: κωπηλασία.

α 4111 Ἀρχίκλοπος: ὁ ἀρχαῖος κλέπτης.

α 4112 Ἀρχίλοχος· ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ θεοὶ λήθην τίθενται. Ἀρχίλοχον γοῦν ποιητὴν γενναῖον τἄλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακορρῆμον ἀφέλοι, καὶ οἱονεὶ κηλίδα ἀπορρύψαι, ὁ Πύθιος ἠλέει τεθνεῶτα καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. καὶ ὅτε ἧκεν ὁ ἀποκτείνας αὐτὸν, Καλώνδας μὲν ὄνομα, Κόραξ δὲ ἐπώνυμον, τοῦ θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδεῖτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ θρυλούμενα ἀνεῖπεν. ὁ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας καὶ ἔλεγεν, ὡς ἧκεν ἐς ἀμφίβολον ἢ δρᾶσαι ἢ παθεῖν, ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ θεῷ εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο, ὅτι μὴ τέθνηκε μᾶλλον ἢ ἀπέκτεινε. καὶ ταῦτα ὁ θεὸς οἰκτείρει καὶ αὐτὸν κελεύει ἐλθεῖν εἰς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ Τελεσικλείου παιδὸς ψυχὴν καὶ πραῢναι χοαῖς. οἷς ἐπείσθη, καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ θεοῦ ἐξάντης ἐγένετο. καὶ παροιμία· Ἀρχίλοχον πατεῖς, ἐπὶ τῶν κακηγόρων καὶ λοιδόρων.

α 4113 Ἀρχιμήδης, Τραλλιανὸς, φιλόσοφος. ὑπόμνημα εἰς Ὅμηρον καὶ Μηχανικά.

α 4114 Ἀρχίου: τοῦ ἐπικληθέντος Φυγοθήρα.

α 4115 Ἄρχιππος, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος, ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ϟα' Ὀλυμπιάδος.

α 4116 Ἀρχισυναγωγός: ὁ ἀρχηγός.

α 4117 Ἀρχιτεκτονῶ· αἰτιατικῇ.

α 4118 Ἄρχω σου· γενικῇ.

α 4119 Ἄρχων. Ἄρχοντες· οἱ ἐννέα τινές· θεσμοθέται ἕξ, ἄρχων, βασιλεὺς, πολέμαρχος. καὶ πρὸ μὲν τῶν Σόλωνος νόμων οὐκ ἐξῆν αὐτοῖς ἅμα δικάζειν, ἀλλ' ὁ μὲν βασιλεὺς καθῆστο παρὰ τῷ καλουμένῳ Βουκολείῳ· τὸ δὲ ἦν πλησίον τοῦ Πρυτανείου· ὁ δὲ πολέμαρχος ἐν Λυκείῳ, καὶ ὁ ἄρχων παρὰ τοὺς Ἐπωνύμους, οἱ θεσμοθέται παρὰ τὸ Θεσμοθέσιον. κύριοί τε ἦσαν ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. ὕστερον δὲ Σόλωνος οὐδὲν ἕτερον αὐτοῖς τελεῖται ἢ μόνον ὑποκρίνουσι τοὺς ἀντιδίκους.

α 4120 Ἄρχων χρότιος: ἀρχηγὸς, προηγός. ἄρχων χρόνος πημάτων. τὸν ἄρχοντα τῶν ἀρχομένων εἵνεκα πάντα διαπράττεσθαι δεῖν. ὁ δὲ Ἡγίας ἠξίου οὐ μόνον τὸν ἄρχοντα τῶν ἀρχομένων τίθεσθαι πρόνοιαν, ἀλλὰ καὶ αὐτοῦ πρὸς ἐκείνων. ἑκάστῳ γὰρ εἶναι τὴν ἔφεσιν τοῦ ἀγαθοῦ πρὸς ἑαυτὸ μᾶλλον ἢ πρὸς ἕτερον. ὁ δὲ Ἰσίδωρός φησιν, τὸν ἄρχοντα ᾗ ἄρχοντος ἀκούειν, εἰ δὲ καὶ ἑαυτοῦ φροντίδα ποιοῖτο, ὡς ἑνός γε καὶ ἑαυτοῦ τῶν ἀρχομένων καὶ δεομένων προνοίας. τὸν γάρ τοι ἄρχοντα τῷ ἀκριβεῖ λόγῳ δεῖσθαι μηδενός· ᾗ δὲ ἄνθρωπος, ὁ τεχνίτης δέοιτο ἄν, οἷον ἰατρὸς τῆς ἰατρικῆς, εἰ νοσήσειεν. ἰατρικὴ δὲ οὐκ ἄν ποτε νοσήσειεν· οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἰατρικὴν ἑστὼς ἰατρὸς, οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἀρχικὴν ἐπιστήμην ἄρχων ὁρώμενος. λογικώτερον δὲ εἰπεῖν ἐπιχειρητέον, ὡς τὰ πρός τι οὐ λέγεται μόνον, ἀλλὰ καὶ ἔστι πρὸς ἄλληλα. ἄρχων ἄρα πρὸς ἀρχομένους καὶ ἀρχόμενος πρὸς ἄρχοντα καὶ λέγονται καὶ εἰσίν, ὥστε εἴ τι τὸ ἄρχειν ὠφελεῖ τοὺς ἀρχομένους, ὠφελήσει πρὸς οὓς καὶ τὸ ἄρχειν προβέβληται. ὅτι τὴν ἰατρικὴν Ἄπις ὁ Αἰγύπτιος πρῶτος εἰς τὴν Ἑλλάδα μετακομίσαι λέγεται.

α 4121 Ἀρχύτας, Ταραντῖνος, Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασαγέτου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τ’ ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. καὶ παροιμία· Ἀρχύτου πλαταγή· ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος. ὁ δὲ πλαταγὴν χαλκευσάμενος ἐπλατάγει.

α 4122 Ἅσσα: ὅτε σημαίνει τὸ ὅσα καὶ ἅτινα, δασύνεται· ὅτε δὲ τὸ τινὰ, ψιλοῦται. τῶν ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω. καὶ ἅσσα γελωτοποιεῖν, ἅτινα σκώπτειν.

α 4123 Ἀσάμινθος: ἡ πύελος, ἡ σκάφη. ἐν αἷς οἱ ἀρχαῖοι ἐλούοντο· οὐκ ἦσαν γὰρ βαλανεῖα. παρὰ τὸ τὴν ἄσην μινύθειν.

α 4124 Ἀσαμωναῖος: ὄνομα κύριον.

α 4125 Ἆσαρ: εἶδος λαχάνου, ᾧ κέχρηνται οἱ ἰατροὶ εἰς θεραπείαν τῶν νοσούντων.

α 4126 Ἀσσάρια: οἱ ὀβολοί. Νούμμας, ὁ πρῶτος βασιλεὺς μετὰ Ῥωμύλον Ῥωμαίων γεγονὼς, ἀπὸ σιδήρου καὶ χαλκοῦ πεποιημένα πρῶτος ἐχαρίσατο Ῥωμαίοις, τῶν πρὸ αὐτοῦ πάντων διὰ σκυτίνων καὶ ὀστρακίνων τὴν χρείαν πληρούντων· ἅπερ ὠνόμασεν ἐκ τοῦ ἰδίου ὀνόματος νουμμία, ὥς φησι Τραγκύλιος.

α 4127 Ἄσατο: ἐκορέσθη, ἐνεφορήθη. περὶ Ὤχου τοῦ Πέρσου. τὸν ἐν Μένδῃ τράγον Πανὸς ἱερὸν κατέθυσέ τε καὶ σκευάσας ποικίλως ταύτην ὁ δυστυχὴς ἄρα τὴν δαῖτα ἄσατο· Αἰγυπτίων τε λεὼν πάμπολυν ἀποσπάσας γαμετῶν καὶ τέκνων ἐς Πέρσας ἤγαγεν ἀνοίκτως.

α 4128 Ἀσαφές: ἀνόητον, ἄδηλον.

α 4129 Ἀσαφείᾳ νυκτὸς ἀπολλύμενος: ὑπὸ σκοτεινοτάτης δηλαδὴ νυκτὸς, καθ’ ἥν τίς τινα ἀναγνωρίσαι οὐ δύναται. ὅθεν καὶ τὸ, σελήνης τὸν ζόφον διασαφούσης. οὕτως γέγραπται ἐν τῷ μαρτυρίῳ τῶν ἁγίων δισμυρίων.

α 4130 Ἀσβαμαῖον: ὕδωρ οὕτω καλούμενον.

α 4131 Ἄσβεστος: ἀκατάπαυστος.

α 4132 Ἀσβόλη καὶ Ἄσβολος: ἡ αἰθάλη τοῦ πυρὸς, ἡ στακτή. φεῦ, ἰοὺ τῆς ἀσβόλου. καὶ ἐπὶ δοτικῆς τῇ ἀσβόλῳ.

α 4133 Ἀσδρούβας, ὁ Καρχηδονίων στρατηγὸς, κενόδοξος ἦν καὶ ἀλαζὼν καὶ πολὺ κεχωρισμένος τῆς πραγματικῆς καὶ στρατηγικῆς δυνάμεως. σημεῖα δὲ τῆς ἀκρισίας αὐτοῦ, ὅτι παρῆν ποτε ἐν πανοπλίᾳ πορφυρίδα θαλαττίαν ἐμπεπορπημένος, ἡνίκα Γολόσσῃ συνεγίνετο τῷ Νομάδων βασιλεῖ μετὰ μαχαιροφόρων ι′. καὶ ὅσον κ′ πόδας ἀπέστη προβεβλημένος τάφρον καὶ χάρακα, καὶ κατένευε τῷ βασιλεῖ προσιέναι πρὸς αὐτὸν, καθήκειν γίνεσθαι τοὐναντίον. οὐ μὴν ἀλλ’ ὁ Γολόσσης ἀφελῶς ἔχων Νομαδικῷ τινι τρόπῳ μόνος προσῄει πρὸς αὐτόν· καὶ προσεγγίσας ἤρετο τίνα φοβούμενος τὴν πανοπλίαν ἔχων ἧκε. τοῦ δ’ εἰπόντος ὅτι Ῥωμαίους· οὐκ ἂν ἄρ’, ἔφησεν ὁ Γολόσσης, ἔδωκας σαυτὸν ἐς τὴν πόλιν, μηδεμίαν ἔχων ἀνάγκην. ἦν μὲν οὖν καὶ φύσει σάρκινος, βαλὼν δὲ τὴν πανοπλίαν καὶ κοιλίαν εἰλήφει καὶ τῷ χρώματι παρὰ φύσιν ἐπικεκαυμένος ἦν, ὥστε δοκεῖν ἐν πανηγύρει που διαιτᾶσθαι παραπλησίως τοῖς σιτευτοῖς βουσὶν, ἀλλὰ μὴ τηλικούτων καὶ τοιούτων κακῶν προστατεῖν, ὧν οὐδ’ ἂν ἐφίκοιτο τῷ λόγῳ διεξιὼν οὐδείς· ὥσθ’ ὅτε μὲν ἐς τὰς ἀποφάσεις αὐτοῦ τις βλέψειε, θαυμάζειν τὸν ἄνδρα καὶ τὸ μεγαλόψυχον τῶν λόγων, ὅτε δὲ ἐς τὸν χειρισμὸν τῶν πραγμάτων, τὴν ἀγεννίαν καταπλήττεσθαι καὶ τὴν ἀνανδρίαν.

α 4134 Ἀσδρούβας, Καρχηδόνιος στρατηγός. οὗτος κατὰ τὴν τοῦ πολέμου συμβολὴν χαλεπῶς ἔχων τῆς ἐπὶ τὰ Μέγαρα ἐπιχειρήσεως, ὅσα Ῥωμαίων εἶχεν αἰχμάλωτα ἐπὶ τὸ τεῖχος ἀγαγὼν, ὅθεν εὐσύνοπτα Ῥωμαίοις ἔμελλε τὰ δρώμενα ἔσεσθαι, τῶν μὲν ὀφθαλμοὺς ἢ γλώττας ἢ νεῦρα ἢ

αἰδοῖα σιδηρίοις ἐξεῖλκε καμπύλοις, τῶν δὲ ὑπέτεμνε τὰ πέλματα καὶ δακτύλους ἐξέκοπτεν, ἢ τὸ δέρμα τοῦ λοιποῦ σώματος ἀπέσπα, καὶ πάντας ἔμπνους ἔτι κατεκρήμνιζεν, ἀδιάλλακτα Καρχηδονίοις τὰ ἐς Ῥωμαίους ἐπινοῶν. καὶ ὁ μὲν αὐτοὺς οὕτως ἠρέθιζε τὴν σωτηρίαν ἔχειν ἐν μόνῃ τῇ μάχῃ, περιέστη δ' αὐτῷ ἐς τὸ ἐναντίον ὧν ἐπενόει. ὑπὸ γὰρ τοῦ συνειδότος οἱ Καρχηδόνιοι τῶνδε τῶν ἀθεμίστων ἔργων περιδεεῖς ἀντὶ προθύμων ἐγίγνοντο, καὶ τὸν Ἀσδρούβαν ὡς τὴν συγγνώμην σφῶν ἀφῃρημένον ἐμίσουν· καὶ μάλισθ' ἡ βουλὴ αὐτοῦ κατεβόα ὡς ὠμὰ καὶ ὑπερήφανα δεδρακότος ἐν συμφοραῖς οἰκείαις τοσαῖσδε. ὁ δὲ τῶν βουλευτῶν τινας ἔκτεινε καὶ ἐς πάντα ὢν ἤδη περιδεὴς ἐς τυραννίδα μᾶλλον ἢ στρατηγίαν περιῆλθεν, ὡς ἐν τῷδε μόνῳ τὸ ἀσφαλὲς ἕξων, εἰ φοβερὸς αὐτοῖς εἴη καὶ διὰ τοῦτο δυσεπιχείρητος. ζήτει περὶ τούτου ἐν τῷ Ἀννίβας.

α 4135 Ἆσαι: κορέσαι· ἢ ψάλαι.

α 4136 Ἀσαία: ὄνομα ὄρους. καὶ Ἀσαῖος, ὄνομα κύριον.

α 4137 Ἀσεβεῖς: οἱ πολυθεΐαν ἢ ἀθεΐαν θρησκεύοντες.

α 4138 Ἀσεβῶν: παρὰ τῷ Δαβὶδ τῶν τὸν θεὸν ἀγνοούντων.

α 4139 Ἀσεβῶ· αἰτιατικῇ.

α 4140 Ἀσέλγεια: ἀντὶ τοῦ πολυτέλεια. οὕτως Αἰσχίνης. ἢ Ἀσέλγεια, πορνεία, ἀκαθαρσία. μιαρία. παρῆκται δὲ, ὥς φασιν, ἐξ αἰτίας τοιαύτης. Σέλγη πόλις ἐστὶ τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν. κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν. καὶ Ἀσελγὲς οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοὶ, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου. καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσι· καὶ Ἀσελγόκερως τράγος, ὁ μέγας. ἢ Ἀσελγόκερως, ὁ κυρίττων. πίονές εἰσιν ἀσελγῶς· Ἀριστοφάνης φησὶν ἐν Πλούτῳ. ἀντὶ τοῦ κατωφερεῖς. θορυβούμενοι καὶ κεκραγότες μετὰ ἀσελγείας, οἷον οἱ κόρακες λαρυγγίζουσιν. ἀντὶ τοῦ μεγάλως φωνοῦσι. καὶ Ἀσελγής, ἐπὶ ἀνέμου ὁ σφοδρῶς πνέων. πολὺς δὲ καὶ ἀσελγὴς τίκτεται ἐκεῖθι (φησὶν Αἰλιανὸς ἐν τῷ περὶ ποικίλης ἀφηγήσεως)· γένεσις δὲ αὐτῷ αὐλῶνες βαθεῖς καὶ φάραγγες, δι' ὧν ὠθούμενος ἐκτείνει λαβρότατος.

α 4141 Ἄση: ῥύπος. καὶ κλίνεται ἄσης. ἢ λύπη. καὶ τοσαύτης ἄσης ὑποπίμπλαμαι καὶ ναυτίας σῶμά τε καὶ ψυχὴν, ὥστε καὶ εἰς ἐμέτους ἐμοὶ τὴν ἀχθηδόνα προπίπτειν. τουτέστι ῥύπου.

α 4142 Ἀσηκόρος: ὁ ἀκηδιαστής.

α 4143 Ἀσήμαντα: τὰ λεγόμενα ἀσφράγιστα. καὶ γὰρ σημεῖα τὰς σφραγίδας ἔλεγον. καὶ Ἀσημάντοις, ἀφυλάκτοις, οὐκ ἔχουσι σημάντορας, τοὺς ἐπιστάτας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν σφραγίδων.

α 4144 Ἄσημον: τὸ δυσγενὲς, καὶ τὸ μηδὲν σημαῖνον. καὶ Ἄσημος, ὁ ἀγεννής.

α 4145 Ἄσηρος: ὁ μὴ ἔχων σκώληκας.

α 4146 Ἀσηρώθ: ὄνομα κύριον.

α 4147 Ἀσία: χώρα, ἡ τῆς ἀνατολῆς. καὶ Ἀσιάδος κρούματα, τῆς κιθάρας. οὕτως Ἀριστοφάνης. ἢ Ἀσιάτιδος κρούματα. καὶ Ἀσιῆτις γῆ, τῆς Ἀσίας.

α 4148 Ἀσίννιος Πωλίων, Ῥωμαῖος. ἱστορίας Ῥωμαϊκὰς συνέταξεν ἐν βιβλίοις ιζʹ. οὗτος πρῶτος Ἑλληνικὴν ἱστορίαν Ῥωμαϊκῶς συνεγράψατο.

α 4149 Ἄσιος: ὄνομα κύριον.

α 4150 Ἀσιῶν: τὸ ὄρος.

α 4151 Ἀσιτῶ: ἄρτον οὐκ ἐσθίω.

α 4152 Ἀσιχίνη: ὄνομα κύριον.

α 4153

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀσθένεια: ταλαιπωρία, νόσος, ἀδυναμία. καὶ Ἀσθενοῦντας, ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας· τὴν γὰρ τύχην ἰδίως νόσον φασίν. Ἀριστοφάνης· τοὺς πένητας ἀσθενοῦντας.

α 4154 Ἀισθήσεται: ἐκ τοῦ ᾄδω, τὸ ψάλλω.

α 4155 Ἆσθμα: πνοή. καὶ Ἀσθμάζειν, ἀντὶ τοῦ ἀσθμαίνειν, τουτέστι πνευστιᾶν. Βάβριος· οἷά τις νούσῳ κάμνων ἐβέβλητ' οὐκ ἀληθὲς ἀσθμαίνων.

α 4156 Ἀσκαλαβώτης: ὁ γαλεώτης. οὐχὶ καλαβώτην λέγουσι, μᾶλλον δὲ γαλεώτην. Μένανδρος· οὑτοσὶ δὲ γαλεώτης γέρων.

α 4157 Ἀσκάλαφος: παρὰ τὸ ἀσκελὲς τῆς ἁφῆς, ὁ λίαν σκληρός.

α 4158 Ἀσκαλωνίτης: ὄνομα κύριον.

α 4159 Ἀσκαμωνία: εἶδος βοτάνης ἰατρικῆς.

α 4160 Ἀσκανία: λίμνη ἐν Νικαίᾳ.

α 4161 Ἄσκαντος: ἡ μικρὰ κλίνη, τὸ πτωχὸν κλινίδιον. ἢ Ἀσκάντης, κλίνη μὴ ἔχουσα κάνητα· κάνης δὲ ὁ ψίαθος. ἢ ὁ σκίμπους, ἢ δίφρου τι εἶδος, οἱ δὲ τὸν κράββατον. Ἀριστοφάνης Νεφέλαις· ἔξει τὸν ἀσκάντην λαβών.

α 4162 Ἀσκαρδαμυκτί: χωρὶς τοῦ μύειν, ὅ ἐστιν ἀγρίως βλέπειν. καὶ Ἀσκαρδάμυκτον. Ἀριστοφάνης· βλέψον εἰς ἐμὲ ἀσκαρδάμυκτον. τουτέστι μὴ μύσας τοὺς ὀφθαλμούς. τὸ δὲ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμοὺς καὶ πυκνῶς βλεφαρίζειν σκαρδαμύσσειν λέγεται καὶ ἰλλωπεῖν. ἀσκαρδαμυκτεῖν οὖν τὸ ἄνω βλέπειν. οἷον ἀτενὲς βλέψον εἰς ἐμέ.

α 4163 Ἀσκελές: ἀδιαλείπτως.

α 4164 Ἀσκέπαρνον: ἄξεστον, ἄγλυφον, ἀπελέκητον, οὐκ εἰργασμένον. Σοφοκλῆς· κἀπὶ σεμνὸν ἑζόμην βάθρον τόδ' ἀσκέπαρνον.

α 4165 Ἀσκέραι: ὑποδήματα Ἀττικά. ἡ εὐθεῖα ἀσκέρα.

α 4166 Ἄσκευον: ἀντὶ τοῦ ἀπαράσκευον. ἄνευ ὅπλων. καὶ ὁ Θεολόγος· βίον ἄσκευον, καὶ ἀπέριττον.

α 4167 Ἀσκηθής: ἀβλαβὴς, ὑγιής.

α 4168 Ἀσκήσασα: κοσμήσασα, μετ' ἐπιμελείας ὑφάνασα.

α 4169 Ἄσκησις: ἐγκράτεια.

α 4170 Ἄσκησιν: ἀγωνίαν· καὶ ὡς ἡμεῖς, τὸ δεδιέναι καὶ προσδοκᾶν τὸ μέλλον λέγουσιν οἱ παλαιοὶ καὶ Πλάτων. καὶ Ἀσκητὰς καὶ ἀθλητὰς λέγουσιν.

α 4171 Ἀσκητικόν, μέγα. Ἀριστοφάνης· καὶ μὴν ὁρῶ τοὺς Ἀθηναίους, ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων τὰ ἱμάτια ἀποστέλλοντας, ὥστε φαίνεται ἀσκητικόν τι χρῆμα τοῦ νοσήματος. καὶ Ἀσκητικός, φιλομαθὴς, φιλόσοφος.

α 4172 Ἀσκητός: μετ' ἐπιμελείας κεκοσμημένος. θηλυχίτων ἀσκητὸς ἐϋσπείροισι κορύμβοις.

α 4173 Ἀσκληπιάδης, Διοτίμου, Μυρλεανός (πόλις δέ ἐστι Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη), τὸ δὲ ἄνωθεν γένος ἦν Νικαεύς· γραμματικὸς, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά· ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ τετάρτου Πτολεμαίου νέος διέτριψεν. ἔγραψε πολλά. καὶ Ἀσκληπίειον φάρμακον καὶ Ἀσκλήπειον φάρμακον, Ἀσκληπιήϊον δὲ ἱερόν. καὶ Ἀσκληπιάδαι, οἱ ἰατροὶ, ἀπὸ Ἀσκληπιοῦ. οὗτος δὲ παρὰ τὸ ἀσκελῆ καὶ ἤπια φυλάττειν τὰ σώματα. ὅτι Ἀσκληπιὸς, ἔφορος τῆς ἰατρικῆς, Παύσωνα καὶ Ἶρον κἂν ἄλλον τινὰ τῶν ἀπόρων ἰάσαιτο. ζήτει ἐν τῷ Παύσων καὶ Ἶρος. καὶ Αἰλιανός· ὁ δὲ ἀθλίως νόσῳ (περιπνευμονίαν καλοῦσιν Ἀσκληπιαδῶν παῖδες αὐτὴν) πιεζόμενος τὰ μὲν πρῶτα ἐδεῖτο τῆς ἀνθρώπων ἰατρικῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4174 Ἀσκληπιόδοτος· οὗτος ἐκ παίδων εὐθὺς ὡμολογεῖτο ὀξύτατος καὶ πολυμαθέστατος εἶναι τῶν ἡλικιωτῶν, ὥστε καὶ πολυπραγμονῶν οὐδὲν ἐπαύετο περὶ ἑκάστου τῶν παραπιπτόντων, ὧν ἥ τε ἡ φύσις ἀπεργάζεται θαυμασίων καὶ τέχνη ἑκάστη παρέχεται δημιουργημάτων. ἐν γοῦν ὀλίγῳ χρόνῳ παντάπασι κατανενοήκει τῶν τε βαφικῶν χρωμάτων τὰς μίξεις ἁπάσας καὶ τῶν περὶ ἐσθῆτα κοσμουμένων βαμμάτων παντοδαπῶν, ἔτι δὲ τῶν ξύλων τὰς μυρίας διαφορότητας, ὅπως αὐτῶν αἱ ἶνες ἔχουσιν εὐθύτητος πέρι καὶ διαπλοκῆς. ἀλλὰ μέντοι λίθων καὶ βοτανῶν αἱ ποικίλαι δυνάμεις τε καὶ ἰδέαι, τῶν τε ἐν ποσὶ κειμένων καὶ τῶν σπανιωτάτων, ἀνεζητοῦντο καὶ εὑρίσκοντο πάσῃ μηχανῇ. ὄχλον δὲ παρείχετο πολὺν τοῖς περὶ ἕκαστα διατρίβουσι παρακαθήμενός τε συχνὰ καὶ περὶ ἑκάστου ἀνερωτῶν ἐς τὸ ἀκριβέστατον. τὴν δὲ περὶ φυτῶν ἱστορίαν ἐπὶ μείζονος ἠγάπα τιμῆς, καὶ ἔτι μᾶλλον τὴν περὶ ζῴων, τά τε ἐνόντα διὰ τῆς ὄψεως ἀνακρίνων καὶ τὰ μὴ δυνατὰ διὰ τῆς ἀκοῆς ἐξετάζων ἐπὶ τὸ μακρότατον, ὅσα τε τοῖς πρεσβύταις ἀναγέγραπται περὶ τούτων ἀναλεγόμενος. ἦν δὲ Ἀλεξανδρεὺς τὸ γένος. τοῦτον οὖν ἐπίσταμαι διὰ πείρας συχνῆς εὖ μάλα τήν τε ἀγαθοειδῆ προαίρεσιν προβεβλημένον καὶ τοῦ πατρὸς οὐ πολύ τι λειπόμενον κατὰ τὴν εὐσεβῆ προθυμίαν καὶ τὴν πρὸς τὸ θεῖον ἀναγομένην ἐλπίδα σύντονόν τε καὶ ἐρωτικήν· φιλοσοφοῦντα μέντοι ὑπὲρ ἐκεῖνον καὶ τῇ ἄλλῃ προπαιδείᾳ κεκοσμημένον. τοιγαροῦν ἀνέθηλεν ἐπ’ αὐτοῦ ἡ πόλις τῆς Ἀφροδίτης εἰς τὸ ἱερώτερον. ἤδη δὲ καὶ ἐς τὰς ὑπερορίους ἀπῴκισε τὴν ἀπόρρητον θέμιν, ἔς τε Ἀλεξάνδρειαν τὴν Ὀσιράζουσαν καὶ τῆς ἕω πολλαχῇ τὴν μαγεύουσαν. γενόμενος δὲ πρὸς τῷ σεμνῷ καὶ εὐτράπελος ἡδίστην παρείχετο τοῖς ἐντυγχάνουσι τὴν αὐτοῦ συνδιαίτησιν. εὐφυὴς δὲ ἐκ παίδων γεγονὼς ἄχρι γήρως πολλὰ συνεισήνεγκεν εἰς τὰ ἱερὰ τῆς οἰκείας φύσεως ἔκγονα μηχανήματα, ἀγάλματά τε διακοσμῶν καὶ ὕμνους προστιθεὶς ἔστιν οἷς. οἰκονομικὸς δὲ ὢν καὶ γεωργικὸς, ἀποθανόντος αὐτῷ τοῦ πατρὸς, ἀπέτισε χρέα πολλά. ἐν χρηματισμῷ δὲ δικαίῳ καταστὰς ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο, τῆς τε ἱερᾶς εἵνεκα προαιρέσεως καὶ τῆς ἄλλης πολιτικῆς φιλοτιμίας ἀναγκαίας εἶναι δοκούσης καὶ τῷ οἴκῳ συνήθους. ὥστε ἠναγκάσθη καὶ αὐτὸς ὕστερον ὑπόχρεων τὴν οὐσίαν καταλιπεῖν ταῖς θυγατράσι. ταῦτα ἀναγεγράφθω μοι χαρίσια ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι. ζήτει ἐν τῷ δεισιδαιμονία.

α 4175 Ἀσκὸν δέρειν: ἐπὶ τῶν καθ’ ὑπερβολὴν ἐπαγγελλομένων πράττειν τι. τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. ὑπὲρ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον ἢ ἐκεῖνοι ἐπέταξαν καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος. ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι.

α 4176 Ἀσκὸν τίλλειν: ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν.

α 4177 Ἀσκὸς ἐν πάχνῃ· ὁ Δαβὶδ λέγει, ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ. ὁ ἀσκὸς θερμαινόμενος χαυνοῦται καὶ φυσώμενος ἐξογκοῦται, ἐν δὲ τῇ πάχνῃ σκληρύνεται καὶ πήγνυται. οὕτω καὶ τοῦ σώματος ἡ φύσις χαυνοῦται μὲν τῇ τρυφῇ καὶ ἐξογκοῦται, τῇ δὲ ἀσκητικῇ ἀγωγῇ ταπεινοῦται καῖ πιέζεται. καὶ τούτου μάρτυς ὁ Παῦλος βοῶν· ἀλλ’ ὑποπιέζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. τοιγάρτοι καὶ ὁ προφήτης, ἐπειδὴ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ κρείττων ἦν τῶν παθῶν, εἰρήνης δὲ ἀπολαύσας τοῖς ἀπὸ τῆς τρυφῆς ἐβλάβη σκιρτήμασι, ταπεινώσας τὸ σῶμα τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο. καὶ Ἀσκὸς Κτησιφῶντος· Ἀριστοφάνης· κατὰ τὰ πάτρια τοὺς χοὰς πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ’ ἂν ἐκπίῃ πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται. ἐν γὰρ ταῖς Χοαῖς ἀγὼν ἦν περὶ τοῦ ἐκπιεῖν πρῶτόν τινα χοᾶ, καὶ ὁ νικῶν ἐστέφετο φυλλίνῳ στεφάνῳ καὶ ἀσκὸν οἴνου ἐλάμβανε. πρὸς σάλπιγγας δὲ ἔπινον. ὁ δὲ Κτησιφῶν ὡς παχὺς καὶ προγάστωρ ἐσκώπτετο. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ, ἐφ’ οὗ τοὺς πίνοντας πρὸς ἀγῶνας ἑστάναι, τὸν προπιόντα δὲ ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοᾶ. καὶ Ἀσκοφορεῖν. ἐν ταῖς Διονυσιακαῖς πομπαῖς, τὰ μὲν ὑπὸ τῶν ἀστῶν ἐπράττετο, τὰ δὲ τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετοίκοις ποιεῖν ὑπὸ τῶν νομοθετησάντων προσετέτακτο. οἱ μὲν οὖν μέτοικοι χιτῶνας ἐνεδύοντο χρῶμα ἔχοντας φοινικοῦν καὶ σκάφος ἔφερον· ὅθεν σκαφηφόροι προσηγορεύοντο. οἱ δὲ ἀστοὶ ἐσθῆτα εἶχον, ἣν ἐβούλοντο, καὶ ἀσκοὺς ἐπ' ὤμων ἔφερον· ὅθεν ἀσκοφόροι ἐκαλοῦντο. καὶ παροιμία· Ἀσκῷ μορμολύττεσθαι, ἐπὶ τῶν εἰκῇ καὶ διακενῆς δεδιττομένων. καὶ Ἀσκωλίαζον· ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ Σκώλια, ἐν ᾗ ἥλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῷον. ἀμέλει γοῦν καὶ ἐπίγραμμα φαίνεται πρὸς τὴν αἶγα οὕτως ἔχον· κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ' ἔτι καρποφορήσω, ὅσσον ἐπιλεῖψαι σοὶ, τράγε, θυομένῳ. Ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἅλλου· κυρίως ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθαινον· καθάπερ Εὔβουλος ἐν Δαμαλίᾳ φησὶν οὕτως· καὶ πρός γε τούτοις ἀσκὸν ἐς μέσον καταθέντες ἐνάλλεσθε καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος. καὶ Ἀσκωλιάζοντες, ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενοι, ὑστερούμενοι τῶν κατὰ φύσιν. ὃ δὲ ἐμοὶ δοκεῖν, ὁρμῇ τῇ παρὰ τοῦ Ἀσκληπιοῦ ἐς τὸν δεσπότην ἀσκωλιάζων θάτερον τῶν ποδῶν ἔρχεται, καὶ ὄρθριον ᾀδομένου τοῦ παιᾶνος τῷ Ἀσκληπιῷ ἑαυτὸν ἀποφαίνει τῶν χορευτῶν, ἕνα καὶ ἐν τάξει στὰς ὥσπερ οὖν παρά τινος λαβὼν χοροδέκτου τὴν στάσιν, ὡς οἷός τε ἦν συνᾴδειν ἐπειρᾶτο τῷ ὀρνιθείῳ μέλει. καὶ Ἀσκωλιασμὸς ὁμοίως, τὸ ἐφ' ἑνὸς ποδὸς βαίνειν. ὅτι οἱ ἀσκοὶ ἁλσὶ σμηχόμενοι βελτίονες γίνονται.

α 4178 Ἀσκοπήρα: τὸ μαρσίπιον, ἤτοι τὸ σακκοπάθνιον.

α 4179 Ἄσκοπον: ἀντὶ τοῦ ἀπροσδόκητον. καὶ Ἄσκοπος λώβη, ἀπροόρατος, τουτέστιν ὁ θάνατος.

α 4180 Ἀσκούμενος: κατασκευάζων, κοσμῶν.

α 4181 Ἀσκῶ· αἰτιατικῇ.

α 4182 Ἄσκωλον: τὸ λεῖον.

α 4183 Ἀσκώματα: τὰ ἐν ταῖς κώπαις σκεπαστήρια ἐκ δέρματος, οἷς χρῶνται ἐν ταῖς τριήρεσι, καθ' ὃ τρῆμα ἡ κώπη βάλλεται. εἰς διφθέρας γὰρ τὰς διανοίας τὰς ἑαυτοῦ γράψας ὁ Θωρυκίων ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ.

α 4184 Ἀσκώνιος Παιδιανός· ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην κληθεὶς οἷον ἐφολκίδα ἐπάγεται Ἀσκώνιον Παιδιανόν· ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας.

α 4185 Ἀσκραῖος: ὁ Ἡσίοδος.

α 4186 Ἇισμα: τὸ μέλος, ἡ ᾠδή. σημαίνει δὲ καὶ τὸ δίασμα. καὶ Σώφρων. καὶ ἄττεσθαι, ὃ ἡμεῖς διάζεσθαι. μεταβολῇ τῶν δύο σς εἰς τὸ ζ ἐγένετο.

α 4187 Ἀσμενίζω· δοτικῇ. οἱ μὲν οὖν ὄλεθρον ἀσμενίσαντες καὶ παρακρουσθέντες ὑπὸ τῆς ὑποσχέσεως ἥλωσαν ὑπὸ τοῦ Περσικοῦ.

α 4188 Ἄσμενος: χαίρων, ἡδέως, προθύμως. καὶ Ἀσμενέστατα, ἀντὶ τοῦ προθυμότατα. ἀσμενέστατα τὴν πρόκλησιν ἀποδεδεγμένος. λέγεται καὶ Ἀσμενέστατα.

α 4189 Ἀσολοίκως: τὸ ἀφελῶς.

α 4190 Ἄσω· δοτικῇ.

α 4191 Ἀσώματον: ὅτι διττόν, τὸ μὲν τῷ ἀριθμῷ, ὡς οἱ ἄγγελοι, οἷον Μιχαὴλ, Γαβριήλ· ἀριθμῷ γάρ· τὰ δὲ οὐ, ὡς τὰ καθόλου.

α 4192 Ἀσωπός: ποταμὸς Θηβῶν.

α 4193 Ἀσωπόδαρος καὶ Διδυμαχίας, ὁ ἀδελφὸς αὐτοῦ, ἐπὶ σμικρότητι σώματος διεβέβληντο.

α 4194 Ἀσωτία: ἡ ἁμαρτία. ἑκάτερον ὁμοίως ἀποστρέφεσθαι, τό τε δέον μὴ ποιεῖσθαι ἀνάλωμα καὶ τὸ μὴ δέον ποιεῖσθαι, ὡς τοῦτο μὲν ἀσωτίαν οὖσαν, εἴτε μείζω εἴτε φαυλοτέραν, ἐκεῖνο δὲ

σμικρολογίαν. καὶ Ἄσωτος, ὁ ἐξώλης, ὁ σῴζεσθαι μὴ ὀφείλων. Σοφοκλῆς· ἢ τῆς ἀσώτου Σισυφιδῶν γενεᾶς. καὶ Ἀσώτως, αἰσχρῶς.

α 4195 Ἀσωχαῖος: ὄνομα κύριον. καὶ θηλυκὸν Ἀσωχή, ὄνομα πόλεως. καὶ Ἀσωχίς, ὄνομα κύριον. καὶ Ἄσωχιν, ὄνομα πόλεως, αἰτιατικῇ.

α 4196 Ἀσπάζεσθαι· αἰτιατικῇ. καὶ τὸ προσαγορεύειν, ὡς ἡμεῖς, καὶ τὸ χαίρειν τινὶ ἁπλῶς, καὶ ἀγαπᾶν καὶ φιλοφρονεῖσθαι. καὶ ἀσπαζόμεσθα σὺν τῷ ς· ἀσπαζόμεσθ' ἐρετμὰ καὶ σκαλμίδια, φησὶν ὁ Κωμικός. καὶ πάντα τὰ ὅμοια διττῶς λέγουσιν.

α 4197 Ἀσπάζου· Ἀριστοφάνης· ἄνοιξον· ἀσπάζου με. διά τοί σε πόνους ἔχω.

α 4198 Ἀσπάλακος τυφλότερος. ζήτει ἐν τῷ τυφλότερος.

α 4199 Ἀσπαλία: ἁλιέως ἐργασία. καὶ Ἀσπαλιεύς, ὁ ἁλιεύς· ἀπὸ τοῦ σπᾶν τὴν ἄγραν. καὶ Ἀσπαλιεύεσθαι παρὰ ῥήτορσι, τὸ ἁλιεῦσαι παρ' ἡμῖν. καὶ Ἀσπαλιεῖ, δοτικῇ.

α 4200 Ἀσπάραγος· ζήτει ἐν τῷ ἀσφάραγος.

α 4201 Ἄσπαρ, πατὴρ Ἀρδαβουρίου. ὅτι Μαρκιανοῦ τοῦ βασιλέως χρηστοῦ μὲν γεγονότος, θᾶττον δὲ ἐκβεβιωκότος, αὐτοκελεύστῳ γνώμῃ Ἄσπαρ Λέοντα διάδοχον αὐτοῦ γενέσθαι παρεσκεύασεν.

α 4202 Ἀσπασία· πολυθρύλητος γέγονεν αὕτη. ἦν δὲ γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους. Περικλέους δέ φασιν αὐτὴν διδάσκαλον ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον. ὅτι Ἀσπασίαι δύο ἑταῖραι. τῇ δὲ μιᾷ τούτων ἐκέχρητο ὁ Περικλῆς, δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα, ἀπαγορεῦον δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηναίων προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία σοφίστρια ἦν καὶ διδάσκαλος λόγων ῥητορικῶν. ὕστερον δὲ καὶ γαμετὴ αὐτοῦ γέγονεν.

α 4203 Ἀσπάσιος, Βύβλιος, σοφιστής, συγχρονῶν Ἀριστείδῃ καὶ Ἀδριανῷ. ἔγραψε Περὶ Βύβλου, Περὶ στάσεων ἐσχηματισμένων, Μελέτας, Τέχνας, Ὑπομνήματα, Λαλιάς, Ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

α 4204 Ἀσπάσιος, Τύριος, σοφιστής, ἱστορικός. ἔγραψε περὶ Ἠπείρου καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κʹ, Περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα.

α 4205 Ἀσπάσιος, Δημητριανοῦ τοῦ κριτικοῦ μαθητής, Ῥαβενναῖος, σοφιστής, γεγονὼς ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. Πρὸς τοὺς φιλολοιδόρους καὶ Πρὸς Ἀρίστωνα λόγους διαφόρους. ἠκροάσατο δὲ Παυσανίου καὶ Ἱπποδρόμου καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, διαπρέψας μέχρι πολλοῦ.

α 4206 Ἀσπασίως: ἡδέως. προσηνῶς, φιλοφρόνως.

α 4207 Ἀσπασμός: ἡ εὐχὴ παρὰ τῷ ἀποστόλῳ Παύλῳ· ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί.

α 4208 Ἀσπαστοί: ἄσμενοι, θεοειδεῖς. παρὰ δὲ Καλλιμάχῳ Ἀσπαστύς, ἀσπαστύος, τουτέστι προσηγορία φιλία.

α 4209 Ἀσπαίροντες: σκαρίζοντες, κινοῦντες.

α 4210 Ἄσπειστον ἔχθραν: ἄσπονδον μῖσος.

α 4211 Ἀσπιδηφόροι: οἱ πολεμισταί. καὶ Ἀσπιδιώτης, ὁ ἀσπίδα κινῶν. καὶ Ἀσπιδόν, ἐπίρρημα, δίκην συνασπισμοῦ. καὶ Ἀσπιδοπηγεῖον, ἐν ᾧ ἡ ἀσπὶς πήγνυται. ὅπερ ἐστὶν ὅπλον σκουτάριον. καὶ ἡ τάξις. Ἀριστοφάνης· ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας. καὶ Ἀσπιστῆρες, φυλακτῆρες. Σοφοκλῆς· ἀλλ' ἄνδρες ἀσπιστῆρες εἰνάλιος λεώς, ὑμῖν τ' ἐκείνῳ τήνδ' ἐπισκήπτω χάριν.

α 4212

Ἄσπιλος, ὁ μὴ ἔχων σπίλον τινά. ἐν Ἐπιγράμμασι· μῆλον ἐγὼ στρουθίον ἄσπιλον, ἀρρυτίδωτον. καὶ Ἀσπιλότατος.

α 4213 Ἄσπλαγχνος: ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρός. Σοφοκλῆς· μή τοι φύσιν ἄσπλαγχνος ἐκείνου γεγονώς. φύσιν δὲ ἀσθενῆ καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός.

α 4214 Ἀσπονδεί: ἄνευ φιλίας, ἢ χωρὶς θυσίας. καὶ Ἄσπονδοι ἐχθροί, ἀδιάλλακτοι. Θουκυδίδης· οἱ δὲ τοὺς νεκροὺς ἀσπόνδους ἀπέδοσαν. ὅτι ἀστόργους τοὺς ἀπηνεῖς καὶ ἀφίλους φασίν, ἀσπόνδους δὲ τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους, ἀνελεήμονας δὲ τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον.

α 4215 Ἀσπουδεί: χωρὶς σπουδῆς. Ἀσπουδῆ δὲ διὰ τοῦ η, χωρὶς κακοπαθείας. ὡς τὸ, μὴ μὰν ἀσπουδῆ γε.

α 4216 Ἀσταγὲς ὕδωρ: τὸ πολυσταγές.

α 4217 Ἀσταθμεύτους· συγχωρεῖν τὸν βασιλέα Θασίους ἀφρουρήτους, ἀφορολογήτους, ἀνεπισταθμεύτους νόμοις χρῆσθαι τοῖς ἰδίοις.

α 4218 Ἀστάθμητον· τὸ ἄδηλόν τε καὶ ἀστάθμητον τῆς τύχης οὐχ ὑφορώμενοι. καὶ Ἀστάθμητος, ἄνισος, ἄστατος. καὶ δὴ καὶ τὴν ἄλλην ἀρετὴν ἀστάθμητος, ὡς εἰπεῖν, ὁ ἄνθρωπος οὗτος ἦν. οἱ δὲ ἐπετόλμησαν τῇ θαλάττῃ διὰ τὴν ἀνάγκην, τὸ τέως ἀστάθμητον στοιχεῖον ἡγούμενοι τῆς γῆς πιστότερον ἔσεσθαι σφίσιν ἐν τῇ βίᾳ τῇ τότε. καὶ τὸ ποιητικὸν εἰπεῖν, ἔσσεται ἦμαρ ὅταν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρή. καὶ τοῦτο εἰπεῖν τὸ τῶν ἀνθρώπων ἀστάθμητον εἶναι λογιζόμενος. καὶ Ἀσταθμητότατον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται, ἢ τί πράξαι. Δημοσθένης ἐν τῷ Παραπρεσβείας.

α 4219 Ἀστακτί: πολυστακτὶ, πολυδακρύτως. τὸν νεκρὸν παραπέμπων ἔκλαιεν ἀστακτί. καὶ αὖθις· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις στένοντες ὡμαρτοῦμεν.

α 4220 Ἀστάνδαι: οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἄγγαροι. τὰ δὲ ὀνόματα Περσικά.

α 4221 Ἀστάρτη: ἡ παρ᾽ Ἕλλησιν Ἀφροδίτη λεγομένη, ἐκ τοῦ ἄστρου τὴν ἐπωνυμίαν πεποιηκόσιν. αὐτῆς γὰρ εἶναι τὸν ἑωσφόρον μυθολογοῦσιν.

α 4222 Ἀστάρτη, θεὸς Σιδωνίων, καὶ Χαμὼς, θεὸς Ἀμμανιτῶν, οἷς ἐλάτρευσε Σολομών· ὃς ἠγάγετο γυναῖκας ἐξ ἐθνῶν, αἳ ἦσαν σὺν ταῖς Ἰσραηλίτισιν ἑπτακόσιαι καὶ παλλακαὶ τριακόσιαι. ἐκ τούτων πασῶν ἐγένετο αὐτῷ υἱὸς Ῥοβοὰμ, ἐξ ἀλλοφύλων, ἀνάξιος τῆς ἀρχῆς. οὐ γὰρ ἡ πολυγαμία τὴν εὐτεκνίαν ποιεῖ.

α 4223 Ἀσταφίς· καὶ σταφυλὴ γραίη, χὠ μελίπνους λίβανος. καὶ παροιμία· Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον.

α 4224 Ἄσταχυς καὶ ἀσταφὶς καὶ ὅλως τὸ πλεονάζειν τὸ α ἐν ἀρχῇ τῶν τοιούτων ὀνομάτων Ἀττικόν. ἐπί τ᾽ ἠμύει ἀσταχύεσσιν.

α 4225 Ἄστεα: πόλεις. καὶ ἄστεϊ ἡ δοτικὴ, καὶ ἄστεον, καὶ τὸ πληθυντικὸν τῶν ἄστεων. καὶ Ἄστεος στέφανος, τὸ τεῖχος.

α 4226 Ἄστικτον χωρίον: τὸ μὴ ὑποκείμενον δανειστῇ. ὅταν γὰρ ὑποκέηται, αὐτὸ τοῦτο ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων τῷ χωρίῳ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται.

α 4227 Ἄστεγος: ὁ μὴ ἔχων στέγην. λέγεται δὲ καὶ φλύαρος, καὶ ἀνυπομόνητος.

α 4228 Ἀστεϊζόμενος: ἀγλαϊζόμενος, ὡραϊζόμενος, κομψευόμενος. καὶ Ἀστεϊσμός, τὸ συμπολιτεύεσθαι.

α 4229 Ἀστεμφέα: ἀμετακίνητον, βέβαιον· ἢ ἀντὶ τοῦ ἀστεμφῆ. ἀστεμφῆ ποδάγρην καὶ δόνακας ἀντυκτῆρας. καὶ αὖθις· οἱ δὲ ἀστεμφεῖς οὗτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως οὔ μοι

δοκοῦσιν ἑκόντες εἶναι συνέσεσθαι θεῷ καὶ ἀνθρώποις. πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοί.

α 4230 Ἀστενακτί: ἄνευ στεναγμοῦ. Ἀριστοφάνης· σὺ δ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς.

α 4231 Ἀστερίη: μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

α 4232 Ἀστέρειος: κτητικόν. καὶ Ἀστερόεντα, ἤτοι ἀστέρας ἐμπεποικιλμένους ἔχοντα. καὶ Ἀστέρων τέθριππος, τὸ ἅρμα τοῦ ἡλίου. καὶ Ἀστεροπητής, ὁ ἀστραπτικός.

α 4233 Ἀστεροπαῖος: ὄνομα κύριον.

α 4234 Ἀστεῖα λέγεις. καὶ Ἀστεῖον, τὸ πολιτικόν. ἀστεῖόν τι καὶ κατερρινημένον εἰπεῖν. κωμικὴ ἡ συμπλοκή. σημαίνει δὲ τὸ κατερρινημένον τὸ ἄκρως διειργασμένον. ἐν συνουσίᾳ χρῶ.

α 4235 Ἀστεῖος: εὐσύνετος, εὐπρόσωπος, χαρίεις, καλὸς, γελοιώδης. καὶ Ἀστειοτέρῳ, ἀντὶ τοῦ συνετωτέρῳ. ὁ δὲ καιρὸν εὑρὼν τῷ ἀστειοτέρῳ δράματι πλανῆσαι τὸν ἠπατηκότα. περὶ Εὐριπίδου φησὶν Ἀριστοφάνης. καὶ Ἀστείους, ἀστεϊζομένους, πολιτευομένους. εὐφημότερον ἀστεΐζεσθαι, τὸ ὡραΐζεσθαι, γελωτοποιεῖν, ἅτινα σκώπτειν. καὶ Ἀστείως, πρεπόντως, φρονίμως.

α 4236 Ἄστηνοι: οἱ δυστυχεῖς, οἱ πένητες, οἱ στάσιν καὶ οἴκησιν μὴ ἔχοντες.

α 4237 Ἀστήρ, ἀστέρος. ζήτει ἐν τῷ ὁρατόν.

α 4238 Ἀστήρ· ὅτι τοῦ ἀστέρος τῆς Αἰγὸς λάμψαντος σφοδροὶ πνέουσιν ἄνεμοι. ἔνθεν καὶ Ὅμηρος· λάβρος ἐπαιγίζων.

α 4239 Ἀστὴρ ἄστρου διαφέρει: ὅτι ὁ μὲν ἀστὴρ ἕν τί ἐστι, τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν. ὃ καὶ ἀστροθέτημα καλεῖται.

α 4240 Ἀστιβὲς ἄλσος: ἀδιόδευτον, ἀκαταμάχητον, ἀπροσπέλαστον. Αἴας φησί· μολών τε χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω, κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν, γαίας ὀρύξας ἔνθα μή τις ὄψεται· ἀλλ' αὐτὸ νὺξ ᾄδης τε σῳζόντων κάτω. εὑρήσω, φησὶ, τόπον, οὗ οὐδεὶς ἐπιβήσεται. ὁ Αἴας φησὶν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. καὶ Ἀστιβῆ, ἄβατον ποσί. καὶ Ἀστιβής, ὁ ἄβατος ἢ ἀσφαλής. καὶ Εὐστιβής, ὁ καλὴν βάσιν ἔχων. εὐστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας. ἐν Ἐπιγράμμασι. καὶ Ἀστείβητος, ἀδιόδευτος τρίβος.

α 4241 Ἀστικῶς: εὐσυνέτως, ἐμφρόνως. ὁ δὲ πάντων ἀστικῶς τὴν πρόθεσιν κατανοήσας διχῇ διεῖλε τοὺς προσχωρήσαντας. λέγεται δὲ Ἀστικὸς καὶ ὁ πολιτικός. καὶ τοὺς ἀστικοὺς ὁ ἄγροικος, ὁ Θεολόγος φησί.

α 4242 Ἄστιπτος: ἄβατος, ἀδιόδευτος. Σοφοκλῆς· ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς Λήμνου, βροτοῖς ἄστιπτος, οὐδ' οἰκουμένη.

α 4243 Ἀστισμός: πιθανολογία. ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς καὶ ἀστισμῶν.

α 4244 Ἄστομοι ἵπποι: σκληρόστομοι. ἄστομοι πῶλοι βίᾳ φέρουσιν.

α 4245 Ἀστόργους: τοὺς ἀπηνεῖς καὶ ἀφίλους, ἀσπόνδους δὲ τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους, ἀνελεήμονας δὲ τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον.

α 4246 Ἀστός: πολίτης.

α 4247 Ἀστοχῶ· γενικῇ.

α 4248 Ἀστράβη: ὄνος. ἡ ἡμίονος, ὡς Δημοσθένης κατὰ Μειδίου. τάχα δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ οἱ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο. ἢ Ἀστράβη, τὸ ἐπὶ τῶν ἐφίππων ξύλον, ὃ κρατοῦσιν οἱ καθεζόμενοι. καὶ Ἀστραβηλάτης, ὁ ἡνίοχος. ἢ καὶ αὐτὸ τὸ νωτοφόρον ὑποζύγιον. οἱ δὲ τὸν σωματηγὸν ἡμίονον ἀστράβην λέγουσιν. ὁ δὲ τῆς ἡμιόνου ἀποτυχούσης τόν τε φόρτον καὶ τὴν ἀστράβην διάρας ἐπὶ τῶν ὤμων, εἰς τὴν μονὴν τοῦ θείου Σάββα ἔρχεται.

α 4249 Ἄστρα βλέπειν κάλλιστον ἀνθρώποις πέλει.

α 4250 Ἀστράγαλος: κυρίως τὸ σύνηθες λεγόμενον· καὶ ὁ σπόνδυλος τοῦ τραχήλου, καὶ ὁ πεττικός· καὶ βοτάνη δὲ οὕτως καλεῖται. Ἀστράγαλος· καὶ ὃν ἐθεάσατο Βαλτάσαρ ὁ υἱὸς Ναβουχοδονόσορ ἐν τῷ δείπνῳ ἀνακείμενος κατέναντι τοῦ τοίχου, ὡς ἀστράγαλον χειρὸς ἀνθρώπου, γράφοντα τῇ Ἑβραΐδι γλώττῃ, ἃ μηδεὶς ἠδύνατο γνῶναι. μεταστειλάμενος δὲ τὸν Δανιὴλ παρεκάλει ἑρμηνεῦσαι αὐτῷ ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ· τὸν ἀστράγαλον, ὃν εἶδες, χείρ ἐστι θεοῦ ζῶντος· καὶ ἔγραψεν, ὅτι ἐμέτρησε καὶ ἐπλήρωσε τὴν βασιλείαν σου. ἀκούσας οὖν ὁ Βαλτάσαρ ἐθλίβη, καὶ μετ' ὀλίγον ὑπὸ Δαρείου τοῦ Μήδου ἀνῃρέθη. καὶ Ἀστραγαλίζω.

α 4251 Ἀστράμψυχος, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε, καὶ Ὀνειροκριτικόν.

α 4252 Ἀστραπή: ἔξαψις νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος. καὶ παροιμία· Ἀστραπὴ ἐκ πυελίου· ἐπὶ τῆς οὐθενείας. παρόσον οὐδὲν δύνανται αἱ ἐκ τῶν κρηνῶν καὶ πυέλων μαρμαρυγαί.

α 4253 Ἀστράπτω· δοτικῇ.

α 4254 Ἀστρατεία: ἡ εἰρήνη· ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται.

α 4255 Ἄστρια: οἱ ἀστράγαλοι. δέκα δ' ἄστρια αἴνυτο λάτρον· παρὰ Καλλιμάχῳ.

α 4256 Ἀστρόβακος: ὁ ἀστρονόμος.

α 4257 Ἀστρονομία: ἡ τῶν ἄστρων διανομή. πρῶτοι Βαβυλώνιοι ταύτην ἐφεῦρον διὰ Ζωροάστρου· μεθ' ὧν καὶ Ὀστάνης· οἳ ἐπέστησαν τῇ οὐρανίᾳ κινήσει τὰ περὶ τοὺς τικτομένους συμβαίνειν· ἀφ' ὧν Αἰγύπτιοι καὶ Ἕλληνες ἐδέξαντο καὶ τοὺς γεννωμένους ἀναφέρουσιν εἰς τὴν τῶν ἀστέρων κίνησιν. καὶ Ἄστροις τεκμαίρεσθαι, ἐπὶ τῶν μακρὰν καὶ ἔρημον ὁδὸν πορευομένων καὶ ἄστροις σημειουμένων τὰς θέσεις τῶν πατρίδων. καὶ Ἀστρῷος, ὁ ἐκ τῶν ἄστρων. ὅτι μαγεία καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο. οἱ γάρ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγουσαῖοι, οἱ αὐτοί.

α 4258 Ἄστυ, ἄστεος. οὐκέτι δὲ ἀνάλογον ἥμισυ ἡμίσεος, ἀλλὰ καὶ ἡμίσεως.

α 4259 Ἀστυάγης, γραμματικός. Τέχνην γραμματικὴν, Περὶ διαλέκτων, Περὶ μέτρων, Κανόνας ὀνοματικοὺς, καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

α 4260 Ἀστυάναξ: ὄνομα κύριον. καὶ Ἀστυανάκτειος.

α 4261 Ἀστυάνασσα, Ἑλένης τῆς Μενελάου θεράπαινα· ἥτις πρώτη τὰς ἐν τῇ συνουσίᾳ κατακλίσεις εὗρε καὶ ἔγραψε περὶ σχημάτων συνουσιαστικῶν· ἣν ὕστερον παρεζήλωσαν Φιλαινὶς καὶ Ἐλεφαντίνη, αἱ τὰ τοιαῦτα ἐξορχησάμεναι ἀσελγήματα.

α 4262 Ἀστυβοώτης: ὁ κήρυξ ἐπιθετικῶς, ἀπὸ τοῦ ἐν ἄστει βοᾶν. καλήτορα δὲ τὸν αὐτὸν ἀπὸ τοῦ καλεῖν φασιν.

α 4263 Ἀστυγείτων: πλησιόχωρος.

α 4264 Ἀστυδάμας, ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος, τραγικός. ἔγραψε τραγῳδίας σμ', ἐνίκησε ιε'. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

α 4265 Ἀστυδάμας, ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. δράματα αὐτοῦ Ἡρακλῆς Σατυρικὸς, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρὼ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

α 4266 Ἀστυδρόμια: παρὰ Λίβυσιν οἱονεὶ τῆς πόλεως γενέθλια, καὶ Θεοδαίσια ἑορτὴ, ἐν ᾗ ἐτίμων Διόνυσον καὶ τὰς Νύμφας· ἐμοὶ δοκεῖν, νηφάλιόν τε καὶ τὴν ἀγαθὴν κρᾶσιν αἰνιττόμενοι.

α 4267 Ἀστύνιον.

α 4268 Ἀστύνοος: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4269 Ἀστυνόμος· δέκα ἦσαν ἀστυνόμοι, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δὲ ἐν ἄστει, οἷς ἔμελλε περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ κοπρολόγων καὶ τῶν τοιούτων.

α 4270 Ἀστυόχεια: ὄνομα πόλεως.

α 4271 Ἀστυπαλαιεύς: ὄνομα κύριον.

α 4272 Ἄστυρον: πόλιν. ὅς τ᾽ ὤκιστος ἐς ἄστυρον ἀγγελιώτης. Καλλίμαχος.

α 4273 Ἀστυφέλικτον: ἀτίνακτον.

α 4274 Ἄσυλον ἱερόν: τὸ τίμιον καὶ τηροῦν τοὺς ἱκέτας. καὶ Ἀσυλία, τὸ πρᾶγμα. τοῦ δὲ ἀγῶνος ὄντος δημοσίου καὶ μεγάλου διὰ τὴν τῶν πρεσβευτῶν ἀσυλίαν καὶ τὴν συνήθη παρὰ τῶν Ῥωμαίων ὑπὲρ τῶν πρεσβειῶν μισοπονηρίαν. συλῶ δὲ τὸ συ μακρόν.

α 4275 Ἀσύγχυτον· ἡ γὰρ φύσις τοῦ ἀσυγχύτου οὔτε σιδήρου ὑφίσταται κατάλυσιν οὔτε μὴν πάλιν τὴν διὰ πυρὸς λύσιν.

α 4276 Ἀσύμβατον: ἀφιλίωτον.

α 4277 Ἀσυμφανῶς: ἐπικεκαλυμμένως, ἀδήλως.

α 4278 Ἀσυμφυῆ: ἀνοίκεια, ἀνόμοια. ᾗ πετρῶδες τὸ ἔδαφος τοῦ ῥείθρου ἦν, ὑπό τε ἀνωμαλίας καὶ τοῦ ἀσυμφυῆ τὰ ὑποκείμενα ἔσεσθαι τοῖς ὑποτιθεμένοις.

α 4279 Ἀσυνάρτητον: ἀσυνάρμοστον.

α 4280 Ἀσυνδύαστος: ἀσύμπλοκος, ἀσύζευκτος.

α 4281 Ἀσυνέτους: τοὺς ἀσυνειδήτους· ὧν οὐδὲν ἀφρονέστερον παρὰ τῷ Ἀποστόλῳ νοητέον. καὶ Ἀσυνετῶ, τὸ μωραίνω.

α 4282 Ἀσυνήθης, ἀσυνήθους κλίνεται.

α 4283 Ἀσυνθεσία: παράβασις συνθηκῶν.

α 4284 Ἀσύνθετος: ἀσύμφωνος, ἄμικτος. Ἀσυνθέτους δὲ τοὺς ταῖς συνθήκαις μὴ ἐμμένοντας, ἃς ἂν πρός τινας συνθῶνται.

α 4285 Ἀσυνθετώτατον: Δημοσθένης ἐν τῷ Παραπρεσβείας ἐπὶ ὄχλου τάττει τὸ ὄνομα, ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον καὶ πίστεις διὰ τὸ ἀβέβαιον οὐ τιθέμενον. ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον. Ὅμηρος δὲ ἀντὶ τοῦ ὃ μὴ δύναταί τις συνιέναι, τί ποτε φρονεῖ. φησὶ γάρ· σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

α 4286 Ἀσύντακτον: μὴ συντεταγμένον, μὴ συμφραξάμενον.

α 4287 Ἀσυντελής: ἀσύμφορος, ἀχρήσιμος.

α 4288 Ἀσσυρίηθεν: ἀπὸ τῆς Ἀσσυρίας.

α 4289 Ἀσσύριοι: ἀρχὴ παλαιὰ καὶ ἐς τοὺς μυθικοὺς ἀναγομένη χρόνους ὀλίγου τινὸς ἐκράτησε τῆς Ἀσίας μέρους. εἶτα ἡ Μηδικὴ καθελοῦσα τὴν Ἀσσυρίων χρόνον οὐ πολὺν κατέσχεν, ἀλλὰ κατελύθη ἐπὶ τῆς δʹ γενεᾶς. Πέρσαι δὲ Μήδους καταγωνισάμενοι χρόνου πολλῷ πλέον σʹ ἔμειναν ἐπὶ τῆς ἀρχῆς. ἡ δὲ Μακεδόνων δυναστεία τὴν Περσῶν καθελοῦσα, μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ τὸ χεῖρον ἤρξατο φέρεσθαι καὶ ἐπὶ τῶν διαδόχων αὐτὴ καθ᾽ ἑαυτὴν ἐξησθένησεν ὑπὸ Ῥωμαίων καταλυθεῖσα. τὰς γὰρ Ἑλληνικὰς δυνάμεις οὐκ ἄξιον αὐταῖς ἀντιπαρεξετάζειν. Ἀθηναῖοι γὰρ μόνης ἦρξαν τῆς παραλίου δυεῖν δέοντα 〈οʹ〉 ἔτη· Λακεδαιμόνιοι δὲ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος κρατοῦντες ὅλα λʹ ἔτη ἐπαύθησαν ὑπὸ Θηβαίων. ἡ Ῥωμαίων δὲ πόλις ἁπάσης γῆς, ὅση μὴ ἀνέμβατός ἐστι, εʹ καὶ μʹ πρὸς τοῖς ψʹ ἔτεσιν εἰς ὑπάτους Κλαύδιον Νέρωνα τὸ δεύτερον καὶ Πίσωνα Καλπουρῖνον, οὐδὲν ἀντίπαλον ἔχουσα.

α 4290

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀσσύριοι: οὗτοι ἐκλήθησαν ἀπό τινος γίγαντος ὀνόματι Σύρου, ἐξ οὗπερ ἔλαβε τὴν ἐπωνυμίαν ἡ χώρα. ἀπὸ δὲ Ἀσσυρίων καὶ Σύροι προσηγορεύθησαν. ἢ ἀπὸ Ἀσσοὺρ, τοῦ υἱοῦ Σὴμ, τοῦ υἱοῦ Νῶε· ὅστις Ἀσσοὺρ ἔκτισε πρῶτος πόλιν μεγάλην τὴν μετονομασθεῖσαν Νινευί. οἱ δὲ Ἀσσυρίους φασὶ τοὺς Πέρσας. Ἀσσύριοι· τὸ ἔθνος. ἀτρεμούντων πάντων οὐδὲν ἐμποδὼν ἦν αὐξηθῆναι αὐτοὺς ἐπὶ πλεῖστον. μετὰ δὲ ταῦτα πολλοὶ καὶ συνεχεῖς πόλεμοι γενόμενοι ἐπαναστάσεις τε ἑτέρων ἐφ' ἑτέρους μυρίαι καὶ πόλεμοι πρὸς ἀλλήλους συνερράγησαν. ταῦτα ἐπὶ Καίσαρος.

α 4291 Ἀσύστατον: οὐ συνεστῶτα οὐδὲ πυκνὸν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. ἢ ἀδιάθετον, ἀπιθάνως συντιθέντα.

α 4292 Ἀσύφηλον: ἀπαίδευτον, ἀνόητον.

α 4293 Ἀσφαδάστῳ: ἀσκαρίστῳ, σπασμὸν μὴ ἔχοντι. ἀντὶ τοῦ συντόμως. ὅπως καιρίας πληγῆς γενομένης μὴ προσγενέσθαι σπασμὸν μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. σφαδάζειν λέγεται τὸ σπᾶσθαι καὶ σφακελίζειν. Σοφοκλῆς· πομπαῖον Ἑρμῆν χθόνιον, εὖ με κοιμίσαι ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι, πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ. παραδεδομένον δὲ καθ' ἱστορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην μόνην τρωτὸς διὰ τὸ τῇ Ἡρακλέους λεοντῇ σκεπάσαντα τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι, διὰ τὸ περικεῖσθαι ἐκεῖσε τὸν γωρυτόν.

α 4294 Ἀσφάλιος: Ποσειδῶν. Ἀσφάλιος ῥιζοῦχα θεμείλια νέρθε φυλάσσων. τελευταῖος οὗτος τοῦ ε' τῶν Ἁλιευτικῶν Ὀππιανοῦ.

α 4295 Ἀσφάλισαι: φύλαξαι σαυτόν. Ἀσφαλίζω γὰρ τὸ φυλάττω.

α 4296 Ἀσφαλτῖτις λίμνη: ἔνθα ἡ ἄσφαλτος γίνεται. ἄσφαλτος δὲ ξηρίον ἐστὶ πίττῃ ὅμοιον. χρῶνται δὲ ταύτῃ καὶ οἱ ἰατροί. καὶ Ἀσφάλτωσις, ἡ πίσσωσις. ζήτει ἐν τῷ Ἀδιαβηνή.

α 4297 Ἀσφάραγον: φάρυγγα, στόμαχον, λαιμόν. λέγεται καὶ τὸ ἀκανθῶν ἀποφυόμενον βλάστημα. ἔστι δέ τι καὶ βοτάνης εἶδος ἀσπάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. οὕτω μὲν οἱ Ἀττικοὶ διὰ τοῦ φ τὴν λέξιν προφέρουσιν, οἱ δὲ πολλοὶ μὴ ἀκριβοῦντες διὰ τοῦ π λέγουσι. καὶ ἁπλῶς τὰ τῶν λαχάνων ὁρώμενα πρῶτα ἀσπαράγους καλοῦσιν.

α 4298 Ἀσφόδελος: τὸ φυτόν, Ἀσφοδελὸς δὲ ὁ λειμών.

α 4299 Ἀσφόδελος: σκιλλῶδες φυτὸν, φύλλα ἔχον μακρὰ καὶ ἀνθέρικον ἐσθιόμενον· καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσι. προπαροξυτόνως δὲ ἀναγνωστέον. οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. τὸν δὲ τόπον, ἐν ᾧ φύεται, ὀξυτονητέον· ὡς καὶ παρ' Ὁμήρῳ· κατ' ἀσφοδελὸν λειμῶνα.

α 4300 Ἀσχαλίδασμα.

α 4301 Ἀσχάλλων: ἀδημονῶν, λυπούμενος, χαλεπαίνων. ὁ δὲ ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου, τριχῶν μόνων καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. καὶ αὖθις· ὁ δὲ ἀσχάλλων τῇ ἀτιμίᾳ καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις, ᾗ ποδῶν εἶχεν ἀνέθορε. καὶ Ἀσχαλόωντα, ἀδημονοῦντα.

α 4302 Ἄσχετον: ἀκράτητον. καὶ Ἀσχέτως, ἀμέτρως.

α 4303 Ἄσχολος: ὁ μὴ εὐκαιρῶν. σχολὴ γὰρ ἡ ἐν τῇ λεγομένῃ συνηθείᾳ εὐκαιρία. μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι, μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα. καὶ Ἀσχολοῦμαι· αἰτιατικῇ. καὶ ἀσχολεῖται, καὶ ἀσχολεῖσθαι. πάντα ταῦτα Μένανδρος λέγει. Φιλήμων δὲ καὶ ἀσχολεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4304 Αττα: δ′ σημαίνει. ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα παρὰ Ἀντιφῶντι, ἀντὶ δὲ τοῦ τινὰ ἢ ποῖά τινα παρὰ Δημοσθένει ἐν Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ αττα. ἐν δὲ τῷ Παραπρεσβείας Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν· τῶν δὲ κωμικῶν τις τὸ αττα ἐπὶ ἀριθμοῦ ἔταξεν, ἕτερος δὲ ἐπὶ χρόνου. Ἀττα, τινὰ ἢ ἅτινα, ἢ παραπλήσια ὀλίγα. Ἀντιφῶν τῷ ἅττα κέχρηται ἀντὶ τοῦ ἅτινα ἐν τῇ Ἀπολογίᾳ τοῦ Μύρρου. οὐ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα, ἅττα νῦν πέπονθα ὑπὸ τούτου. καὶ αὖθις· οἱ γὰρ ἄνθρωποι, ἅττα ἂν ὁρῶσι τῇ ὄψει, πιστότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας. Δαμάσκιος· ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἅττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως, ἀλλ’ ὅσον ὀρέξεως εἶχεν. εἶχε δὲ ἐπ’ ἐλάχιστον τῆς πρὸς αὐτὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱστάμενα. τὸ ἅτε ἐπὶ ἐπιρρήματος ψιλοῦται.

α 4305 Ἄττα: προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ νύμφη καὶ πλούτῳ καὶ γένεϊ κατ’ ἐμέ, ἡ δ’ ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ’ ἄγε σύμ μοι βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.

α 4306 Ἀτταγᾶς νουμηνίῳ: παροιμία ἐπί ...

α 4307 Ἀτταγᾶς: εἶδος ὀρνέου, ὃ τὰ λιμνιώδη καὶ λεῖα χωρία καταβόσκεται. διὸ καὶ Μαραθῶνά φησιν αὐτὸν ἔχειν Ἀριστοφάνης. ἐκεῖ γὰρ πολὺ τὸ ὄρνεον. καὶ ὁ ἀτταγᾶς ἴτω, ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. ἔστι δὲ ὁ ἀτταγᾶς κατάστικτος ποικίλοις πτεροῖς. λέγεται δὲ ἐπὶ δούλων κατεστιγμένων, ἐπειδὴ καὶ τὸ ὄρνεον κατάστικτον. τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων. τοῦτον τὸν ἀτταγᾶν ἡ συνήθεια ταγηνάριον καλεῖ.

α 4308 Ἀτάκτημα: ἀταξία. τοῦ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τὴν ἀρχήν. καὶ Ἄτακτος. ἐν τῇ τῶν πλειόνων συνηθείᾳ οἱ περίεργοι καὶ παρὰ τὸ προσῆκόν τι ποιοῦντες, ἄτακτοι προσαγορεύονται. οἱ ῥήτορες δὲ, καὶ τῆς ἐν πολέμῳ συμβολῆς γενομένης, μὴ παρὰ τάξιν τὴν συμβολὴν ποιήσαντες, ἀλλ’ ὡς ἔτυχεν, εἰκῇ καὶ φύρδην.

α 4309 Ἀταλάντη, Ἀκάστου γυνὴ, ἥτις Πηλέως ἐρασθεῖσα λόγους ὑπὲρ μίξεως εἰσφέρει, ἀναινομένου δὲ δείσασα, μή μιν κατείποι πρὸς τὸν ἄνδρα, ὑποφθάσασα αὐτὸν προσδιαβάλλει τὸν ἄνδρα, ὡς εὐνηθῆναί οἱ ἐθέλοντα. ὁ δὲ λόχον ὑφείσας ἐπεβούλευσε Πηλεῖ. καὶ ὃς αἰσθόμενος ἐς πόλεμον κατέστη πρὸς αὐτὸν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας καὶ Ἰάσονα, ἐχθρὸν ὄντα ἐκείνῳ, φίλος αὐτὸς ὢν διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ καὶ τὴν Ἀκάστου γυναῖκα σφάττει.

α 4310 Ἀτάλαντον: ἴσον, παραπλήσιον.

α 4311 Ἀταλάριχος, υἱὸς μὲν Ἀμαλασούνθης, βασιλεὺς δὲ τῶν Γότθων.

α 4312 Ἀταλὰ φρονέων: νήπια, ἁπαλά.

α 4313 Ἀταλαίπωρον: ἄπονον. ἢ τὸ ἐξ ἑτοίμου λεγόμενον καὶ οὐ μετὰ ἀποδείξεως. ἢ τὸ εὐχερὲς καὶ φανερόν. Αἰλιανός· εἴ τι τοῦ προτέρου λόγου ὑγιὲς ἦν. ἀλλ’ ἐκεῖνός τε ἀβασανίστῳ γραφῇ, ἀταλαιπώρῳ τῆς ἀληθείας ἀκοῇ διεσπαρμένος ἐς τὸ πλῆθος ἀλᾶται ἄλλως. ὁ δέ μοι ἀληθὴς ἔστω. καὶ Ἀταλαιπώρως, ῥᾳθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν· οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

α 4314 Ἀταλῇσιν: ἁπαλαῖς, νεογναῖς. καὶ Ἀταλόψυχος. ἐν Ἐπιγράμμασι· ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.

α 4315 Ἀττάλεια, Ἰταλία δέ.

α 4316 Ἄτταλος, βασιλεὺς, ἀδελφὸς Εὐμενοῦς· ᾧ ἄλλο οὐδὲν ἐφόδιον ὑπῆρξε πρὸς βασιλείαν τῶν ἐκτὸς, πλοῦτος δὲ μόνον, ὃς μετὰ νοῦ μὲν καὶ τόλμης χειριζόμενος ἀληθῶς μεγάλην παρέχεται χρείαν πρὸς πᾶσαν ἐπιβολήν, ἄνευ δὲ τῶν προειρημένων τοῖς πλείστοις κακῶν παραίτιος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πέφυκε γίνεσθαι καὶ συλλήβδην ἀπωλείας. καὶ γὰρ φθόνους γεννᾷ καὶ ἐπιβουλὰς καὶ πρὸς διαφθορὰν σώματος καὶ ψυχῆς μεγάλας ἔχει ῥοπάς. ὀλίγαι δέ τινές εἰσι ψυχαὶ, αἱ ταῦτα δυνάμεναι διωθεῖσθαι τῇ τοῦ πλούτου δυνάμει. ὁ δὲ πρὸς οὐδὲν ἄλλο ἐπεβάλετο χρήσασθαι τοῖς χορηγίοις ἀλλ' ἢ πρὸς βασιλικὴν ἀνάκτησιν, οὗ μεῖζον οὐδὲ κάλλιον οὐδὲν οἷόν τε ἐστὶν εἰπεῖν· ὃς τὴν ἀρχὴν ἐνεστήσατο τῆς προειρημένης ἐπιβολῆς οὐ μόνον διὰ τῆς εἰς τοὺς φίλους εὐεργεσίας καὶ χάριτος, ἀλλὰ καὶ διὰ τῶν κατὰ πόλεμον ἔργων. βασιλεύσας γὰρ καὶ βιώσας ἔτη β′ πρὸς τοῖς ο′, τούτων δὲ βασιλεύσας μ′ καὶ δ′, σωφρονέστατα μὲν ἐβίωσε καὶ σεμνότατα πρὸς γυναῖκα καὶ τέκνα, διεφύλαξε δὲ τὴν πρὸς πάντας συμμάχους καὶ φίλους πίστιν, ἐναπέθανε δὲ ἐν αὐτοῖς τοῖς καλλίστοις ἔργοις. καὶ οὕτως ἡρμόσατο τὴν ἀρχὴν, ὡς παισὶ παίδων ἀστασίαστον παραδοθῆναι τὴν βασιλείαν. οὗτος ὁ Ἄτταλος παραλαβὼν τὴν ἐξουσίαν πρῶτον ἐξήνεγκε δεῖγμα τῆς αὑτοῦ προαιρέσεως καὶ πράξεως τὴν Ἀριαράθου καταγωγὴν ἐπὶ τὴν βασιλείαν. ὅτι Ἄτταλος, ὁ Ἀπολλωνίας ἀνὴρ, βασιλεὺς Ἀσίας, μεταλλάττει τὸν βίον, πληρωθείσης ἐπ' αὐτῷ τῆς Πυθίας, ἥτις χρηστηριαζομένη Ἀττάλῳ τῷ μεγάλῳ ἔφη· θάρσει, Ταυρόκερως, ἕξεις βασιληΐδα τιμὴν, καὶ παίδων παῖδες, τούτων γε μὲν οὐκέτι παῖδες.

α 4317 Ἀτάλλων: τρέφων. Σοφοκλῆς· κούφοις πνεύμασι βόσκου, νέαν ψυχὴν ἀτάλλων. Αἴας φησὶ πρὸς τὸ ἴδιον τέκνον. σημαίνει δὲ καὶ τὸ σκιρτῶν.

α 4318 Ἀταμίευτον: ἀδιοίκητον. καὶ ἀφύλακτον. ἢ οὗπερ οὐκ ἔστι ταμιεῖον. λέγεται δὲ οὕτως καὶ τὸ πρόχειρον καὶ ἐν ἑτοίμῳ.

α 4319 Ἀτάρ: καὶ δή· ἢ πλὴν, ἅτε δή· ἢ ὅμως· ἢ ἀντὶ τοῦ δέ.

α 4320 Ἀτάρβητος: ἄφοβος, ἄτρομος. καὶ Ἀταρβήτως, ἀντὶ τοῦ ἀνειμένως παρὰ Σοφοκλεῖ· ἐχθρῶν δ' ὕβρις ἀταρβήτως ὁρμᾷ.

α 4321 Ἀτὰρ δέ: πλὴν ὅμως.

α 4322 Ἀταρνεύς: πολίχνιόν τι κατ' ἀντικρὺ Λέσβου κείμενον. καὶ Ἀταρνείτης.

α 4323 Ἀτὰρ οὖν: διὰ τοῦτο οὖν.

α 4324 Ἀτὰρ ὥς: εἶτα δὴ, ὅμως.

α 4325 Ἀτάσθαλα: ἄδικα, ἁμαρτωλά. καὶ Ἀτασθαλία. ὁ δὲ Τραϊανὸς ἔγνω μὲν, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος· εἰ δὲ μὴ, ἀλλὰ συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας. καὶ Ἀτάσθαλον, ἄδικον, παράνομον. Εὐνάπιος· γυναικῶν δὲ ὕβρις καὶ τὸ ἀτάσθαλον εἰς παῖδας εὖ γεγονότας συνεκυρώθη καὶ νόμος εἶναι.

α 4326 Ἀτασθαλία: ἡ φρενοβλάβεια. τῶν τις νεωστὶ καταλεγέντων στρατιωτῶν ὑπὸ νεότητος καὶ ἀτασθαλίας ἐπιθυμεῖ τῶν ἄρτων. Αἰλιανός· ὁ δὲ Σερουήλιος πολλὰ καὶ ἀτάσθαλα ἐθρασύνετο κατὰ τοῦ Παύλου.

α 4327 Ἀταυρώτη: ἀντὶ τοῦ ἁγνὴ καὶ ἄμικτος· ταῦρος γὰρ τὸ αἰδοῖον τοῦ ἀνδρός. καὶ διὰ τοῦτο ἀταυρώτη, ἡ ἁγνὴ ἢ ἄζευκτος γάμου, καὶ ἀζυγής. καὶ βοῶπις ἡ Ἥρα καὶ ζυγία καὶ γαμηλία. ἐπειδὴ οἱ ταῦροι κατωφερεῖς. οἴκαδ' ἀταυρώτη διάξω τὸν βίον.

α 4328 Ἅτε: ὡς ἄν.

α 4329 Ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν: ὁ μὴ βρεχόμενος μήτε προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος βρέχεσθαι. Σοφοκλῆς· ἀλλ' ὧδ' ἄτεγκτος καὶ ἀτελεύτητος φανείς. ἀντὶ τοῦ ἀσυμπαθὴς, ἀδάκρυτος. τέγγειν γὰρ τὸ βρέχειν. ἀτελεύτητος δὲ δυσαξίωτος, δυσπαράκλητος, ἀμείλιχος. καὶ αὖθις· ὁ δὲ Μάρκος ἄτεγκτος ὢν καὶ στερρὸς, οἷος ἅπασι τοῖς ἀνιαροῖς ἀντέχειν, ᾤχετο φερόμενος ὑπὸ τῶν παθῶν ἐπὶ τὸ ἀνθρώπινον. καὶ αὖθις· λίθους τῶν ποδῶν ἐξαρτήσαντες ἔρριψαν εἰς τὸ πέλαγος ἀτέγκτως καὶ ἀφειδῶς. Ἀτέγκτοις, τοῖς μήτε δάκρυσι μήτε ἱδρῶσιν ἀβρόχοις. Αἰλιανός· οἰκτόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γε μὴν καὶ δάκρυα ἐμβαλοῦσαι πάντας, ὡς καὶ τοὺς ἀτέγκτους τε καὶ ἀτεράμονας τέγξαι. καὶ Ἀτέγκτως, ἐσχάτως. καὶ τὰ μὲν πρῶτα ἱέρειαι ἐπειρῶντο αὐτὸν πραΰνειν καὶ ἀντέχειν τῆς ὁρμῆς. βιαίως δὲ καὶ ἀτέγκτως διακειμένου, τῶν μὲν ἀπορρήτων καὶ ἃ μὴ ἰδεῖν λῷον ἦν, τούτων οὐκ ἐκοινώνουν οἱ· τῶν δὲ πρώτων καὶ ἐξ ὧν οὔτε τοῖς θεασαμένοις οὔτε τοῖς δείξασιν ἔμελλέ τι ἀπαντήσεσθαι δεινὸν, παρεῖχόν οἱ βλέπειν ταῦτα. καὶ αὖθις· ἱκανὰ πείθειν καὶ δυσωπεῖν τὰς ψυχὰς τῶν μὴ παντάπασιν ἀτέγκτους καὶ ἀτεράμονας ταύτας ἐχόντων. Αἰλιανός· ἦν δὲ ἄτεγκτος ὅδε ὁ παῖς καὶ ἀμείλικτος, καί οἱ ἐπέταττεν ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων.

α 4330 Ἀτέγκτου· ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας.

α 4331 Ἅτε δή: ὡς δή.

α 4332 Ἀτέκμαρτον: ἀτελείωτον, ἀκαταστόχαστον. Ἀριστοφάνης Ὄρνισιν· ἄνθρωπος ἀστάθμητος πετόμενος ἀτέκμαρτος. οἷον σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων· περὶ τοῦ Τελέου φησί. Εὐνάπιος δὲ λέγει· τῷ τε ἀξιώματι τῶν συνιόντων ἐθνῶν καὶ τοῖς μεγέθεσι τῶν παρασκευῶν ἐπὶ μέγα προβήσεσθαι, πολυτρόπων συμφορῶν καὶ ἀτεκμάρτου τύχης προσδοκηθείσης. ἀκατανοήτου.

α 4333 Ἀτεκνία: ἡ λήθη. Δαβίδ· ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. ὡς διὰ τῶν τέκνων φυλαττομένης τῆς μνήμης.

α 4334 Ἀτεκνῶ· αἰτιατικῇ.

α 4335 Ἀτέλεστος: ἀμύητος, βέβηλος, ἀνοργίαστος, τελετὰς μὴ πεποιημένος. Αἰλιανός· μυστηρίων τελουμένων τοῖν Θεοῖν, ἀτέλεστος μὲν ἀνθρώποις, ἀνόσιος δὲ οὐκ ἐβουλήθη μυηθῆναι κατὰ τοὺς νόμους, ἀλλὰ δοῦναι πολυπραγμοσύνης δυστυχοῦς ἀρρωστήματι χάριν. καὶ ἐπί τινος ἀνελθὼν λίθου ἑώρα τὰ γινόμενα· ἐκ γάρ τοι τοῦ λίθου κατώλισθε καὶ βιαίᾳ τῇ πλήγῃ περιπεσὼν ἀπέθανεν.

α 4336 Ἀττέλεβος: ἀκρίς τις.

α 4337 Ἀτελεύτητον: ἀτελείωτον.

α 4338 Ἀτέλεια: ἀλειτουργησία.

α 4339 Ἀτελῆ: ἀδάπανα· ὡς πολυτελῆ, τὰ πολυδάπανα.

α 4340 Ἀτενές: εὐθὺ, συνεχὲς, παντελῶς, καθόλου, παραχρῆμα, ἄγαν, ἰσχυρῶς· ἀφελῶς ἢ πάνυ προσεχῶς.

α 4341 Ἀτενίζω· αἰτιατικῇ. Ἐνατενίζω δὲ δοτικῇ.

α 4342 Ἄτερ: ἐκτὸς, χωρίς. καὶ Ἅτερα: θάτερα.

α 4343 Ἀτέραμνον: σκληρὸν, δυσμετάβλητον. Ἀτεράμονες, οὐχὶ ἀτέραμνοι. καὶ τὸ ἑνικὸν ἀτεράμων, οὐχὶ ἀτέραμνος. καὶ ὄσπρια ἀτεράμονα, οὐχὶ ἀτέραμνα. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι. καὶ Ἀτεράμων, ἀκαταπόνητος. σκληρός. Αἰλιανός· ὁ δὲ ἀτεράμων ὢν ἀπεώσατο ἄρα τὸ δῶρον. οὐδεὶς δὲ ἦν οὕτως ἀτεράμων καὶ βάρβαρος τὴν ψυχὴν, ὃς οὐκ ἐπείθετο καὶ κατεκηλεῖτο τοῖς ἀπὸ τοῦ ἱεροῦ στόματος ἐκείνου ῥέουσι λόγοις.

α 4344 Ἀτεράμων: λίαν σκληρὸς, μὴ τειρόμενος, ἀνένδοτος. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγονται, οἷον οὐχ ἁπαλά.

α 4345 Ἀτερμάτιστος: ἀβέβαιος, ἀθεμελίωτος.

α 4346 Ἅτερος: ὁ ἕτερος. καὶ τούτων ἅτερος τῶν ἀνδρῶν. ὁ δὲ Ἰουλιανὸς τῶν πρέσβεων ἅτερος ἀπεῖπεν ἅπασι μὴ διδόναι χρήματα τοῖς πολεμίοις.

α 4347 Ἀτευκτῶ· γενικῇ. ἀποτυγχάνω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4348 Ἀτέχνοις: πανούργοις, ἢ ἀπείροις. καὶ Ἀτέχνως, βαρυτόνως, ἀντὶ τοῦ ἄνευ τέχνης, ἀμαθῶς, ἀμελῶς. ἐπὶ δὲ τοῦ περισπωμένου ἀτεχνῶς, ἀντὶ τοῦ ἀληθῶς. τέχνη γὰρ ὁ δόλος. δεῖται τοῦ θεοῦ συμβουλὴν ἀτεχνῶς ἱερὰν παρασχεῖν αὐτῇ καὶ διδάξαι περὶ τῶν πρακτέων. Ἀτεχνῶς περισπωμένως, ἀντὶ τοῦ ἀληθῶς, ἁπλῶς, χωρὶς πανουργίας. σαφῶς· ἢ βεβαίως ἢ ἀσφαλῶς ἢ φανερῶς. οἱονεὶ ἀτενῶς, περισσοῦ ὄντος τοῦ χ. ἢ ἀντὶ τοῦ τελείως, καὶ ἀντὶ τοῦ ἰσχυρῶς, καὶ ἀντὶ τοῦ καθάπαξ, καὶ ἀντὶ τοῦ παντελῶς. οὕτως Πλάτων. εὐδαιμονῶν ἀτεχνῶς τὴν Ἀριστοτέλους εὐδαιμονίαν. καὶ αὖθις· οὐκ ἂν διαλεχθείη τοῖς ἄλλοις ἀτεχνῶς, οὐδ’ ἂν ἁπαντῶν. ἢ ἀτεχνῶς, ἀντὶ τοῦ ὅλως, καὶ συνόλως, οἷον ἀδόλως· τέχνας γὰρ ἔλεγον τοὺς δόλους. Ὅμηρος· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο.

α 4349 Ἄιττει: ὁρμᾷ, βαδίζει, ἐγγίζει. τὸ δὲ ᾄττω, ἀπὸ τοῦ ἀΐσσω, ἀΐττω, ᾄττω.

α 4350 Ἄτη: ἡ βλάβη. Ὅμηρος· αὐτίκα δ’ εἷλ’ Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο. ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς εἷλε τὴν Ἄτην· ἣ κατ’ ἀνδρῶν κράατα βαίνει. Ἄτη δὲ ὁ διάβολος, ὁ ἀντικείμενος. Σοφοκλῆς· ἀλλ’ οὖν εὐνοίᾳ γ’ αὐδῶ, μήτηρ ὡς ἥτις πικτὴ, μὴ τίκτειν ἄτην ἄταις. καὶ αὖθις Σοφοκλῆς· ἐγὼ μὲν οὐδέν’ οἶδ’, ἐποικτείρω δέ νιν δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ, ὁθούνεκ’ ἄτῃ συγκατέζευκται κακῇ.

α 4351 Ἀττήλας: ὁ τῶν Σκυθῶν ἡγεμών.

α 4352 Ἀτημελία: ἡ καταφρόνησις, ἡ ἀμέλεια. Ἀγαθίας· τὰ γὰρ μακρὰ τείχη πολλαχοῦ ὑπὸ χρόνου καὶ ἀτημελίας ἐπεπτώκει, καὶ διελέλυτο ἡ τοῦ μεγίστου ἕρματος οἰκοδομία. καὶ Ἀτημελήτους, ἀπρονοήτους, λίαν ἠμελημένους.

α 4353 Ἀτηρότατον· Σφηξί. Πλάτων δ’ ἐν Φάωνι ἀτηρίας. καὶ Ἀτηρόν. Ἀριστοφάνης· οὐ γὰρ ὁ γέρων ἀτηρὸν ἦν κακόν. καὶ αὖθις· οἱ δὲ ἐγέλων γέλων ἀτηρόν. βλαβερόν.

α 4354 Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόσπολος τῆς Μητρὸς τῶν θεῶν.

α 4355 Ἄττιν, οὐχὶ Ἄττια. Δημοσθένης· κατάρχεις τοῖς Σάβοις· Ἄττις Ὕις, Ἄττις. Θεόπομπος Καπηλίσι· κολάσομαί γ’ ἔσω καὶ τὸν σὸν Ἄττιν.

α 4356 Ἀτίθασσον: ἀνήμερον.

α 4357 Ἀττικάς: ἀντὶ τοῦ ὑστεριζούσας τοῦ καιροῦ, βραδυνούσας. Ἀριστοφάνης· ἀλλ’ ὄψει σφόδρα αὐτὰς Ἀττικάς. οἷον μελλούσας ἐν τῷ πράγματι.

α 4358 Ἀττική· ὅτι Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς. καὶ ζήτει ἐν τῷ γεραίτερος.

α 4359 Ἀττικὴ πίστις: ἐπὶ τῶν βεβαίαν φυλαττόντων πίστιν. καὶ Ἀττικὸς μάρτυς.

α 4360 Ἀττικισμός: ἡ πρὸς τοὺς Ἀττικοὺς οἰκειότης καὶ εὔνοια· ὡς Λακωνισμός, ἡ πρὸς τοὺς Λάκωνας. καὶ Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς. τὴν γὰρ τῶν κδʹ στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι.

α 4361 Ἀττικός, ἐπίσκοπος Κωνσταντινουπόλεως μετὰ Ἀρσάκιον, τὸν ἀπὸ τοῦ Χρυσοστόμου ἐπιτροπεύσαντα, τὸ μὲν γένος ἦν ἐκ Σεβαστείας τῆς Ἀρμενίας· ἐκ νέου δὲ φιλοσοφεῖν ἐπαιδεύθη ὑπὸ μοναχοῦ τῆς Μακεδονίου αἱρέσεως. οἱ δὲ τότε ἐν φιλοσοφίᾳ διαπρέποντες ἀνὰ τὴν Σεβάστειαν ἐκ τῆς Εὐσταθίου διατριβῆς ἦσαν· ὃν ἐπίσκοπον καὶ ἡγεμόνα τῶν ἐνθάδε ἀρίστων μοναχῶν ἔγνωμεν. ἤδη δὲ εἰς ἄνδρας τελῶν πρὸς τὴν καθολικὴν ἐκκλησίαν μετέθετο. φύσει δὲ μᾶλλον ἢ μαθήσει φρόνιμος ὢν ἐγένετο τῶν πρακτέων ἐπήβολος, ἐπιβουλεύειν τε καὶ πρὸς ἐπιβουλὰς ἀντισχεῖν ἱκανὸς, τὸ δὲ ἦθος ἐπαγωγὸς ὡς πολλοῖς κεχαρισμένος εἶναι, μέτριος δὲ πρὸς τοὺς ἐπ’ ἐκκλησίας λόγους, ὡς μήτε γραφῆς ἀξίους νομίζεσθαι τοῖς ἀκροαταῖς, μήτε παιδείας παντελῶς ἀμοίρους. ἐμμελὴς γὰρ ὢν, εἴ πη καιρὸν ἦγε, τοὺς παρ’ Ἕλλησιν εὐδοκιμωτάτους συγγραφέας ἠσκεῖτο· καὶ τῷ δοκεῖν ἰδιώτης εἶναι, περὶ τούτων διαλεγόμενος καὶ τοὺς ἐπιστήμονας πολλάκις ἐλάνθανεν. ἐλέγετο δὲ πρὸς τοὺς ὁμοδόξους σπουδαῖος εἶναι,

τοῖς δὲ ἑτεροδόξοις φοβερός· καὶ ῥᾳδίως μὲν αὐτοῖς, ἡνίκα βούλοιτο, δέος ἐμποιεῖν, αὖθις δὲ μεταβαλλόμενος πρᾶος φαίνεσθαι. καὶ τοῦτον μὲν τοιόνδε γενέσθαι φασίν. οὗτος ὁ Ἀττικὸς μετὰ τὸ πεπαιδεῦσθαι εὐλαβής τε καὶ φρόνιμος ἦν· διὸ καὶ τὰς ἐκκλησίας ἐπ’ αὐτοῦ συνέβη εἰς μέγα ἐπιδοῦναι. οὐ γὰρ μόνον τοὺς οἰκείους τῆς πίστεως συνεκρότει, ἀλλὰ καὶ τοὺς αἱρεσιώτας τῇ φρονήσει κατέπληττε· καὶ σκύλλειν μὲν αὐτοὺς οὐδαμῶς ᾑρεῖτο, φοβῶν δὲ πάλιν ἐπράϋνεν. ἀλλὰ μὴν οὔτε λόγων ἠμέλει, ἐπόνει γὰρ περὶ τὰ τῶν παλαιῶν ἀναγνώσματα, διανυκτερεύων ἐν αὐτοῖς· διὸ καὶ οὐκ ἐξεφωνεῖτο παρὰ τῶν φιλοσόφων σοφιστῶν. ἦν δὲ τοῖς ἐντυγχάνουσι χαρίεις καὶ ἐπαγωγὸς, καὶ τοῖς λυπουμένοις συνεστύγναζε, καὶ κατὰ τὸν Ἀπόστολον, τοῖς πᾶσι τὰ πάντα ἐγίνετο. καὶ πρεσβύτης μὲν ὢν ἐκμαθὼν οὓς καὶ ἐπόνει λόγους ἐπ’ ἐκκλησίας ἐδίδασκε· μετὰ δὲ ταῦτα σὺν τῇ φιλοπονίᾳ καὶ παρρησίαν κτησάμενος ἐξ αὐτοσχεδίου καὶ πανηγυρικώτατα ἐδίδασκε, καὶ χαίρειν τῇ γραμματικῇ φράσας ἐπὶ τὸν ἀσκητικὸν ἐτράπη βίον. οὐ μὴν τοιοῦτοι ἦσαν οἱ λόγοι ὡς παρὰ τῶν ἀκροατῶν σπουδάζεσθαι ἢ γραφῇ παραδίδοσθαι.

α 4362 Ἀτιμαγέλου: μὴ συναγελαζομένου. κέρας βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου.

α 4363 Ἀτιμάζω· αἰτιατικῇ. τὸ καταφρονῶ, τὸ ἀναδύομαι. Αἰλιανός· ταῦτά τοι οἱ Διόσκουροι οὐκ ἠτίμασάν οἱ φανῆναι πάλιν. καὶ Ἀτιμῆσαι, ἀτίμως ὑβρίσαι. ὁ δὲ Δημοσθένης ἐδέετο συγγνῶναι τῷ παιδὶ καὶ μὴ αὐτὸν ἀτιμῆσαι.

α 4364 Ἀτίμητος ἀγών: ἐφ’ ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλ’ οἱ δικάζοντες ἐτιμῶντο τί δεῖ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητὸς, ᾧ πρόσεστιν ἀπὸ τῶν νόμων ὡρισμένον τίμημα.

α 4365 Ἄτιμος: ἀνήκουστος. καί μ’ ὁ Φοῖβος ἄτιμον ἐξέπεμψε. περὶ ὧν γὰρ ἀπῆλθεν, οὐκ ἤκουσεν. ἰδίᾳ Δημοσθένης ἐν Φιλιππικοῖς τὸν ἀτιμώρητον λέγει· τουτέστιν, ὃν ἄν τις ἀποκτιννὺς οὐχ ὑπόκειται ἐπιτιμίῳ, ἀλλ’ ἔστι καθαρὸς αἰτίας· ὁ οἷον τὸν ἄτιμον ἑλών.

α 4366 Ἀτιμότερον: ἀντὶ τοῦ εὐτελέστερον, ἀτεχνότερον. μηδένα μηδοτιοῦν τῶν ἐρέσθαι δεομένων εἴπῃς μηδὲν, ἔστ’ ἂν ἀφίκωμαι. εἰ δὲ μή μοι προσέξοις, ἐρεῖς δὲ ἄκοντος, ἀτιμότερόν με θήσεις. εἰν ἀΐδᾳ γάρ μιν ὁ Θερσίτης οὐδὲν ἀτιμότερος.

α 4367 Ἀτιμώρητος: ἀβοήθητος, ἢ θαυμαστός. ἔστι δ’ ὅτε καὶ ὁ κακός. ἐπὶ οὖν τοῦ ἀβοηθήτου Αἰλιανός· οὐ μὴν ἀτιμωρήτους ἐγένετο μεῖναι τοὺς παῖδας τοὺς ἁλοηθέντας, ἑτεραλκὴς γὰρ ἡ νίκη γενομένη τῶν πλησίον ἦν.

α 4368 Ἄτλας: ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν. καὶ σιδηρέους Ἄτλαντος ὤμους. καὶ παροιμία· Ἄτλας τὸν οὐρανόν. λείπει ὑπεδέξω. ἐπὶ τῶν μεγάλοις πράγμασιν ὑποβαλλομένων καὶ κακοῖς περιπιπτόντων.

α 4369 Ἀτλήτῳ: ἀνυπομονήτῳ. ἐν Ἐπιγράμμασι· παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη. καὶ Ἀτλητῶν, μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν. πάρειμ’ ἀτλητῶν.

α 4370 Ἀτλαντικὰ πελάγη: ἑσπέριος ὠκεανὸς καὶ ἑῷος καὶ πάντα τὰ ἄπλωτα πελάγη. καὶ Ἀτλαντὶς θάλαττα, ὁ ὠκεανός.

α 4371 Ἀτμίς: ἀναθυμίασις, ἄκρον πυρός. καὶ Ἀτμῶν, ἀναθυμιάσεων.

α 4372 Ἄτολμοι: δειλοὶ, κατεπτηχότες. ὁθούνεκ’ εἰσὶν ἀδρανέστατοι ζῴων, ψυχὰς ἄτολμοι, μοῦνον εἰδότες φεύγειν. καὶ αὖθις· ἐπεὶ τοίνυν ὑπ’ ἀτολμίας οὗτος τῷ θεῷ ἠπείθησε, τῶν παρόντων παίδων οἵ φασι τὸν πρεσβύτην ἔργον τῆς παρούσης νόσου γενέσθαι.

α 4373 Ἄτομα: λεπτότατα. τὰ μὴ δυνάμενα διὰ τὴν ἄκραν λεπτότητα τέμνεσθαι. ὅτι ἄτομα ὠνόμασαν οἱ Ἕλληνες καὶ ἀμερῆ σώματα διὰ τὸ ἀπαθὲς ἢ σμικρὸν ἄγαν, ἅτε μὴ τομὴν ἢ διαίρεσιν δέξασθαι δυνάμενα. οὕτω δὲ καλοῦσι τὰ λεπτότατα καὶ σμικρότατα σώματα, ἃ διὰ τῶν φωταγωγῶν εἰσβαλλόμενα ὁ ἥλιος δείκνυσιν ἐν ἑαυτῷ ἄνω καὶ κάτω παλλόμενα.

α 4374

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀτοπίας πλέων πρᾶγμα: ἀντὶ τοῦ θαύματος. δελεάσαντος αὐτὸν ἐς τοῦτο ἀτοπίας ἐλθεῖν Χοσρόου. ἀντὶ τοῦ ἀλογίας, ἀβουλίας. καὶ αὖθις· θαυμάσαι ἄν τις τὴν ἀτοπίαν τοῦ ἀνδρός, ὅς γε χωρὶς ἄλλων τετόλμηκε καὶ ταῦτα λέγειν. καὶ αὖθις· ἐπεὶ δὲ ἀνεφάνη ὕδωρ, ἐξίσου τῷ μὴ εὑρεθέντι ἀρχὴν ὑπὸ ἀτοπίας ἦν. τουτέστι κακίας. καὶ Ἄτοπον ἀντὶ τοῦ ἄλογον, θαυμάσιον, παράδοξον, ξένον, κακόν, μοχθηρόν· καὶ ὃ μὴ ἔχει τόπον. καὶ τὸ ἀνυπομόνητον, οἷον ὃ μή ἐστι τοπάσαι. Ἀριστοφάνης· ἄτοπος δ᾽ ἔγκειταί μοί τις πόθος, ὅς με διακναίσας ἔχει. καὶ αὖθις· ἀτοπίαν ὑποτοπάσας τινά.

α 4375 Ἄττοσα, ἡ Κύρου μὲν θυγάτηρ, Δαρείου δὲ γυνή, ἰατρεύθη ἐντέχνως ὑπὸ Δημοκήδου ἰατροῦ. καὶ ζήτει ἐν τῷ Δημοκήδης.

α 4376 Ἀτώμενος: ἄτης πεπληρωμένος. ἴδοι μιν ὧδ᾽ ἀτώμενος. Σοφοκλῆς.

α 4377 Ἀτραβατικάς· ἐν ταῖς ἑορταῖς καὶ τοῖς ἐπινικίοις καὶ παρόντων πρέσβεων ἐνεδύοντο χιτῶνας καὶ χλαμύδας ποικίλας, ἀπὸ χρυσοῦ καὶ πορφύρας καὶ ἄλλως πως πολυτελεῖς, ἐν δὲ ταῖς κοιναῖς συνόδοις ξηραμπελίνας τὸ χρῶμα, ἃς ἐκάλουν Ἀτραβατικὰς ἀπὸ τοῦ χρώματος· τὸ γὰρ μέλαν ἄτρον καλοῦσιν· ἢ ὅτι μετὰ τραβαίας ταύταις εἰώθεσαν χρῆσθαι· τραβαῖαι δὲ λέγονται αἱ πολυτελεῖς χλαμύδες.

α 4378 Ἄτρακτον: βέλος μεταφορικῶς. Σοφοκλῆς· πρὸς δὲ τούτοις, ὅ μοι βάλοι νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας εἰλυόμην δύστηνος ἐξέλκων πόδα. καὶ Προκόπιος· τινὸς τῶν ἐν ταῖς ἐπάλξεσιν ἀμυνομένων εὐστοχώτατα ἀφιέντος τὸν ἄτρακτον ἀνῄρηται βλαβείς. καὶ Μένανδρος· ὁ δὲ ἐπετοξάζετο κατὰ τοῦ βαρβάρου, καὶ μάλα εὐστοχώτατα τὸ κέρας ἐκτείνας ἀφίησι τὸν ἄτρακτον κατὰ τοῦ Κώχ. καὶ ἐν Ἐπιγράμμασι· θερμὸν δ᾽ ἐπὶ θερμῷ ἰάλλει ἄτρακτον. Ἄτρακτος καὶ τὸ γυναικεῖον ἐργαλεῖον. ἀραχναίοιο μίτου πολυδίνεα λάτριν ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἀλακάτας. καὶ αὖθις· καὶ δακτυλότριπτον ἄτρακτον, σπονδυλοδινήτῳ νήματι νηχόμενον. καὶ αὖθις· τόν τε καρηβαρέοντα, πολυροίβητον ἄτρακτον, κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας.

α 4379 Ἀτραμύτειον· Θουκυδίδης. Ἀτραμυτινὸς δέ.

α 4380 Ἀτραπιτός: ἡ ὁδός. καὶ Ἀτραπούς, ὁδοὺς τετριμμένας.

α 4381 Ἀτράφαξυς: εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται.

α 4382 Ἀτρέα καὶ καθόλου τὰς ἀπὸ τῶν εἰς ευς συμφώνῳ παραληγομένων αἰτιατικὰς μηκύνουσι, τὰς δὲ καθαρὰς τοῦ ευ συναιροῦσι· Χοᾶ καὶ Μηλιᾶ καὶ Σουνιᾶ. Ἴωνες δὲ συστέλλουσι τὰς προτέρας, Ἀτρέα καὶ Πηλέα βραχέως λέγοντες· διὸ καὶ παρὰ τοῖς τραγικοῖς οὐκ ἀναγκαῖον ἐκτείνειν, εἰ μὴ μέτρον ἀναγκάζει. καὶ τὰς ἀπὸ τῶν εἰς ης ὁμοίως. τὸ γὰρ συστέλλειν Ἰακόν. Ἀριστοφάνης Γεωργοῖς, καχέτας καὶ Μεγακλέας καὶ μαλακούς.

α 4383 Ἀτρεκές: ἀληθὲς, ἀκριβές. καὶ Ἀτρεκεῖ, ἀληθεῖ, ἀκριβεῖ.

α 4384 Ἀτρέμας: ἠρέμα. καὶ Ἀτρεμία, ἡσυχία. καὶ Ἀτρεμίζων, ἑδράζων.

α 4385 Ἀτρέως ὄμματα: οἷον ἄτρεπτα καὶ σκληρά. εἴρηται δὲ ἀπὸ τῆς Ἀτρέως παρανομίας, ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέστην μοιχεύειν Ἀερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας καὶ ἑψήσας δειπνοῦντι παρέθηκε τῷ πατρὶ, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ ἄκρα παραθεῖναι.

α 4386 Ἀτρέπτως: ὀρθῶς. Αἰλιανός· ὑπὲρ τῶν μελλόντων ἀτρέπτως τε καὶ παναληθῶς προθεσπίζουσα.

α 4387 Ἄτρεστος. ἐνηθλήσω δὲ προνοίᾳ αἵρεσιν ἀτρέστου μητέρ᾽ ἐλευθερίης. καὶ Ἀτρέστως, ἀφόβως, ἀνελεημόνως. οἱ δὲ ἀτρέστως πάντας ἐφόνευσαν.

α 4388 Ἀτρείδης καὶ Ἀτρείδαο καὶ Ἀτρείδαιν. τὴν γενικὴν περισπᾶν ἀξιοῦσιν οἱ ἀναλογικοὶ, τὴν δὲ δοτικὴν βαρυτονεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4389 Ἄτριψ: ἀμαθὴς, ἀτριβής. οὐδὲ γὰρ ἦν οὐδὲ τούτων ἄτριψ ὁ Παπίριος. καὶ αὖθις· ἄτριψ γὰρ ἦν τῆς ὁδοῦ ταύτης.

α 4390 Ἀτρόμητος: ὄνομα κύριον. καὶ ὁ ἄφοβος. ἐν Ἐπιγράμμασι· ταύρου βαθὺν τένοντα καὶ σιδηρέους Ἄτλαντος ὤμους καὶ κόμην Ἡρακλέους σεμνάν θ' ὑπήνην καὶ λέοντος ὄμματα Μιλησίου γίγαντος οὐδ' Ὀλύμπιος Ζεὺς ἀτρόμητος εἶδε. καὶ Ἀτρόμως, ἀφόβως. φεύγων ἀτρόμως καὶ τρέχων ὑποστρέφει. περὶ τοῦ Πέρσου Πισίδης.

α 4391 Ἄτρον: τὸ μέλαν παρὰ Ῥωμαίοις.

α 4392 Ἀτροφῆσαν ἐμαράνθη: μὴ τραφέν.

α 4393 Ἄτρωτος: ἀπαθὴς, ἀσινής. ἀλλ' ἔμενεν ἄτρωτος ὑπὸ τῶν τοιούτων παθῶν ἢ ὁ Αἴας ὑπὸ σιδήρου.

α 4394 Ἄτρυτος: ἀκαταπόνητος. φιλολογίᾳ τε καὶ ἀτρύτοις πόνοις ἐγκείμενος, εὐφυεστέρων καὶ πρεσβυτέρων κατέχωσε δόξας τῷ ἑαυτοῦ ὀνόματι. καὶ αὖθις· ταῖς δὲ ἡμέραις ἀτρύτοις πόνοις ἑαυτὸν πρὸς γεωργίαν ἐξεδίδου. δίκη γὰρ πάντα ἐφορῶσα ἄγρυπνός ἐστι φύσει, καὶ θεία, καὶ ἄτρυτος. καὶ αὖθις· φιλοπονίαν ἔχειν ἄτρυτον.

α 4395 Ἀτρυτώνη: ὄνομα.

α 4396 Ἀτρύφερος: ἡ λέξις ἐν Βάπταις Εὐπόλιδος. ὅτι οὐκ ἀτρύφερος οὔτ' ἄωρός ἐστ' ἀνήρ.

α 4397 Ἀτυζομένη: ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη. Ἠλέκτρα φησί· νήπιος, ὃς τῶν οἰκτρῶς οἰχομένων γονέων ἐπιλάθεται. ἀλλ' ἐμὲ ἁ στονόεσσ' ἄραρε φρένας, ἃ Ἴτυν αἰὲν ὀλοφύρεται, ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος. τὸ δὲ ἄραρεν ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσί. τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν.

α 4398 Ἀτυφία: ταπεινοφροσύνη. καὶ Ἄτυφον ἐν Φαίδρῳ τὸ ἀβλαβές· ἐπεὶ τὸ τῦφον βλάπτει. καὶ ἐπιτεθυμμένον ὁμοίως· τὸ γὰρ θύψαι, ἐπικαῦσαι. καὶ θυμάλωπες, οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, οἱ ἡμίκαυτοι. καὶ Ἀτύφου μοίρας, τῆς ἀβλαβοῦς ὑπὸ τύφου. ἄτυφόν φασιν εἶναι τὸν σοφόν. ἴσως γὰρ ἔχειν πρός τε τὸ ἔνδοξον καὶ ἄδοξον. εἶναι δὲ καὶ ἄλλον ἄτυφον, κατὰ τὸν εἰκαῖον τεταγμένον, ὅ ἐστι φαῦλον. οἱ δὲ εἰρηναίως ἐσταλμένοι ἄνευ δορυφόρων ἄγοντες τὴν ἱερουργίαν ἧκον ἀτυφότατα ἐκεῖνοι. Αἰλιανός φησι.

α 4399 Ἀτυχῆσαι: μὴ τυχεῖν.

α 4400 Ἀοιδή: ᾠδή.

α 4401 Ἀοίδιμος: ὑμνητός.

α 4402 Ἀοιδός: ὁ μελῳδός. καὶ ὁ ποιητής. ὅτι τὸ τῶν ἀοιδῶν γένος σῶφρον ἦν τὸ παλαιὸν καὶ φιλοσόφων διάθεσιν ἔχον. Ἀγαμέμνων γὰρ τῇ Κλυταιμνήστρᾳ σωφρονιστῆρα τοῦτον ἀφίησιν· ὃς πρῶτον ἀρετὰς γυναικῶν διερχόμενος ἐνέβαλλέ τινα φιλοτιμίαν εἰς καλοκαγαθίαν, εἶτα διατριβὴν παρέχων ἡδείαν ἀπεπλάνα τὴν διάνοιαν φαύλων ἐννοιῶν· διόπερ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυναῖκα πρὶν τὸν ἀοιδὸν ἀποκτεῖναι. ὁ δὲ Δημόδοκος ᾄδει τὴν Ἀφροδίτης καὶ Ἄρεος συνουσίαν, οὐ διὰ τὸ ἡδὺ καὶ τὸ ἀποδέχεσθαι τοῦτο τὸ πάθος, ἀλλ' ἀποτρέπων αὐτοὺς παρανόμων ὀρέξεων, εἰδὼς ἐν τρυφερῷ βίῳ τεθραμμένους (αἰεὶ γὰρ αὐτῷ δαΐς τε φίλη, κίθαρις), ὁμοιότατα τοῖς τρόποις αὐτῶν τὰ πρὸς ἀνάπαυσιν φέρων. καὶ τὸν Φήμιον ποιεῖ ᾄδοντα πρὸς τὴν βουλὴν αὐτῶν. καὶ αἱ Σειρῆνες δὲ ᾄδουσι τῷ Ὀδυσσεῖ τὰ μάλιστα αὐτὸν τέρψοντα καὶ τὰ οἰκεῖα τῇ φιλοτιμίᾳ αὐτοῦ καὶ πολυμαθείᾳ. λέγουσι δὲ, ὅτι πᾶς ὁ τῆς ᾠδῆς κατακούσας τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.

α 4403 Ἄοινος: ἐπὶ τῶν μὴ γευομένων οἴνου, καὶ ἐπὶ τῶν μὴ ἐχόντων οἶνον.

α 4404 Ἀοῖον: ἑῷον ἀστέρα. οὕτως Ἀριστοφάνης.

α 4405

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αὖ: δή. ἢ πάλιν.

α 4406 Αὖ: ποτὲ μὲν ἀντὶ τοῦ πάλιν, ποτὲ δὲ ἐκ περιττοῦ τιθέασιν.

α 4407 Αὐάνθη: ἐξηράνθη.

α 4408 Αὐγάζω· αἰτιατικῇ.

α 4409 Αὔγαρος: Ἐδέσσης βασιλεύς· ὅστις ἐπὶ Τραϊανοῦ βασιλέως ἦν, καὶ δῶρα αὐτῷ προσῆξεν ἐκεῖσε ἀφιγμένῳ. ζήτει ἐν τῷ Φυλάρχης. Ἄγβαρος λέγουσιν οἱ πολλοί.

α 4410 Αὐγέας, Ἀθηναῖος, κωμικός. τῶν δραμάτων αὐτοῦ, Ἄγροικος, Πορφύρα, Δὶς κατηγορουμένος· ἔστι δὲ τῆς μέσης κωμῳδίας.

α 4411 Αὐγοειδής· ἔφασκε δ' οὖν παρ' ἐκείνου καὶ ἐκεῖνο ἀκηκοέναι ὁ Ἰσίδωρος, ὡς ἔχει τι ἡ ψυχὴ αὐγοειδὲς ὄχημα λεγόμενον, ἀστροειδές τι καὶ ἀΐδιον. καὶ τοῦτο μέντοι τῷ ἀστροειδεῖ σώματι τῷδε ἀποκέκλειται ἐνίοις μὲν εἴσω τῆς κεφαλῆς, ἐνίοις δὲ εἴσω τοῦ δεξιοῦ ὤμου· ὅπερ οὐδεὶς φαίνεται ἄλλος ἱστορήσας.

α 4412 Αὔγουστος Καῖσαρ, ὁ καὶ Σεβαστὸς καὶ Ὀκταβϊανὸς ἐπικληθεὶς, Περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων βιβλία ιγʹ, καὶ τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως. ὅτι Αὔγουστος Καῖσαρ δόξαν αὐτῷ πάντας τοὺς οἰκήτορας Ῥωμαίων κατὰ πρόσωπον ἀριθμεῖ, βουλόμενος γνῶναι πόσον ἐστὶ πλῆθος. καὶ εὑρίσκονται οἱ τὴν Ῥωμαίων οἰκοῦντες υιʹ μυριάδες καὶ ͵αιζʹ ἄνδρες.

α 4413 Αὔγουστος ὁ Καῖσαρ, ἀνεψιὸς Ἰουλίου Καίσαρος· ἀφ' οὗ καὶ ὁ μὴν Αὔγουστος ἐπικέκληται. αὔγουστα δὲ λέγονται τὰ τίμια καὶ μεγάλα καὶ ἐπίσημα. ἐπ' αὐτοῦ γὰρ ὁ κύριος Ἰησοῦς Χριστὸς, ὁ θεὸς καὶ σωτὴρ ἡμῶν, τὴν σάρκα ἀνείληφεν ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαριάς. ὅτι Αὐγουστεῖον ἐκλήθη, διότι τῇ εʹ τοῦ Ὀκτωβρίου μηνὸς οἱ ῥεγεωνάρχαι καὶ σεβαστοφόροι ἐχόρευον ἐν τῷ Αὐγουστείῳ, οἷον ἐν τῷ ὀψοπωλίῳ, εἰς τιμὴν Τιβερίου· τὸν δὲ τοιοῦτον τόπον οὕτως ἐκάλεσαν ἀπὸ τοῦ Αὔγουστος. ἔστησε δὲ καὶ ὁ μέγας Κωνσταντῖνος εἰς τὸ ἄσκεπον τῆς δάφνης στήλην τῆς ἑαυτοῦ μητρὸς, ἐξ ἧς ὠνόμασε τὸν τόπον Αὐγουστεῖον. Αὐγουστεῖον, ὅπερ λέγεται ὀψοπώλιον καὶ ζήτει ἐν τῷ Ἰουστινιανός. ὅτι Αὐγούστου Καίσαρος ἀποθανόντος, Τιβέριος καὶ Δροῦσος προηγοῦντο τοῦ πένθους τοῦ νεκροῦ παντελῶς μὴ ἁπτόμενοι· οὐ γὰρ ἐξὸν τοῖς μοναρχοῦσιν. τὰς δὲ διαθήκας αἱ Ἑστιάδες εἶχον, ἃς διέθετο. ὅτι Αὔγουστος Καῖσαρ θυσιάσας ἤρετο τὴν Πυθίαν, τίς μετ' αὐτὸν βασιλεύσει· καὶ εἶπε· παῖς Ἑβραῖος κέλεταί με, θεοῖς μακάρεσσιν ἀνάσσων, τόνδε δόμον προλιπεῖν καὶ ἀοιδὸν αὖθις ἱκέσθαι. λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετέρων. καὶ ἐξελθὼν ἐκ τοῦ μαντείου ὁ Αὔγουστος ἔστησεν ἐν τῷ Καπιτωλίῳ βωμὸν, ἐν ᾧ ἐπέγραψε Ῥωμαϊκοῖς γράμμασιν· ὁ βωμὸς οὗτός ἐστι τοῦ πρωτογόνου θεοῦ.

α 4414 Αὔδα: λέγε. καὶ Αὐδήσας, βοήσας, φωνήσας.

α 4415 Αὐδή: ἡ φωνή. καὶ Αὐδήεσσα, ὀνομαστὴ, ἔνδοξος. ἢ αὐδωμένη, εἰς ὁμιλίαν καὶ φωνὴν ἀνθρώπων ἀφικνουμένη. καὶ Αὐδήεις, φωνητικός.

α 4416 Αὐδηναῖος: ὄνομα μηνὸς παρὰ Μακεδόσιν. ὁ Ἰαννουάριος.

α 4417 Αὐδώδ, κριτὴς τοῦ Ἰσραὴλ, ἐκ τῶν ἀλλοφύλων ἐν ἡμέρᾳ μιᾷ ἐν τῷ ἀροτρόποδι τῶν βοῶν ἐπάταξεν ἄνδρας χʹ.

α 4418 Αὐαίνεται: ξηραίνεται. αὖοι γὰρ οἱ ξηροί. καὶ Αὑασμός, ξηρασία. ἡ πρώτη δασύνεται. Ἀριστοφάνης· ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται. καὶ ἑτέρωθι· ὥστ' ἔγωγ' ηὐαινόμην θεώμενος. καὶ Αὐαίνοιτο, ξηραίνοιτο, ἀφανιζέσθω. ἐν Ἐπιγράμμασι· ὁ φθόνος αὐαίνοιτο, τεὸν δ' ἔτι κῦδος ἀέξοι. καὶ Αὐαίνου λίθος, ἀπὸ τοῦ αὔους τοὺς νεκροὺς εἶναι. Αὐαίνου λίθος ἦν Ἀθήνησιν.

α 4419 Αὖ ἐρύσαι: εἰς τοὐπίσω ἑλκύσαι. ἐν Ἐπιγράμμασι· ἀπρὶξ δραξαμένη βόστρυχον αὖ ἐρύσαι.

α 4420

Αὔεις: φωνεῖς, λαλεῖς. Ζήνων γὰρ ὁ Κιτιεὺς ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρί φησι τὸ ἐκ τῆς Νιόβης· ἔρχομαι, τί μ' αὔεις; καὶ παραχρῆμα ἐτελεύτησεν ἀποπνίξας ἑαυτὸν, βιοὺς δὲ ἔτη ϟʹ ἄνοσος· οἱ δὲ δυοῖν δέοντα ξʹ ζῆσαι αὐτὸν ἔτη φασίν.

α 4421 Αὐήνας: ξηράνας. αὐήνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ, τὸν τὰ Διονύσου δῶρα λεϊζόμενον. περὶ ἐχίνου φησίν. ἐκ τοῦ αὐαίνω ῥήματος. εἰ γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει, τί μὴ πάθωμεν τῶν κακῶν, ὅταν γήμας ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ.

α 4422 Αὐθάδεια, καὶ Αὐθαδία διὰ τοῦ ι. καὶ Αὐθάδης, αὐτάρεσκος, θυμώδης, θρασὺς, ὑπερόπτης. καὶ κλίνεται αὐθάδους· ὡς ὀξώδης, ὀξώδους. καὶ ἡ κλητικὴ αὐθάδες. παράλογον δὲ τὸ αὔθαδες.

α 4423 Αὔθαιμοι: οἱ ἀδελφοί. ἐν Ἐπιγράμμασι· Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνης.

α 4424 Αὐθαίρετος: αὐτεπάγγελτος.

α 4425 Αὐθέκαστα: αὐτὰ τὰ γενόμενα, οἷον ἀκρίτως, καὶ συντόμως, καὶ ἀποτόμως. ἢ τὰ ἁπλᾶ καὶ ἀληθῆ αὐτοακριβῶς. καὶ Αὐθέκαστος, ἀκριβὴς, καὶ αὐστηρὸς τῷ λόγῳ, καὶ ἀπαρέγκλητος τῷ τρόπῳ, ἀπαρακάλυπτος. οἱ τοίνυν ἀπεχθανόμενοι πρὸς αὐτὸν διὰ τὸ αὐθέκαστον τῶν νόμων καὶ ἄμικτον λαμβάνονταί τε καὶ ἐπ' αὐτοφώρῳ ἁλόντα παρανομοῦντα ἐδείκνυσαν.

α 4426 Αὐθέντης: ὁ αὐτόχειρ, ἢ ὁ αὐτὸν ἀναιρῶν. διὸ παρ' Ἰσοκράτει αὐθέντης. Λυσίας ἰδίως αὐτὸ ἔταξεν ἐπὶ τῶν λʹ· καίτοι δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους. ὁ γὰρ αὐθέντης ἀεὶ τὸν αὐτόχειρα σημαίνει. καὶ Αὐθεντήσαντα, κύριον γενόμενον. μὴ ὀφείλειν αὐτὸν αὐθεντήσαντα τοὺς ὑπὸ ζώνην συνέχειν. ὅτι Μιθριδάτης διετάξατο τοὺς Ῥωμαίους ἀναιρεῖν καὶ ἔπεμψε γράμματα εἰς τὰς πόλεις, τὸ βασιλικὸν σφράγισμα ἔχοντα, μιᾷ τε ἡμέρᾳ τάξας ἀναγνῶναι καὶ παραχρῆμα τὰ γεγραμμένα πρᾶξαι, ὅπως μὴ προμαθόντες τινὲς φυλάξωνται. ἀποκτεῖναι γὰρ αὐτοῖς ἐκέλευσε πάνθ' ὅντινα Ῥωμαῖον εὕρωσι· καὶ ἆθλα οὐ μόνον τοῖς αὐτοένταις σφῶν ἐσομένοις, ἀλλὰ καὶ τοῖς δήμοις, παρ' οἷς ἂν ἀποθάνωσι, πρὸς τὸ πλῆθος τῶν τελευτησάντων ἔθηκε· τιμωρίαν τε τοῖς φεισομένοις τινὸς αὐτῶν μεγάλην ὥρισε. παράγεται δὲ αὐθέντης οὕτως. ἔστι ῥῆμα φῶ, τὸ φονεύω· ἐξ οὗ καὶ φόνος. ἐκ τούτου κατὰ παραγωγὴν φένω διὰ τοῦ ε ψιλοῦ, ἀφαιρέσει τοῦ φ ἔνω. ἐξ αὐτοῦ ἔντης καὶ μετὰ τῆς αὐτὸ ἀντωνυμίας αὐτοέντης. καὶ ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων, τροπῇ τοῦ τ εἰς θ, αὐθέντης, ὁ αὐτόχειρ. ἐπεκράτησε δὲ ἡ συνήθεια καὶ κέχρηται τῷ ὀνόματι ἀντὶ τοῦ δεσπότης· ὅπερ ἐστὶν ἀκυρολεξία.

α 4427 Αὐθημερόν: ἐν αὐτῇ τῇ ἡμέρᾳ.

α 4428 Αὖθι: αὐτόθι.

α 4429 Αὐθιγενής: αὐτόχθων, γνήσιος. Πέρσης εἰμὶ καὶ ἐκ πατέρων Πέρσης αὐθιγενής, ναὶ δέσποτα· πῦρ δὲ μιῆναι ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου.

α 4430 Αὖθις: ἐξ ἀρχῆς, πάλιν, ἐκ δευτέρου. ἐκ παραλλήλου τιθέασι καὶ ταῦτα καὶ πάλιν. σημειωτέον δὲ ὅτι τὸ μὲν αὖθις Ἀττικόν, τὸ δὲ αὖτις Ὁμηρικόν. Αὖτις, εἰς τοὐπίσω. Αὖθις, χρονικόν. ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν. Αὖθις αὖ πάλιν, ἐξ ἀρχῆς δὴ πάλιν. ἢ ἐκ δευτέρου δὴ πάλιν.

α 4431 Αὐθωρήτους: συντόμους.

α 4432 Αὐθωρόν: αὐτῇ τῇ ὥρᾳ.

α 4433 Αὖλαξ: ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου.

α 4434 Αὐλαία: τὸ τῆς σκηνῆς παραπέτασμα. κέχρηται δὲ αὐτῷ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. Πολύβιος· ἀκούων ταῦτα πάντα διὰ τῆς αὐλαίας ἐγέλα ὁ βασιλεύς. καὶ αὖθις· ὁ δὲ λαβὼν ἐκ τῆς παραπεπετασμένης αὐλαίας καλῴδιον ἑαυτὸν ἀπεκρέμασεν.

α 4435

Αὐλητρὶς πέπτωκεν: ἀμφιβολία λέξεως, δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως. δηλοῦται γὰρ δι' αὐτῆς, ὅτι καὶ οἰκία τρὶς πέπτωκε, καὶ ὅτι ἡ κιθαρῳδὸς ἡ αὐλοῦσα. καὶ ζήτει ἐν τῷ ἀμφιβολία.

α 4436 Αὔλειος θύρα, καὶ Προαύλειος.

α 4437 Αὐλή: τὸ νῦν ἀρχεῖον λεγόμενον· ὅπου ἀπήγοντο οἱ κατάκριτοι. καὶ τοὺς ἐκεῖσε ὑπηρέτας αὐλικοὺς ὠνόμαζον. καὶ παροιμία· Εἴποις τὰ τρία τὰ παρὰ τῇ αὐλῇ. καὶ αὖθις· ἐξ ὧν ἅπαντας δεδιὼς τοὺς περὶ τὴν αὐλὴν, μάλιστα δὲ τὸν Φίλιππον, οὕτω πεποιῆσθαι τὴν ἀποχώρησιν. καὶ Αὐλή, ἡ τοῦ βασιλέως οἰκία.

α 4438 Αὐλητοῦ βίον ζῇς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων· παρόσον ἐπιτηροῦντες οἱ αὐληταὶ τοὺς θύοντας ἐξ ἀτελείας ζῶσιν.

α 4439 Αὐλία: θύρα, πυλών. καὶ ἡ αὔλειος. τῶν τε αὐλείων καὶ σταθμῶν τὰς θύρας ἐξέκοψαν.

α 4440 Αὔλια: ἀντὶ τοῦ ἔπαυλις. ἢ ἀντὶ τοῦ τὰς μικρὰς αὐλάς. οὕτως Λυσίας καὶ Αἰσχίνης.

α 4441 Αὐλίζεται: κοιμᾶται, φυλάττει, παρεμβάλλει. καὶ Αὐλιζόμενοι, Ἀντιφῶν ἀντὶ τοῦ κοιμώμενοι.

α 4442 Αὐλίκουροι: φύλακες. καὶ Αὐλικούς, κιθαρῳδούς.

α 4443 Αὔλειος: ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. Αὐλείους θύρας. καὶ ἑνικὸν αὔλειον λέγουσιν ὡς ἡμεῖς. Ἀριστοφάνης Δαναΐσι· πρὸς τὸν στροφέα τῆς αὐλείας ἐχίνου κεφαλῆς κατορύττειν. Αὔλιον δὲ καὶ προαύλιον οὐδετέρως.

α 4444 Αὖλις: ἡ κοίτη. Αὐλὶς δὲ πόλις Βοιωτίας.

α 4445 Αὐλίσκοι.

α 4446 Αὖλος Ποστόμιος οἰκίας μὲν ἦν καὶ γένους πρώτου, κατὰ τὴν ἰδίαν φύσιν στωμύλος καὶ λάλος καὶ πέρπερος διαφερόντως. ἐπιθυμήσας δ' εὐθέως ἐκ παίδων τῆς Ἑλληνικῆς ἀγωγῆς καὶ διαλέκτου πολὺς μὲν ἦν ἐν τούτοις καὶ κατακορής, ὥστε δι' ἐκεῖνον καὶ τὴν αἵρεσιν τὴν Ἑλληνικὴν προσκόψαι τοῖς πρεσβυτέροις καὶ τοῖς ἀξιολογωτάτοις τῶν Ῥωμαίων, τέλος δὲ καὶ ποίημα γράφων καὶ πραγματικὴν ἱστορίαν ἐνεχείρησεν· ἐν ᾗ διὰ τοῦ προοιμίου παρεκάλει τοὺς ἐντυγχάνοντας συγγνώμην ἔχειν, εἰ Ῥωμαῖος ὢν μὴ δύνηται κατακρατεῖν τῆς Ἑλληνικῆς διαλέκτου καὶ τῆς κατὰ χειρισμὸν οἰκονομίας· ὅπερ ἐστὶ πάσης ἀτοπίας σημεῖον, καὶ παραπλήσιον, ὡς ἂν εἴ τις ἐς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος πυγμὴν ἢ παγκράτιον, παρελθὼν ἐς τὸ στάδιον, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, ἐὰν μὴ δύνηται τὸν πόνον ὑπομένειν μήτε τὰς πληγάς. δῆλον γὰρ ὡς εἰκὸς γέλωτα τὸν τοιοῦτον ὀφλεῖν καὶ τὴν δίκην ἐκ χειρὸς λαμβάνειν· ὅπερ ἔδει καὶ τοὺς τοιούτους ἱστοριογράφους, ἵνα μὴ κατετόλμων τοῦ καλῶς ἔχοντος. ἦν δὲ καὶ φιλήδονος καὶ φυγόπονος.

α 4447 Αὐλός: ὁ εἰς εὐθὺ ἐξακοντισμὸς τοῦ αἵματος. καὶ περόνης μέτρον. καὶ μουσικῆς τι ὄργανον. καὶ Αὐλός, ὁ ἐπιμήκης φυσητήρ. ἐν Ἐπιγράμμασι· καὶ αὖθις· αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον.

α 4448 Αὐλῷ· δοτικῇ.

α 4449 Αὐλῶνες: φάραγγες, ἢ τόποι πλατεῖς περὶ τὰ ὄρη. ὁ δὲ κατεστρατοπέδευσε, λαβὼν αὐλῶνά τινα μεταξὺ τῆς αὑτοῦ καὶ τῶν πολεμίων στρατοπεδείας. καὶ Αὐλωνίζουσα, ἐν αὐλῶνι διάγουσα.

α 4450 Αὐξέντιος, Μοψουεστίας ἐπίσκοπος· ὃς ἦν τῶν ὁμολογητῶν ὀνομαζομένων. ἦν δὲ παρὰ τῶν ἐπιφανῶς τῷ βασιλεῖ Λικινίῳ στρατευσαμένων τῶν ὑπογραφέων τούτου γενόμενος, οὓς δὴ νοταρίους Ῥωμαῖοι καλοῦσι. τὸ δὲ τῆς ὁμολογίας τοιόνδε γέγονεν εἶδος· ἦν ἔν τινι τῆς βασιλικῆς ἑστίας αὐλῇ κρήνη τε ὕδατος καὶ ἐπ' αὐτῇ Διονύσου ἄγαλμα καὶ ἄμπελος μεγάλη περικειμένη καὶ σκιερὸν ἐπιεικῶς καὶ συνηρεφῆ τὸν ἅπαντα τόπον ἐργαζομένη. ἐνταῦθα ὁ Λικίνιος κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος, τοῦ τε Αὐξεντίου αὐτῷ καὶ ἄλλων πολλῶν ἐκ τῆς θεραπείας παρεπομένων, εἰς τὴν ἄμπελον ἀνιδὼν ἐθεάσατο βότρυν ὡραῖόν τινα καὶ μέγαν

τῶν κλημάτων ἀπαιωρούμενον. τοῦτον προσέταξε τῷ Αὐξεντίῳ τεμεῖν. ὁ δὲ αὐτίκα τὸ προσηρτημένον ταῖς ἀναξυρίσιν αὐτοῦ μαχαίριον ἀφελόμενος ἔτεμε μηδὲν ὑπειδόμενος. ὁ οὖν Λικίνιος πρὸς αὐτόν· θὲς τοίνυν τὸν βότρυν, ἔφη, πρὸς τοῖς τοῦ Διονύσου ποσίν. ὁ δὲ, μὴ, ὦ βασιλεῦ, ἀπεκρίνατο, Χριστιανὸς γάρ εἰμι. κἀκεῖνος· οὐκοῦν ἐκποδῶν οἰχήσῃ τῆς στρατείας ἀποπαυσάμενος· θάτερον γὰρ τοῖν δυοῖν ἀνάγκη ποιεῖν. ὁ δὲ μηδὲν μελλήσας τήν τε ζώνην ἑαυτοῦ λύεται καὶ ἄσμενος ἐξεχώρησεν, ὡς εἶχε, τῶν βασιλείων. καὶ αὐτὸν οἱ ἔφοροι μετά τινα χρόνον ὕστερον ἐπίσκοπον ἐστήσαντο τῆς Μοψουεστίας. τούτου δὲ ἀδελφὸς νεώτερος Θεόδωρος ἦν, ἀνὴρ τῶν Ἀθήνησι παιδευθέντων· ὃς καὶ αὐτὸς χρόνῳ ὕστερον ἐπισκοπὴν τῆς Ταρσοῦ ἐκκλησίας ἔτυχε κληρωσάμενος. ὁ γὰρ δὴ Ἀέτιος τὰ πρότερα δι᾽ ἑαυτοῦ τόν τε Εὐδόξιον αὐτὸν καὶ ἄλλους τοὺς πλείστου λόγου ἀξίους διδάσκων, ἐπειδὴ τὸν Εὐνόμιον εἰς τὸ τῆς διδασκαλίας προὐβίβασεν ἔργον, τούτῳ ἤδη κατὰ τὸ πλεῖστον ἀνθ᾽ ἑαυτοῦ διδασκάλῳ ἐχρῆτο πρὸς τοὺς ἄλλους καὶ τοὺς μάλιστα τελεωτέρας μαθήσεως δεομένους. καὶ γὰρ ἐκεῖνος μὲν ἦν ἀρχὰς παρασχεῖν ἄριστος, οὗτος δὲ τὰς δοθείσας ἐργάσασθαι καὶ σαφῶς τε ἅμα καὶ μεγαλοπρεπῶς ἑρμηνεῦσαι παραπολὺ δυνατώτερος.

α 4451 Αὔξη: αὔξησις. μὴ ἐφιέναι αὐτοῖς ἐπὶ μεγάλα δυνάμεως αἰρομένοις, ἀλλὰ παντὶ σθένει τὴν αὔξην αὐτῶν κολούειν.

α 4452 Αὔξη: ἡ βλάστησις. τρέφεσθαι καὶ αὔξεσθαι λέγεται ἐκεῖνα, τὰ κατὰ πᾶν μόριον τρεφόμενα καὶ αὐξόμενα. τὰ δὲ κατὰ πρόσθεσιν αὔξεσθαι δοκοῦντα οὐ κατὰ πᾶν μόριον ἑαυτῶν αὔξονται, διὸ οὐδὲ αὔξησις ἐπ᾽ ἐκείνων λέγεται, ἀλλὰ πρόσθεσις. ἐὰν γὰρ ἐπὶ σωρὸν σίτου προσθήσω ἕτερον σῖτον, οὐ δι᾽ ὅλων τῶν μορίων τοῦ σωροῦ ἡ πρόσθεσις γέγονεν, ἀλλ᾽ ἐφ᾽ ἑνός, καθ᾽ ὃ ἡ πρόσθεσις ἐγένετο. λέγεται δὲ τοῦτο καὶ ἐπὶ λίθων· ὥσπερ ἂν εἰ καὶ τὸ πῦρ αὔξεσθαι λέγοι τις ξύλων πλειόνων προστιθεμένων. οὕτω καὶ τὰ μέταλλα αὔξεται, ὑγρᾶς οὐσίας ἔξωθεν περιπαγείσης, ἐξ ἧς συνεστήκασι, καὶ ταύτης μεταβαλλούσης ἐπὶ τὴν αὐτὴν οὐσίαν ὑπὸ τῆς ἐν τῇ γῇ φυσικῆς δυνάμεως ἐκ τοῦ παντός. ὥστε ἐπὶ τῶν ἐμψύχων καὶ ἐχόντων μόρια λέγεται τὸ αὔξεσθαι.

α 4453 Αὐξίλια· ζήτει ἐν τῷ ψιλός.

α 4454 Αὐξητική· ζήτει ἐν τῷ γεννητική.

α 4455 Αὔξω· αἰτιατικῇ.

α 4456 Αὖον: ξηρόν. Ἡσίοδος· αὖον ἀπὸ χλωροῦ τάμνειν. καὶ ἐν Ἐπιγράμμασι· καὶ τρύφος ἄρτου αὖον ἐπιθραύσας, τὴν πενιχρὴν θυσίαν. καὶ αὖθις· καὶ τὰ μὲν αὖος ὑπὸ τοῦ φόβου ἦν, τὰ δὲ ἀνέφερεν ἡ ἐκ τοῦ θεοῦ πρόσταξις τὸν ἄνδρα. αὔω γὰρ τὸ ξηραίνω, παρὰ τὸ ὕω, τὸ βρέχω, ἀΰω μετὰ τοῦ στερητικοῦα, καὶ κράσει αὔω.

α 4457 Αὔραν: πνοήν. ὁ δὲ Χαγάνος τοὺς ὅρκους ταῖς αὔραις φέρειν ἐδίδου, ἀθρόον τε τὴν πολέμῳ φίλην ἀράμενος σάλπιγγα τὰς δυνάμεις ἤθροιζεν.

α 4458 Αὐρηλιανός, βασιλεὺς Ῥωμαίων, τὰ πολέμια δεινῶς ἠσκημένος, ἀκάθεκτος δὲ περὶ τὴν γνώμην καὶ πολὺ πρὸς ὠμότητα ῥέπων τῶν τε κατὰ πόλιν ἐπισήμων θανάτῳ πολλοὺς ἐζημίωσεν ὑπὸ Ζηνοβίας ἐλεγχθέντας, χαλεπός τις καὶ φονικὸς ὑπάρχων καὶ μᾶλλον ἀναγκαῖος στρατηγὸς ἤπερ αἱρετὸς βασιλεὺς, ἐν παντὶ δὲ καιρῷ δυσχερὴς καὶ ἀπρόσιτος, ὡς μηδὲ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός· τὴν γὰρ τοῦ παιδὸς γαμετὴν καὶ ἀνέγκλητον διεχρήσατο. τοῦ δὲ τῶν στρατιωτῶν τάγματος καὶ τῶν ἐξιτήλων καὶ διαλελυμένων ἠθῶν ὡς ἐπίπαν γενναῖος ἦν ἐπανορθωτής. ζήτει περὶ αὐτοῦ χρησμὸν ἐν τῷ αἴ κε πάθοι.

α 4459 Ἀϋσάντων: βοησάντων, φωνησάντων, κηρυξάντων.

α 4460 Αὐσόνιος, σοφιστὴς, γεγραφὼς ἐπιστολὰς καὶ ἄλλα τινὰ πρὸς Νόννον.

α 4461

Αὐσονίων: Ἰταλῶν. καὶ Αὔσονες, οἱ βασιλεῖς· παρὰ τὸ αὔσω, τὸ τολμῶ. οἱ πάντα ἐπιτολμῶντες τῷ προστάγματι. καὶ Αὐσόνιος πόντος, ἡ Σικελικὴ θάλασσα· ἀπὸ Αὔσονος, τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς υἱοῦ ἐκεῖ βασιλεύσαντος.

α 4462 Αὐστηρός. αὐστηροὺς εἶναί φασι πάντας τοὺς σοφοὺς καὶ σπουδαίους, τῷ μήτε αὐτοὺς κατὰ ἡδονὴν ὁμιλεῖν μήτε παρ’ ἄλλοις τὰ καθ’ ἡδονὴν παραδέχεσθαι. καὶ ἄλλον δὲ εἶναι αὐστηρὸν, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ κατὰ μὲν φαρμακοποσίας χρῶνται, πρὸς δὲ πρόποσιν οὐ πάνυ. ὅτι τὸν αὐστηρὸν ἡ κωμῳδία ἄγροικον ἡγεῖται.

α 4463 Αὐτάγγελος: ἡ ἀφ’ ἑαυτῆς ἀπαγγέλλουσα. αὐτάγγελος γὰρ ἡ δρῦς αὐτή σοι φράσει· ἔχει γὰρ γράμματα. καὶ αὖθις· ἦλθεν ἂν παρὰ βασιλέως αὐτάγγελος τούτων, εἰ μὴ νόσῳ μακρᾷ καὶ χαλεπῇ ἔκαμνε. καὶ αὖθις· ξυλληφθέντα δὲ εἱρχθῆναι κελεύει, ὡς μὴ ἐπανελθόντα εἰς τὸ στρατόπεδον αὐτάγγελον γενέσθαι τῶν ξυμφορώτερον ἂν κρυπτομένων.

α 4464 Αὐτάρκεια. Πολύβιος· ἄξιος μὲν ὁ ἀνὴρ ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου, ᾗ φιλοσοφία τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτὸν, ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασιν. καὶ Αὐταρκῶ· δοτικῇ.

α 4465 Αὐταῖς ἀμάλαις: ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων. οἱονεὶ αὐτοῖς βάθροις, αὐταῖς ῥίζαις· ἀμάλη γὰρ ὁ καρπός.

α 4466 Αὐταῖσι διαβολαῖς: Ἀττικὴ σύνταξις. τοῦτο δὲ εἶπεν, ἐπεὶ διαβάλλων ὁ Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἔπεισεν. ὡς εἰ λέγοιμεν, αὐτοῖς ὅπλοις τὰ ἅρματα, αὐτοῖς ἵπποις. λείπει ἡ πρόθεσις. τῶν ἄλλων δὲ Παφλαγόνων· ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ Κλέωνος. ὅτι σύντροφον Ἀθηναίοις ἄνευ τῆς σύν προθέσεως λέγειν αὐτοῖς ὅπλοις, αὐτοῖς ταλάροις.

α 4467 Αὖτε: μετὰ ταῦτα.

α 4468 Αὐτερέται: οἱ ἐλαύνοντες καὶ μαχόμενοι. οἱ αὐτοὶ καὶ ἐρέται καὶ ὁπλῖται.

α 4469 Αὐτή: ἐκείνη, Αὕτη δὲ δεικτικῶς. καὶ αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος. αὕτη ἐστὶ τὸ κυριακὸν Πάσχα, Μαρτίου κε′. εἰ οὖν τῇ γ′ ἡμέρᾳ ἀνέστη ὁ Χριστὸς, ὡς αὐτὸς ἔλεγε· δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· διὰ τί ὀγδόη λέγεται ἡ ἀνάστασις τοῦ κυρίου; καὶ τρίτη μὲν εἴρηται ὡς ἀπὸ τοῦ πάθους καὶ τοῦ σταυροῦ, ὀγδόη δὲ ὡς ἀπὸ τῆς δημιουργίας καὶ τῆς ἀναστάσεως. ἡ ἀρχὴ γὰρ τοῦ φαινομένου κόσμου ἐν αὐτῇ γέγονε, καὶ τὸ ἀληθινὸν φῶς ὁ Χριστὸς ἐν αὐτῇ ἀνέστη.

α 4470 Αὕτη γε χρηστῶν ἐστιν ἀνδρῶν ἡ νόσος: ἐπὶ τῶν ἐν ψόγου τάξει λεγόντων τι κατά τινος, ὅπερ ἐστὶν ἄξιον ἐπαινεῖσθαι.

α 4471 Αὐτηΐ· Ἀριστοφάνης· ἀμὶς μὲν, ἢν οὐρητιάσῃς, αὑτηῒ παρὰ σοὶ ἠρεμήσεται ἐγγὺς ἐπὶ τοῦ πατTάλου.

α 4472 Αὐτὴ κάμινος, αὐτὸς εἵλκυσε καπνὸς ἢ τροχός: ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια διαπραττομένων.

α 4473 Αὐτήκοοι: οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δὲ ἑαυτῶν ἀκούοντες.

α 4474 Αὐτῆμαρ: αὐτῇ τῇ ἡμέρᾳ.

α 4475 Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασε: παροιμία ἐπὶ τῶν μηδενὸς τυγχανόντων. ἡ μεταφορὰ ἀπὸ τῶν ἁλιέων.

α 4476 Αὐτήν· ζήτει ἐν τῷ ἀνελοῦσα γὰρ τὸν νόμον ἐχειροτόνησεν αὐτήν.

α 4477 Ἀϋτήν: βοὴν, μάχην.

α 4478

Αὐτὴ νῦν ἡ σοφία ζῇ: ἐπί τινος εὐδοκιμοῦντος. καὶ Αὐτὴ νῦν ἀνθεῖ ἡ Μοῦσα· ὅμοιον τῷ προτέρῳ καὶ πολιτικώτερον.

α 4479 Αὐτίκα: μετ' οὐ πολύ. εὐθέως, παραχρῆμα, συντόμως, πρὸς ὀλίγον, ἢ μικρὸν ὕστερον. τὸ δὲ Αὐτίκα μάλα, ἀντὶ τοῦ εὐθύς. καὶ παροιμία· Αὐτίκα καὶ φυτὰ δῆλα, ἃ μέλλει κάρπιμ' ἔσεσθαι, ἐπὶ τῶν εὐθὺς ἀπὸ πρώτης ἀρχῆς πρὸς ἀγαθὸν τέλος ἀποβλεπόντων.

α 4480 Αὖτις καὶ Αὖθις, ἑκατέρως λέγουσιν.

α 4481 Αὐτίτην: τὸν αὐθιγενῆ οἶνον. Ἀμφικτύοσι Τηλεκλείδης.

α 4482 Αὐτό· αὐτὸ ἔλεγον οἱ φιλόσοφοι τὸ κυρίως λεγόμενον. καὶ τὴν ἰδέαν διὰ τοῦ αὐτὸ ἐδήλουν αὐτοάνθρωπος λέγοντες καὶ αὐτοδόξαστον, τὸ κυρίως καὶ μᾶλλον δοξαστὸν καὶ μᾶλλον δόξα· καὶ αὐτοαληθῶς, ᾗ ἐστι μᾶλλον ἀκριβῶς. ὥστε ἐστὶν αὐτοδόξα. ἐν ᾧ γὰρ τὸ αὐτὸ, ἐν τούτῳ μάλιστα καὶ ἀκριβέστερον.

α 4483 Αὐτοαπλότης· ἀλλ' ὅ τε βασιλεὺς τὸν τρόπον ἦν αὐτοαπλότης, καὶ σιωπῶσά τις ἐπιείκεια, καὶ πρὸς τὰς δωρεὰς ὑγρὸς καὶ καταφερὴς, καὶ πρὸς τὰς πράξεις βαρὺς καὶ συντεταμένος.

α 4484 Αὐτοβοᾷς ὅμοιος ὢν τῷδε: Ἀττικῶς πάνυ συμπέπλεκται. σημαίνει δὲ, οἷον αὐτὸς ἑαυτῷ μαρτυρεῖς κεκραγὼς ὅμοιος εἶναι τῷδε.

α 4485 Αὐτοβοεί: ἐν αὐτῇ τῇ μάχῃ. Ἀγαθίας· πῶς γὰρ ἐνῆν αὐτοὺς ὀλίγους ὄντας ἐνεγκεῖν τὰ πλήθη τῶν πολεμίων καὶ μὴ οὐχὶ αὐτοβοεὶ διαφθαρῆναι ὑπὸ δέους; ἐκκλησιασθέντες ἐδογμάτιζον αὐτοβοεὶ παραδώσειν τὴν πόλιν. ἀντὶ τοῦ αὐθημερὸν, οἱονεὶ ἔναυλον. ἢ ἔτι τῶν βοῶν ἐν ζυγῷ ὄντων.

α 4486 Αὐτοβοεί: τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλάγματι. οὕτως Θουκυδίδης. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος.

α 4487 Αὐτογένεθλον: αὐτογέννητον.

α 4488 Αὐτοδαῆ: τὰ ἐκ φύσεως καὶ μὴ ἐκ διδαχῆς. αὐτοδαῆ ὀρχήματα.

α 4489 Αὐτόδαξον τρόπον: τουτέστι τὸν δάκνοντα, τὸν ἐμπεσόντα· ἢ αὐθάδη καὶ ὀργίλον· ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοῖς ὀδοῦσιν. Ἀριστοφάνης· τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτόδαξον τρόπον. καὶ αὖθις· ἵν' ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένως. ἀντὶ τοῦ πάνυ. Αὐτοδὰξ καὶ τὸ παραχρῆμα ἀποδεδώκασιν.

α 4490 Αὐτὸ δείξει: παροιμία. ἐλλείπει τὸ ἔργον.

α 4491 Αὐτοδίκη: ὅταν αὐτὸς δι' ἑαυτοῦ τις δικάζηται καὶ αὐτομαχεῖ. καὶ Αὐτοδοκεῖν Δείναρχος ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν.

α 4492 Αὐτόετες: σὺν αὐτῷ τῷ ἔτει.

α 4493 Αὐτόθεν: ἀντὶ τοῦ ἐντεῦθεν. οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθάδ' αὐτόθεν. Ἀριστοφάνης Ἀχαρνεῦσι. καὶ αὖθις· ἀλλὰ χρῆναι παρ' αὐτόθεν, ὡς ἔχουσιν, ἀντεπεξελθόντας ἐν χερσὶ στήσασθαι τὸ τέλος τοῦ πολέμου. ἢ Αὐτόθεν, ἀντὶ τοῦ οἴκοθεν, ἔνδοθεν. ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται. καὶ Ἰώσηπος· δῶρα δὲ αὐτόθεν πέμπειν τῷ βασιλεῖ. ἀντὶ τοῦ οἴκοθεν. ἢ Αὐτόθεν, ἐκεῖθεν. ἢ ἀπὸ τοῦ παρόντος χρόνου. οἱ δὲ Ῥωμαῖοι αὐτόθεν ἐλπίσαντες ἤδη τὴν παρεμβολὴν αἱρήσειν. ἀντὶ τοῦ ἐκ παραχρῆμα. καὶ Θουκυδίδης· χειμὼν ἦν, καὶ τοῖς Ἀθηναίοις τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω ἐδόκει.

α 4494 Αὐτοκακὸν ἔοικε τῷδε: ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε τῷδε εὔνους.

α 4495 Αὐτοκέλευστος: αὐθόρμητος. Ἀρριανός· κρότος τε ἀθρόως, οὐκ ἐκ παραγγέλματος, ἀλλ' αὐτοκέλευστος ὡρμήθη.

α 4496 Αὐτοκέραστον: οἷον εὐκέραστον, συμμέτρως κεκραμένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4497 Αὐτοκίνητον. αὐτοφυές. τῷ δὲ Ἑρμείᾳ τῷ φιλοσόφῳ τὸ αὐτοκίνητον οὐ προσήνθει τῇ πολυμαθείᾳ.

α 4498 Αὐτοκλείδης· Κηδωνίδης καὶ Αὐτοκλείδης καὶ Θέρσανδρος ὡς παιδερασταὶ σφοδροὶ διεσύροντο.

α 4499 Αὐτοκόμου· Ἀριστοφάνης Βατράχοις περὶ Αἰσχύλου· φρίξας δ’ αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην. ὡς εἶπεν, ὀργισθεὶς ὥσπερ σῦς. πᾶν τὸ ἐπισκύνιον κάτω ἕλκεται.

α 4500 Αὐτοκράτης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί. ἔγραψε καὶ τραγῳδίας πολλάς.

α 4501 Αὐτοκράτωρ: δεσπότης, ἄρχων. Ἑλληνικὴ ἡ φωνή. τάττεται δὲ ἐπὶ παντὸς τοῦ καταπολεμήσαντος καὶ κρατήσαντος τῶν ἐναντίων. καὶ ἦν κοινὸν πρόσρημα ἐπί τε στρατηγῶν καὶ ὑπάτων. ἐπικλητικῶς αὐτοκράτορ.

α 4502 Αὐτοκράτορα: πάντα τὸν ἀνυπεύθυνον.

α 4503 Αὐτοκράτορες: ἀντὶ τοῦ τούτων τῶν δογμάτων κρατοῦντες. Ἀριστοφάνης Ὄρνισι· τούτων πέρι πάντων αὐτοκράτορες ἥκομεν.

α 4504 Αὐτοκτόνα· οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα, ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου. περὶ Αἴαντος καὶ Ἕκτορος.

α 4505 Αὐτολήκυθοι: Δημοσθένης κατὰ Κόνωνος. ἤτοι ἀντὶ τοῦ εὐζώνως τινὰς καὶ ἑτοίμως πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν. ἢ ἀντὶ τοῦ πένητας, μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους. ἢ αὐτουργούς. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύρια, καὶ λύσαντες δὲ πολλάκις τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν.

α 4506 Αὐτολόχευτος: αὐτογέννητος, ὁ θεὸς ὁ ἀγέννητος.

α 4507 Αὐτόλυκος: Ἀρεοπαγίτης οὗτος ἦν καὶ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαρωνικοῖς ἑάλω, καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί. Αὐτόλυκοι, πένητες, οἷον αὐτοδιάκονοι.

α 4508 Αὐτοματίζουσιν: αὐτόματοι παραγίνονται. αὐτοματίζουσι δύο τινές. ἀδελφὼ δὲ ἤστην καὶ γένος καὶ προαίρεσιν, καὶ χώρους τινὰς ἀσύλους ὑποδεικνύουσι διὰ τὸ ἕρμα τοῦ ὀχυρώματος.

α 4509 Αὐτομαχεῖν: τὸ δι’ ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι’ ἑτέρου. καὶ Αὐτομαχῆσαι· ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ εἴη ὁ πεπρακὼς μὲν ἀξιόχρεως ὥστε δοκεῖν ἀποτῖσαι τὴν ζημίαν καὶ συνίστασθαι τὴν δίκην πρὸς τὸν ἀντιποιούμενον, βούλοιτο δὲ ὁ διακατέχων τὴν οἰκίαν ἢ τὸ χωρίον ἴδιον αὐτῷ γενέσθαι ἀγῶνα πρὸς τὸν ἀμφισβητοῦντα, τοῦτο αὐτομαχῆσαι καλεῖται.

α 4510 Αὐτομόλως: προδοτικῶς. καὶ Αὐτομολῆσαί ἐστι τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ὑπεναντίους ἐπὶ συμμαχίᾳ. Αὐτόμολος δὲ ὁ πρόσφυξ.

α 4511 Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας: ἐπὶ τῶν ἀληθευόντων· οἷον ἐπ’ αὐτὴν ἐλήλυθας τὴν ἀλήθειαν.

α 4512 Αὐτονομουμένη πόλις: ἡ τοῖς αὐτῆς νόμοις χρωμένη καὶ οὐχ ὑπακούουσα ἑτέροις.

α 4513 Αὐτὸν οὐ τρέφων κύνας τρέφεις: ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν ἐπαγγελλομένων.

α 4514 Αὐτονυχί: αὐτῇ τῇ νυκτί.

α 4515 Αὐτοπαθῶς· Πολύβιος· ὁ δὲ ἀνακρινόμενος ὑπὲρ ἑκάστου ἀπεδίδου λόγον· οὐ μὴν ἀλλ’ αὐτοπαθῶς καὶ γενναίως ὑπέμενε τοὺς ἐλέγχους. καὶ αὖθις· ὁ δὲ Ἀννίβας δόξας αὐτοπαθῶς ἅμα καὶ ἀληθῶς εἰρηκέναι πιστεύεται. Αὐτοπαθῶς οὖν, οἴκοθεν, ἐξ ἰδίας προαιρέσεως. ὁ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὖν Ἀντίοχος δόξας αὐτοπαθῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι παρὰ τοῦ Ἀννίβου κατὰ Ῥωμαίων, πάσης τῆς προϋπαρχούσης ὑποψίας ἀπέστη.

α 4516 Αὐτόπρεμνον: δύσκολον, πρόρριζον, αὐτόρριζον, ἢ μέγα. Ἀριστοφάνης περὶ Αἰσχύλου· αὐτοπρέμνοις τοῖς λόγοισιν ἐμπεσόντα, συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν.

α 4517 Αὐτός: ἀντὶ τοῦ ἐγώ. καὶ ἦλθον ἡμέραις αὐτὸς μὲν μ′. ἀντὶ τοῦ ἐγὼ Ἀττικῶς.

α 4518 Αὐτός: ἐπὶ σώματος. διορίζουσι γὰρ τὰς ψυχὰς πρὸς τὰ σώματα. Ὅμηρος· πολλὰς δ’ ἰφθίμους ψυχάς· εἶτα, αὐτοὺς δ’ ἑλώρια. καὶ Ἀριστοφάνης· ὁ νοῦς μὲν ἔξω, αὐτὸς δ’ ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν.

α 4519 Αὐτός: ἀντὶ τοῦ ὁ δεσπότης. Ἀριστοφάνης Βατράχοις· φράσον ταῖς ὀρχηστρίσιν, ὅτι αὐτὸς εἰσέρχομαι.

α 4520 Αὐτὸς αὑτὸν αὐλεῖ: ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων ἐν τοῖς πράγμασιν, ὁποῖοί τινές εἰσιν.

α 4521 Αὐτὸς γὰρ εὗρε τοῦ κακοῦ τὴν πητύαν: ἤτοι τὴν πηγήν· ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

α 4522 Αὐτόσε: ἐκεῖσε. λέγεται δὲ καὶ Αὐτοῦσε. διάβασις δὲ οὐκ ἔστιν αὐτοῦσε, ὅτι μὴ τῷ ζεύγματι.

α 4523 Αὐτὸς ἔφα: τοῦτο παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσῆλθεν εἰς τὸν βίον. οὗτος γὰρ ἀποσεμνύνων τὸν ἑαυτοῦ λόγον καὶ βίον ἐν ταῖς ὁμιλίαις ἔλεγεν, αὐτὸς ἔφα· ἀντὶ τοῦ εἶπεν. οὐκ ἐμὸς ὁ λόγος, φησὶν, ἀλλὰ τοῦ θεοῦ.

α 4524 Αὐτόσιτος: ὁ οἰκόσιτος.

α 4525 Αὐτός τι νῦν δρῶν, εἶτα τοὺς θεοὺς κάλει: ὁμοία τῇ, σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει. παροιμία ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν. τίθεται δὲ ἐπὶ γυναικῶν, καὶ μάλιστα ὀφειλουσῶν ἐργάζεσθαι.

α 4526 Αὐτόστοιχος: αὐτὸς ἑαυτῷ προσέχων. ὁ βουλόμενος ἐν τῷδε τῷ βίῳ ἀβέβηλον βίον πολιτεύεσθαι, αὐτόστοιχος ἐθέλει εἶναι.

α 4527 Αὐτοσφαγῆ: τὸν ὑφ’ ἑαυτοῦ ἀναιρούμενον. Αἴας φησί· καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους ξυναρπάσειαν, ὥσπερ εἰσορῶς’ ἐμὲ αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς πρὸς τῶν φιλτάτων ἐκγόνων ὀλοίατο. Σοφοκλῆς φησιν.

α 4528 Αὐτοσχέδιον: ἐκ τοῦ σύνεγγυς τόπου. ἢ τὸ ἐκ συντόμου. καὶ Αὐτοσχεδίως, αὐτομάτως, συντόμως. καὶ Αὐτοσχεδιάζωσιν, αὐτονόμως πράττωσιν. Αἰλιανός· Ῥωμαῖοι δὲ εὐπραγίαν παράνομον οὔτε νίκην τελεσθεῖσαν, ἧς ὁ ἄρχων μὴ ἐκοινώνησεν, ἠσπάζοντο, ἵνα μὴ αὐτοσχεδιάζωσιν ἐν ταῖς πράξεσιν οἱ ὑπήκοοι. καὶ αὖθις· ὑπὲρ μεγάλων ἥκειν καὶ ἀδυνάτων αὐτοσχεδιασθῆναι.

α 4529 Αὐτότατος· Ἀριστοφάνης Πλούτῳ· ἐκεῖνος αὐτός; αὐτότατος. ἀντωνυμία, πέπαικται δὲ κωμικῶς· τὰ γὰρ ἀόριστα τῶν πραγμάτων ἀνεπίτατα. εἰ οὖν ἡ ἀντωνυμία ἐπὶ οὐσίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται, ὡς τὰ ἄλλα μέρη.

α 4530 Αὐτοτελής: ἱκανός. τέλειος. Πολύβιος· ταῦτα εἰρήσθω χάριν τῆς Ῥωμαίων εὐβουλίας καὶ τῆς ἀνοίας τῶν ὀλιγωρούντων τῆς τῶν ἐκτὸς συγκαταθέσεως, αὐτοτελεῖς δὲ νομιζόντων εἶναι πρὸς τὸ κατορθοῦν τὰς σφετέρας δυνάμεις. καὶ Αὐτοτελὴς δίκη, ἀφ’ ἧς οὐκ ἔστιν ἐκκαλέσασθαι ἐφ’ ἑτέραν. καὶ αὐτὸ τὸ κύριον ἁπλῶς.

α 4531 Αὐτοῦ: ἐπὶ τόπου. Ὅμηρος· στῆτ’ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων. καὶ αὖθις· αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

α 4532 Αὐτούργητον: αὐτοφυές. ἐν Ἐπιγράμμασι· καὶ αὐτούργητον ἐρείκης βάθρον.

α 4533 Αὐτοφόνῳ: ἑαυτὸν ἀνελόντι. τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης οὐχ εὑρὼν παλάμῃ θῆκεν ἐπ’ αὐτοφόνῳ. περὶ Αἴαντος ὁ λόγος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4534 Αὐτοφυέστατον· μὴ ἐπίπλαστον. ἔχουσαν κάλλος αὐτοφυέστατον καὶ οἷον γένοιτο φιλοθήρου κόρης.

α 4535 Αὐτόχειρες: οἱ ἑαυτοὺς φονεύοντες. Αὐτοχειρίᾳ.

α 4536 Αὐτόχθονες: οἱ Ἀθηναῖοι· ἢ ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο· ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. αὐτόχθονες δὲ καὶ Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι ἐκαλοῦντο. καὶ Αὐτόχθων, τῆς αὐτῆς πόλεως.

α 4537 Αὐτόχρημα ὅμοιον: παντελῶς ὅμοιον. Αἰλιανός· αὐτόχρημα πηδῶν ὑπὲρ τὰ ἐσκαμμένα, τὴν ναῦν Ἀσδρούβα φεύγειν ἐπειγομένην τὰς χεῖρας ἐπιβαλὼν εἴχετο ἐρρωμένως τῆς πρύμνης ὁ Κλάτιος ὄνομα. καὶ Ἀριστοφάνης· τὸν Παφλαγόνα λαθεῖν οὐχ οἷόν τε. ἐφορᾷ γὰρ αὐτὸς πάντ᾽· ἔχει γὰρ τὸ σκέλος τὸ μὲν ἐν Πύλῳ, τὸ δὲ ἕτερον ἐν τῇ ἐκκλησίᾳ. τοσὸν αὐτοῦ τὸ βῆμα διαβεβηκότος, ὁ πρωκτός ἐστιν αὐτόχρημ᾽ ἐν Χαόσιν. ἀντὶ τοῦ πάνυ ἀληθῶς, ἀψευδῶς. Χαόνες δὲ ἔθνος Ἠπειρωτικόν.

α 4538 Αὔτως: ὡς ἔτυχεν. ἢ ματαίως.

α 4539 Αὐτῷ στεφάνῳ: σὺν αὐτῷ τῷ στεφάνῳ. ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ πᾶς τις ἄπεισι τὴν δᾷδα λαβών.

α 4540 Αὐτοῖς ταλάροις ἐσθίεις τὸν τυρόν: σύντροφον Ἀθηναίοις ἄνευ τῆς σὺν προθέσεως λέγειν, αὐτοῖς ὅπλοις, αὐτοῖς ταλάροις.

α 4541 Αὐχεῖ: καυχᾶται. καὶ Αὔχει, καυχῶ.

α 4542 Αὔχημα: σεμνολόγημα. ὕψωμα. καὶ ὅτι οὔτε αὐχήματος, ἐφ᾽ οὗ νῦν εἰσιν, ἑκόντες ὑποβήσονται, καὶ ποιήσουσιν ἐξουσίαν σοι πράττειν, ὅ τι ἂν αὐτοῖς ὑπολαμβάνῃς συνοίσειν. καὶ αὖθις· ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου εἰς οἵαν τελευτὴν καὶ ταπεινοφροσύνην ἀφῖκτο.

α 4543 Αὐχμηρὰ τράπεζα: ἡ ξηρὰ καὶ πενιχρά. καὶ Αὐχμηρόν, στυγνὸν, ἢ σκοτεινόν.

α 4544 Αὐχμεῖς αἰσχρῶς: ῥυπαρὸς εἶναι δοκεῖς. ὡς τοῦ δικαίου παρεωραμένου. ὁ δὲ ἀντεῖπε· σὺ δέ γ᾽ εὖ πράττεις. καὶ Αὐχμοί, ἀνομβρίαι. καὶ Ἀριστοφάνης· αὐχμὸς γὰρ ὢν ἤδη τῶν σκευαρίων ἀπώλεσεν. ἀντὶ τοῦ ἀπώλεσε μὲν ὁ ὢν αὐχμὸς τῶν σκευαρίων. μετωνυμικῶς. καὶ Αὐχμώδους, ξηροῦ, ῥυπῶντος. καὶ Αὐχμῶντες, στυγνοί.

α 4545 Αὖχος: τὸ ὄσπριον. ἀρσενικῶς.

α 4546 Αὐχοῦντες: καυχώμενοι.

α 4547 Ἀφαγνίσαι: ἀποδοῦναι, καθιερῶσαι. λέγεται δὲ καὶ τὸ συλῆσαι.

α 4548 Ἄφακα· ζήτει ἐν τῷ Χριστόδωρος.

α 4549 Ἄφαλόν τε καὶ ἄλοφον: ἵνα λανθάνοι. φαλοὶ γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια, λόφοι δὲ αἱ τριχώσεις.

α 4550 Ἀφαμαρτούσῃ: ἀποτυχούσῃ, στερηθείσῃ.

α 4551 Ἀφανές: τὸ σκοτεινόν. καὶ Ἀφανέστερα. τότε δὴ καὶ μεσημβρίας ἐπεχούσης πάντα ἦν νυκτὸς ἀφανέστερα.

α 4552 Ἀφανὴς οὐσία λέγεται ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι, φανερὰ δὲ ἡ εὔγειος. οὕτως Λυσίας.

α 4553 Ἀφανίσαι οὐ τὸ μολῦναι καὶ χρᾶναι δηλοῖ, ἀλλὰ ὅλως τὸ ἀνελεῖν καὶ ἀφανὲς ποιῆσαι.

α 4554 Ἄφαντον φῶς: τὸ ἐκ πυρίτου λίθου. Σοφοκλῆς Φιλοκτήτῃ· ἀλλ᾽ ἐν πέτροισι πέτρον ἐκτρίβων μόλις ἔφην᾽ ἄφαντον φῶς, ὃ καὶ σῴζει μ᾽ ἀεί. οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα πάντ᾽ ἐκπορίζει, πλὴν τοῦ μὴ νοσεῖν ἐμέ.

α 4555 Ἀφάπτειν· Ἀππιανός· ἵστη δὲ προμάχους ξύλα παχέα ἔχοντας διπήχεα σεσιδηρωμένα, ἃ ἔμελλον ὡς καταπέλτας ἐκ χειρὸς ἐς τοὺς ἐλέφαντας ἀφάπτειν, τουτέστι προσκολλᾶν.

α 4556 Ἀφαρεύς, Ἀθηναῖος, ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου καὶ Πλαθάνης, πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ϟε′ Ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

α 4557 Ἄφαρον: τὴν λιπαρὰν γῆν, τὴν πολλὰ μήπω ἀροτριωθεῖσαν. Ἀφαρόωσι δὲ ἀντὶ τοῦ ἀροτριῶσιν.

α 4558 Ἀφαρπάζω· αἰτιατικῇ.

α 4559 Ἀφάρτεροι: ταχύτεροι. ἀπὸ τοῦ ἄφαρ ἄφαρτος. ἵπποι δέ τοι ἔασιν ἀφάρτεροι· οἳ τὸ πάρος περ. Ὅμηρος.

α 4560 Ἀφασία: ἀφωνία.

α 4561 Ἁφή: μία τῶν ε′ αἰσθήσεων. ἀπὸ τοῦ ἀφῶ ῥήματος δευτέρας συζυγίας· ἐξ οὗ παραγωγὸν γέγονε τὸ ἀφάσσω. ἡ δὲ ἁφὴ δύναται καὶ ἀπὸ τοῦ ἁφῶ περισπωμένου γεγονέναι, καὶ ἀπὸ τοῦ ἅφω βαρυτόνου.

α 4562 Ἀφὰς λύχνων· Ἡρόδοτος λέγει.

α 4563 Ἀφάσσων: ψηλαφῶν. Ἡρόδοτος.

α 4564 Ἄφατοι: μεγάλαι ἢ καταπληκτικαί. ἐν Ἐπιγράμμασι· τρεῖς ἄφατοι κεράεσσιν ὑπ’ αἰθούσαις τοί, Ἄπολλον, ἄγκεινται κεφαλαὶ Μαιναδίων ἐλάφων.

α 4565 Ἀφαυανθήσομαι: ξηρανθήσομαι. καὶ Ἀφαύει. Ἀριστοφάνης· τοὺς ἀλλοτρίους ἀμῶν στάχυς, τούτους ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται. τουτέστιν ὁ Κλέων τοὺς ἀλλοτρίους καμάτους αὐτὸς γεωργῶν καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν πόλιν, ὅτι τοῦ Δημοσθένους προπεπονηκότος αὐτὸς τὴν νίκην ἐπιγράφεται περὶ τῶν ἐν Σφακτηρίᾳ. νῦν δὲ στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν, ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται. ἐπὶ τῶν αἰχμαλώτων. ἀπὸ τοῦ ἀμητοῦ στάχυς εἶπεν, οὓς ζῶντας ἄξειν κατεπαγγειλάμενος ὁ Κλέων ἐμπροθέσμως ἤγαγε. φησὶν οὖν· ἐκείνους, οὓς δήσας ἤγαγεν, ἀπολῦσαι διανοεῖται. καὶ Ἀφαύειν, καίειν. ἀποξυρεῖν ταδί, τὰ κάτω δ’ ἀφαύειν.

α 4566 Ἀφαυροτέροις: ἀσθενεστέροις. οὐ γὰρ ἀφαυρὸς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης. καὶ Ἀφαυροῦ, ἀσθενοῦς.

α 4567 Ἀφάψαι: προσκολλῆσαι.

α 4568 Ἀφ’ αἵματος: τουτέστι συγγενῶν. ὁ δὲ συχνοὺς ἐφόνευσεν· ἐφείδετο δὲ οὐδὲ τῶν ἀφ’ αἵματος.

α 4569 Ἀφαίρεμα: ἀνάθημα, δῶρον, ἢ ξένιον. καὶ Ἀφαίρεσις Ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει.

α 4570 Ἀφαιρεῖν κροκύδας: ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ Ἀριστοφάνης· εἴ τις κολακεύει παρὼν καὶ τὰς κροκύδας ἀφαιρῶν. καὶ Ἀφαιρεῖ ὠτὸς ἢ ῥινός· Ἀττικῶς ἡ σύνταξις.

α 4571 Ἀφαιροῦμαι· γενικῇ· ἔστι δὲ καὶ αἰτιατικῇ. καὶ τὸ φρονεῖν ὑπὸ ἐξουσίας ἀφῃρημένος.

α 4572 Ἁφαῖς: πληγαῖς· ἢ χερσίν.

α 4573 Ἀφεδρείας· ὁ γοῦν Ἡραΐσκος, εἰ αἴσθοιτο φθεγγομένης γυναικὸς ἀκαθάρτου, ἤλγει παραχρῆμα τὴν κεφαλὴν καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας.

α 4574 Ἀφ’ ἑδρῶν: ἀπὸ τῶν ἑδρῶν. ἕδραι γὰρ λέγονται αἱ σέλλαι, σελλάρια, σωτήρια. ἔστι δὲ καὶ εὐθεῖα ὁ ἀφεδρών, καὶ σημαίνει τὸ μέρος τοῦ σώματος τὸ περὶ τὴν ἔξοδον. ὅτι ὁ ἀφεδρὼν καὶ λυτρώνων βάρβαρα.

α 4575 Ἀφεκτέον· γενικῇ.

α 4576

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀφελές· ὁ δὲ ἐπιφθέγγεται βαρβαρικὸν μέν τι καὶ ἀφελὲς, ἐνεργὸν δὲ ὅμως χρήσιμον, ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι. καὶ Ἀφελής, ἐπὶ τοῦ ὑγιὴς καὶ ὁλόκληρος, ἢ μέγας καὶ ἀνεπικώλυτος. καὶ ἀφελὲς ὁμοίως. μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν. ἐπὶ τῆς ἀπονήρου καὶ δοσιπύγου. καὶ τὰ ἐπιστόλια ἀφελῶς γράφειν. καὶ Ἀφελῶν πεδίων. Ἀριστοφάνης περὶ Κράτητος· ὃς πολλῷ ῥεύσας ἐπαίνῳ διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσεως παρασύρων ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους· ᾆσαι δ᾽ οὐκ ἦν ἐν συμποσίοις πλὴν, δόρυ συκοπέδιλε, καὶ, τέκτονες εὐπαλάμων ὕμνων· οὕτως ἤνθησεν ἐκεῖνος. νῦν δ᾽ ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ᾽ οὐκ ἐλεεῖτε, ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τούτου οὐκ ἔτ᾽ ὄντος τῶν θ᾽ ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέρρει, ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων, δίψῃ δ᾽ ἀπολωλώς, ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ. τουτέστιν εὐδοκιμήσας πολλάκις. ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπήνεσεν ἐν Πυτίνῃ λέγων· ἄναξ Ἄπολλον, τῶν ἐπῶν τοῦ ῥεύματος καναχοῦσι πηγαὶ, δωδεκάκρουνον στόμα, Ἰλισσὸς ἐν τῇ φαρυγγίᾳ· τί ἂν εἴποιμι; εἰ μήγε ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, κατακλύσει τοῖς στόμασιν.

α 4577 Ἀφέλης: αὐθυπότακτον. καὶ Ἀφέλωνται. αἰτιατικῇ.

α 4578 Ἀφελχθείη: κωλυθείη. ξυμβουλεύειν ἐδόκει, εἴ ποι ἀφελχθείη τῆς ὁρμῆς ταύτης.

α 4579 Ἄφεμα· ὧν καὶ τὸ ἄφεμα μετὰ ῥώμης ἦν.

α 4580 Ἀφέμενον· γενικῇ. ἀναχωρήσαντα. ἀποστάντα, ἀντιλέγοντα.

α 4581 Ἄφενος: πλούσιος. τὸ Ἄφενος οὐδετέρως.

α 4582 Ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν: ἐπὶ τῶν τὰ ἀναγκαῖα μὲν παραλιμπανόντων, τὰ περιττὰ δὲ προτιμωμένων. παρὰ Ὑπερίδῃ.

α 4583 Ἀφέξει: ἀποκωλύσει, ἀποστήσει. καὶ Ἀφέξομαι, παύσομαι, ἀποστήσομαι.

α 4584 Ἀφέωκα: Δώριον. Ἀφεῖκα δὲ τὸ Ἀττικόν. κέχρηνται δὲ καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

α 4585 Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. αὐθυπότακτον.

α 4586 Ἀφερπύσαι: βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἥσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. Ἀριστοφάνης Πλούτῳ· ἐφ᾽ ἣν ἐπεθύμουν δαιμονίως ἀφερπύσαι.

α 4587 Ἀφέλεια. καὶ Δαμάσκιός φησιν, ὡς Ἰσίδωρος πρὸς τῇ ἀφελείᾳ καὶ ἀψεύδειαν ἠγάπα διαφερόντως καὶ ἀπεδέχετο ὥστε καὶ εὐθύγλωττος εἶναι πέρα τοῦ δέοντος, καὶ οὐδ᾽ ὁτιοῦν ἔχειν ἐν ἑαυτῷ προσποιούμενον.

α 4588 Ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τοῦτον: τουτέστιν ἀπὸ κανόνων. βαλβὶς γὰρ ἡ ἄφεσις τῶν δρόμων.

α 4589 Ἀφέσθαι: ἀποσχέσθαι.

α 4590 Ἀφ᾽ Ἑστίας: ἀπὸ τῆς οἰκίας. καὶ Ἀφ᾽ Ἑστίας μυεῖσθαι. ἀφ᾽ Ἑστίας μυούμενος Ἀθηναῖος ἦν.

α 4591 Ἀφέται: τόπος Ἀθήνησιν, ἔνθα ὁ στόλος Ξέρξου τὸ πρῶτον ἐδυστύχησε διὰ λιμένων ἀνεπιτηδειότητα. ὅθεν τὸν Βορέαν Ἀθηναίων σύμμαχον εἶναι νομίζουσι. χρήσας δ᾽ ἦν ὁ θεὸς καὶ ἀνέμῳ συγγενεῖ θύειν, εἶναι δὲ συγγενὴς λέγεται διὰ τὴν Ὠρείθυιαν.

α 4592 Ἀφετηρία: ἀρχὴ, θύρα τοῦ ἱπποδρομίου. Ἀφετήρια δὲ ὄργανα, τὰ πολιορκητικά. τὰ δὲ ἀφετήρια ὄργανα διΐστησιν ἐπὶ τοῦ τείχους.

α 4593 Ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας.

α 4594 Ἀφευθεὶς τὸν πρωκτόν: Ἀριστοφάνης ἀντὶ τοῦ φλογισθείς.

α 4595 Ἀφειδήσας· γενικῇ. ἀμελήσας. καὶ τὸν τρόπον ἀφειδεστάτω ἤστην καὶ φονικωτάτω. καὶ Ἀφειδία, καρτερία. καὶ Ἀφειδῶς, ἀπρομηθεύτως, ἀβούλως. Ἀγαθίας· ὁ δὲ νεώτατος ὢν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὔπω ἐντελῶς τᾶς τῆς φύσεως ὁρμὰς ἐπέχειν καὶ ἐγκαθείργειν δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκότος τῷ φιλοδοξοῦντι τοῦ τρόπου πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς πολεμίοις.

α 4596 Ἀφεῖκα: τὸ Ἀττικόν. τὸ δὲ ἀφέωκα Δώριον. κέχρηνται δὲ καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

α 4597 Ἀφείλετο· αἰτιατικῇ. ἥρπασεν, ἀνέσπασε. λέγεται καὶ ἀφείλατο. διὰ διφθόγγου.

α 4598 Ἀφεῖνται: προΐενται, ἠμέληνται. ποῖ φέρομαι; πάντη δὲ φρενῶν οἱ ἀφεῖνται.

α 4599 Ἀφεὶς καὶ Ἀπαλλάξας: τὸ μὲν ἀφείς ἐστιν, ὅταν ἀπολύσῃ τις τῶν ἐγκλημάτων, ὧν ἐνεκάλει αὐτῷ. τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν. οὕτως Δημοσθένης καὶ Ἰσαῖος. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὡς ἀφίησί τις μόνων ἐκείνων, ὧν ἐγκαλεῖ· ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον τινὰ ὑπολίπηται αὐτῷ λόγον πρὸς τὸν ἐγκαλούμενον. ἔστι δὲ καὶ τοῦτο παρὰ τῷ Δημοσθένει. καὶ παροιμία· ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει. ἡ παροιμία παρὰ Ὑπερίδῃ. ἐπὶ τῶν παρέντων μὲν τὰ σπουδαιότερα, περὶ δὲ τὰ φαῦλα διατριβόντων. ὑπέραι δ᾽ εἰσὶ ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας. καὶ Ἀφεῖσθαι παίζειν λέγεται ἐπὶ τῶν ἐν ταῖς ἑορταῖς ἀργούντων καὶ πρὸς παιδιὰν ἀφειμένων· μάλιστα δὲ ἐπὶ παίδων ἀφειμένων παίζειν. ζήτει ἐν τῷ ἀντιτυπῆσαι.

α 4600 Ἁφή: χροιὰ λέπρας. λέγεται δὲ καὶ ἡ ψηλάφησις. καὶ αὐτὴ ἡ αἴσθησις. ζήτει ἐν τῷ αἰσθήσεις ε′.

α 4601 Ἀφηβηκότι: γηράσαντι, ὑπερβεβηκότι τὴν ἥβην, τουτέστι τὴν νεότητα.

α 4602 Ἀφηγοῦμαι· γενικῇ.

α 4603 Ἀφηλικέστερος· ὁ δὲ Καῖσαρ τοὺς μὲν ἀφηλικεστέρους ἀφῆκε τῶν στρατιωτῶν, τοῖς δὲ τὴν στρατεύσιμον ἡλικίαν ἔχουσι θέατρα τέθεικεν. Ἀρριανός· παιδὸς γὰρ ἐκείνου ἀφήλικος ἐπιτροπεύσειν τε αὐτοῖς μέλλον καὶ ὑπὸ τῶν ἐκείνου προσχήματι πᾶν ὅτι περ καθ᾽ ἡδονήν σφισι πράξειν ἐς τοὺς ὑπηκόους. καὶ αὖθις· τὸν μὲν νεανίαν, τὸν δὲ ἀφηλικέστερον. καὶ Ἀφήλικα, τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας παιδός· ὅπερ δεῖ φυλάττεσθαι. ἐπὶ γὰρ τοῦ πρεσβυτέρου λέγεται.

α 4604 Ἄφημος: ἀπευθής.

α 4605 Ἀφηνιάζω· γενικῇ.

α 4606 Ἀφῃρημένος· αἰτιατικῇ.

α 4607 Ἀφηνιαστής: ἀνυπότακτος, ὑπερήφανος. οἱ δὲ ἀφηνίασαν μὲν αὐτὸν τῆς φιλίας, ἐβουλήθησαν δὲ διαμαρτύρασθαι τοῦτο τρόπον τινά. τὴν γοῦν εἰκόνα Φιλίππου, ὡς ἀνάθημα κειμένην, κατέσπασαν.

α 4608 Ἀφήτορος: οὐ κοινότερον, ἀλλὰ τοῦ Πυθίου, οἷον ὁμοφήτορος, διὰ τὸ οἷον εἰς λόγους ἔρχεσθαι τοῖς χρησμῳδουμένοις.

α 4609 Ἀφιᾶσι: καταλιμπάνουσιν.

α 4610 Ἀφῖγμαι: παραγέγονα. ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον· οὐδὲ ἐψεύσατο. καὶ αὖθις Αἰλιανός· ὁ δὲ ὄναρ εἶδε τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι καὶ ἠντιβόλει ῥυόμενος τὴν πήρωσιν τῆς ὄψεως, λέγων, ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον. ἀνῃρέθη γοῦν μετὰ τοσαύτας ἡμέρας.

α 4611 Ἀφιδρύματα: τὰ τῶν θεῶν ἀγάλματα. εὐθὺς οὖν ἱκετηρίαν ἐκόμιζον οἱ πρεσβύτατοι τὰ παλαιότατα τῶν κατὰ πόλιν ἀφιδρυμάτων.

α 4612 Ἀφίεμαι· γενικῇ ἐπὶ τῶν παθητικῶν, ἐπὶ δὲ τῶν ἐνεργητικῶν δοτικῇ. ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις.

α 4613 Ἀφ᾽ ἱερᾶς· παροιμία· κινήσω τὸν ἀφ᾽ ἱερᾶς. λέγεται δέ τις παρὰ τοῖς πεσσεύουσιν ἱερὰ γραμμή. οὕτως Ἐπίχαρμος. ζήτει ἐν τῷ κινήσω τὸν ἀφ᾽ ἱερᾶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4614 Ἀφίει: ἀπέπεμπεν.

α 4615 Ἀφιζάνει: ἀπανίσταται τῆς καθέδρας.

α 4616 Ἀφίημι· δοτικῇ. καὶ μετὰ αἰτιατικῆς. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας.

α 4617 Ἀφικνοῦμαι, ἐφικνοῦμαι δὲ καὶ ἐφικόμην· γενικῇ.

α 4618 Ἀφίκετο: ἐλήλυθεν, ἦλθεν. ὁ δὲ στρατὸς ἀφίκετο τῆς Ἀττικῆς ἐς Οἰνόην, ᾗπερ ἔμελλον εἰσβαλεῖν. οὕτω φησὶ Θουκυδίδης τὴν σύνταξιν. καὶ Ἀφῖκται, παραγέγονεν. καὶ Ἀφῖκτο.

α 4619 Ἀφιλότιμος: ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τιμὴν, ἢ ἡττᾶσθαι δόξης. ἢ ὁ πρὸς μηδὲν ἀξιόλογον ἐπεστραμμένος. καὶ ὁ φειδωλὸς παρ’ ἐνίοις. οὐδεὶς ἦν ἀφιλότιμος οὕτως, ὡς Μωϋσῆν θεασάμενος μὴ ἐκπλαγείη τῆς εὐμορφίας.

α 4620 Ἀφιματῶσαι: ἀποδῦσαι.

α 4621 Ἄφιππα χωρία: ἐν οἷς ἂν μὴ ἔστιν ἱππάσασθαι. ὁ δὲ ἐκκλίνει πρὸς τὰ δύσχωρά τε καὶ ἀνάντη καὶ ἄφιππα. καὶ Ἄφιπποι, χωρὶς ἵππων. περιδεεῖς δὲ ἦσαν ὡς ἐν ἐρημίᾳ τά τε ἄλλα καὶ ἄφιπποι γενόμενοι. ἀντὶ τοῦ πεζοί.

α 4622 Ἀφίπταμαι· γενικῇ.

α 4623 Ἀφίστασθαι αὐτοῖς τῆς ἀρχῆς· γενικῇ. σύνταξις. ἀποχωρίζεσθαι, ἀλλοτριοῦσθαι. βουλομένοις ἦν τῶν Μακεδόνων ἀφίστασθαι.

α 4624 Ἀφίστων: ἀπέτρεπον, ἀπεκώλυον. τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίστων οἱ Ῥωμαῖοι.

α 4625 Ἀφῖχθαι.

α 4626 Ἀφθαρτοδοκητής: ἀπὸ αἱρέσεώς τινος.

α 4627 Ἀφθάς: ὁ Διόνυσος. τὸ α ἐπιτατικόν· ὡς ἄσταχυς. καὶ παροιμία· ὁ Ἀφθάς σοι λελάληκεν. ἦν δὲ χρησμολόγος.

α 4628 Ἄφθιτον: ἄφθαρτον. ὅτι τὸ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσι, τὸ δὲ ἀθάνατος ἐπὶ ἐμψύχων.

α 4629 Ἄφθονα: πολλά.

α 4630 Ἀφθόνιος, σοφιστής, ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην προγυμνάσματα.

α 4631 Ἄφλαστον: τὸ ἄκρον τῆς πρύμνης.

α 4632 Ἀφλυσμός: ἀφρός.

α 4633 Ἀφνειός: ὁ πλούσιος. καὶ ὁ ἐξ ἑνὸς ἐνιαυτοῦ λέγεται ἄφενος, πλοῦτος δὲ ὁ ἐκ πολλῶν χρόνων. Ὅμηρος· ἄφενος καὶ πλοῦτον ἀφύξειν. καὶ ἀλλαχοῦ φησιν ὁ αὐτός· οἷσί τ’ ἐὺ ζώουσι καὶ ἀφνειοὶ καλέονται. ὡς μόνων αὐτῶν καλουμένων ἀφνειῶν, οὐκ ὄντων δὲ κατὰ ἀλήθειαν.

α 4634 Ἀφοβόσπλαγχνος: ὁ τολμηρός. καὶ Ἀφόβοις, τοῖς μὴ φόβον ἐμποιοῦσι, τουτέστι τοῖς προβάτοις. τὸν ἐν δαΐοις ἄτρεστον μάχαις ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;

α 4635 Ἀφοδεῦσαι· Πλάτων Ἀδώνισι. καὶ Ἄφοδος, ὁ ἀπόπατος. ἐξ οὗ καὶ ἀφοδεύειν. καὶ Ἄφοδον, ἀναχώρησιν, ὥσπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν.

α 4636 Ἀφοπλίζειν: τῶν ὅπλων ἀφαιρεῖσθαι. αὐτὸν δὲ τρόπον τινὰ ἀφοπλίζειν τῶν ἀναγκαίων ἀνδρῶν ὑπέβαλλον. καὶ Ἀφωπλίζοντο, ἀπετίθεντο τὰ ὅπλα.

α 4637 Ἀφόρητον: ἀβάστακτον.

α 4638 Ἀφορμή: ἀφ’ ἧς ὁρμώμενός τις σῴζεται. ἰδίως παρὰ τοῖς Ἀττικοῖς, ὅταν τις ἀργύριον δώσει ἐνθήκην, ἀφορμὴ καλεῖται.

α 4639 Ἀφοσιούμεθα: τὸ ὅσιον προσποιούμεθα δῆθεν. καὶ Ἀφοσιούμενος, πληροφορῶν, ποιήσας τὴν ὁσίαν. ὁ δὲ ἀφοσιεύμενος τὴν ἐξόρκωσιν τοῦ ἐπάρχου ἐμηχανᾶτο τοιάδε. καὶ Ἀφοσιούμενοι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντὶ τοῦ τιμῶντες. ἢ τὸ ὅσιον ποιοῦντες καὶ καθαρὸν καὶ τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμέν· τουτέστιν οὐδὲν ὀφείλομεν αὐτοῖς λοιπόν, οὐκ ἐσμὲν ὑπεύθυνοι. οὕτως ἡμῖν ἔθος λέγειν, καὶ τὸ ἀφοσιώσασθαι καὶ ὅσα τοιαῦτα, τουτέστιν οὐκ εἰμὶ ὑπεύθυνος. καὶ Ἀφοσιῶ, ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω, Αἰσχίνης. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι, Ἰσαῖος λέγει. καὶ Ἀφοσιώσας, καθάρας, ἢ ξενώσας· ἢ τὴν ὁσίαν ποιῶν, τουτέστι κηδείαν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. καὶ Ἀφοσιῶσαι, καθαίρειν. καὶ Ἀφοσιώσεται, ἀπάρξεται. καὶ Ἀφοσιοῦσθαι, ἀποκαθαίρεσθαι ὁσίας, καὶ τὸ μὴ περιεργάζεσθαι μηδὲ φιλοτιμεῖσθαι. ὅσια δὲ λέγεται ἄλφιτα, δεδευμένα ἐλαίῳ καὶ οἴνῳ· καὶ κύρια καὶ δίκαια. καὶ Ἀφοσίωσις, ἀνάθεσις. καὶ Ἀφοσιωσάμενοι, δικαιωσάμενοι. καὶ Ἀφοσιώμενοι, τιμῶντες, ἢ ἀπαρχόμενοι. ὡς δὲ ᾔσθετο σαφῶς ἀποσειόμενον καὶ μόνον ἀφοσιούμενον τὸν Ἰσίδωρον, ᾤχετο ἀπιών, καὶ οὐκέτι προσῄει.

α 4640 Ἀφουσία: νῆσός τις, ἐν ᾗ ὑπερόριοι ἐγένοντο ὁ κύριος Θεοφάνης, ὁ ποιητὴς, καὶ ὁ ἀδελφὸς αὐτοῦ Θεόδωρος ὁ Γραπτὸς, ἀμφότεροι ὁμολογηταί.

α 4641 Ἀφώρισται: πεπεράτωται. ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισται τὸ πραχθέν.

α 4642 Ἀφραδέως: ἀνοήτως, ἀπείρως.

α 4643 Ἄφρακτος φίλων: οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε.

α 4644 Ἄφραστον: ἄρρητον.

α 4645 Ἀφραστύες: ἀσυνεσίαι. σχέτλιαι ἀνθρώπων ἀφραστύες.

α 4646 Ἀφραίνει: παρανομεῖ, μωραίνει, παραφρονεῖ.

α 4647 Ἀφρικανός, ὁ Σέκτος χρηματίσας, φιλόσοφος, Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδʹ. εἰσὶ δὲ οἱονεὶ φυσικὰ, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτου ἔγραψεν Ὠριγένης ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανιήλ.

α 4648 Ἀφρικανός· Καρχηδὼν, ἡ καὶ Ἀφρικὴ καὶ Βύρσα λεγομένη, μετὰ τὸν πρῶτον ἀνοικισμὸν κρατήσασα ἔτη ψʹ τῶν περιοίκων Λιβύων ἀνήρητο. Σκιπίων δὲ αὐτὴν Σκιπίωνι τῷ Ἀφρικανῷ πάππῳ λαβὼν ἐπίκλην Ἀφρικανὸς τὸ ἐντεῦθεν διά τε τὴν ἀρετὴν καὶ τὸ τῶν κατορθωμάτων ὁμοιότροπον ἐπωνομάσθη.

α 4649 Ἀφριόεν: ἀφρῶδες. ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον.

α 4650 Ἀφρῖτις: εἶδος ἀφύας. ζήτει ἐν τῷ ἀφύα.

α 4651 Ἀφροδίσιον: ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων, τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων.

α 4652 Ἀφροδίσιον: ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος. ὁ δὲ διῆλθε τῷ λόγῳ φιλοτίμως τε καὶ σὺν Ἀφροδίτῃ οὐ μάλα περιττῇ. Αἰλιανός. καὶ παροιμία· Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων.

α 4653 Ἀφροδίτη· ταύτης τὸ ἄγαλμα πλάττουσι κτένα φέρον, ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθαι, καὶ ξυρουμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι· εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσαν καὶ γένειον ἔχουσαν· διότι καὶ ἄρρενα καὶ θήλεα ἔχει ὄργανα. ταύτην γὰρ λέγουσιν ἔφορον γενέσεως πάσης, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω λέγουσιν αὐτὴν ἄρρενα, τὰ δὲ κάτω θήλειαν. πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι Αἰνείας ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως μετὰ τοῦτο ἵππῳ ἐπέβη, καὶ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι.

α 4654 Ἀφροντιστῶ· γενικῇ.

α 4655 Ἄφροι: ὄνομα ἔθνους· οἱ Καρχηδόνιοι. ἀπὸ Ἄφρου τοῦ τῆς Λιβύης βασιλεύσαντος, τοῦ υἱοῦ Κρόνου, ἐκ Φιλύρας γεγονότος. πόθεν ὁ ἀφρὸς λευκός, ζήτει ἐν τῷ χιών.

α 4656 Ἀφρουρήτους· Θάσιοι εἶπον πρὸς Μητρόδωρον, τὸν Φιλίππου στρατηγὸν, παραδοῦναι τὴν πόλιν, εἰ διατηρήσοι αὐτοὺς ἀφρουρήτους, ἀφορολογήτους, ἀνεπισταθμεύτους νόμοις χρῆσθαι τοῖς ἰδίοις. ἐπισημηναμένων δὲ μετὰ κραυγῆς πάντων τὰ ῥηθέντα, παρήγαγον τὸν Φίλιππον εἰς τὴν πόλιν. ἀντὶ τοῦ βεβαιωσάντων.

α 4657 Ἄφρων καὶ ἄνους: διαφέρει ἄφρων καὶ ἄνους. ἀνόητόν φασι τὸν καλούμενον σοφὸν, ὡς συνιέναι τὸ δέον οὐκ ἐθελήσαντα, ἀμαθῆ δὲ τὸν τῆς σοφίας ἀμύητον, κακίᾳ δὲ ὅμως συζήσαντα. ὁ Δαβὶδ δὲ ἔφησεν· ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.

α 4658 Ἀφοιτῶ· γενικῇ.

α 4659 Ἀφύας: ὀνόματα ἑταιρῶν ἀδελφῶν δύο παρὰ Ὑπερίδῃ.

α 4660 Ἀφύα ἐς πῦρ: ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία· παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει. ἑνικῶς δὲ παρὰ Ἀριστοφάνει λέγεται ἐν Ταγηνισταῖς ἀφύη· ἀλλ’ ἀεὶ πληθυντικῶς τὰς ἀφύας. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἔγγραυλις. καὶ Ἀφύων τιμή, τὸ ἔλαιον· ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ Ἀφύας Φαληρικάς· τὰς μεγάλας. Φαληρεὺς δὲ λιμὴν Ἀττικῆς. πληθυντικῶς δὲ λέγεται, σπανιώτατα δὲ ἀφύην. Ἀριστοφάνης· εὕρετο πανευδίως τὰς λιπαρὰς, ἀφύας τιμὴν περιάψας. ἔστι δὲ γένη πλείονα· ἡ μὲν ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ’ ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάττῃ ἀφροῦ. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν· ἐξ αὐτῆς δὲ ἕτεραι, αἳ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη, ἥτις ἐστὶ γένος μαινίδων, καὶ ἄλλη ἐκ τῆς μεμβράδος, καὶ ἄλλη ἐκ τῶν μικρῶν κεστρέων. ἔστι δὲ προηγουμένη ἡ ἀφρῖτις. ὅτι Νικομήδει τῷ Βιθυνῶν βασιλεῖ ἀφύης ἐπιθυμήσαντι καὶ μακρὰν ὄντι τῆς θαλάσσης, Ἀπίκιος ὁ ὀψοφάγος μιμησάμενος τὸ ἰχθύδιον παρέθηκεν ὡς ἀφύας. ἡ δὲ κατασκευὴ ἦν αὕτη. θήλειαν λαβὼν γογγυλίδα ταύτην ἔτεμεν εἰς μακρὰ καὶ λεπτὰ τὴν ὄψιν τῆς ἀφύης μιμούμενος, ἐπιζέσας ἔλαιον, ἐπιχέας ἅλας, μήκωνας ἐπιπάσας, ἔλυσε τὴν ἐπιθυμίαν.

α 4661 Ἀφυής: ἀμαθὴς, ἄπειρος. ὁ δὲ ἦν οὐκ ἀφυὴς συνιδεῖν πραγμάτων στρατηγίας. καὶ Πολύβιος· οὗ καιρὸς ἀφυέστερος οὐ γέγονεν ἁπλῶς.

α 4662 Ἀφυΐα: ἡ πρὸς τὰ προκείμενα μαθήματα σκληρότης.

α 4663 Ἄφυκτα: ἀναπόδραστα, ἀναγκαῖα. καὶ Ἄφυκτον, ὃ οὐκ ἔστιν ἐκφυγεῖν.

α 4664 Ἀφυσμός: ἀπάντλησις.

α 4665 Ἀφύσσων: ἀπαντλῶν, ἀρυόμενος.

α 4666 Ἀφ’ ὑψηλοῦ μου καταγελᾷς: οἱονεὶ πάνυ μου καταφρονεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν ἀφ’ ὕψους διαλεγομένων.

α 4667 Ἀχαάβ: ὄνομα κύριον.

α 4668 Ἄχαζ, βασιλεὺς Ἱερουσαλήμ. οὗτος τὸ ἐν τοῖς θησαυροῖς ἀργύριον ἔπεμψε Θεγλαφαλασὰρ, τῷ Ἀσσυρίων βασιλεῖ, δεόμενος ῥυσθῆναι Σύρων τε καὶ Ἰσραηλιτῶν. κἀκεῖνος αὐτῷ βοηθῶν ἐπεστράτευσε Δαμασκῷ. ἐνταῦθα αὐτῷ συντυχὼν Ἄχαζ ἐθεάσατο θυσιαστήριον καὶ ἀρεσθεὶς αὐτῷ μέτρα τε αὐτοῦ λαβὼν ἀπέστειλεν εἰς Ἱερουσαλὴμ κελεύσας Οὐρίᾳ τῷ ἱερεῖ τοιοῦτον αὐτόθι οἰκοδομῆσαι. καὶ ἀναζεύξας ἔθυσεν ἐπ’ αὐτῷ τοῖς Σύρων θεοῖς τὸν ναὸν ἀποκλείσας τοῦ θεοῦ. τούτου δὲ τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ Ἐζεκίας καὶ Ῥαβούα τῆς Ζαχαρίου θυγατρὸς βασιλεύει ἐν Ἱερουσαλὴμ ἁπάντων εὐσεβέστερος.

α 4669

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχαΐα: ἡ Ἑλλάς. Μέμμιος γὰρ ὕπατος ἐπὶ τοὺς Κορινθίους σταλεὶς τὸν Μέτελλον ἐν χερσὶν οὖσαν τὴν νίκην ἀφείλετο. ἐπιγενόμενος δὲ πεπονηκόσι τοῖς Ἀχαιοῖς περὶ τὸν Ἰσθμὸν κατηγωνίσατο καὶ τὴν Κόρινθον εἷλεν αὐτοβοεὶ πρωτεύουσαν παντὸς κατὰ τοῦτο τοῦ Ἑλληνικοῦ· ὅθεν δοκοῦσι καὶ νῦν Ἀχαΐαν ὀνομάζειν τὴν Ἑλλάδα. Ῥωμαῖοι δὲ ἐς τὸ χειρωθὲν ἔθνος, ὃ προεστὼς ἦν τότε τῆς Ἑλλάδος, τὴν ὅλην μεταβαλόντες τῆς χώρας ἐπωνυμίαν ἀφίκοντο. καὶ Ἀχαϊκὸν βέλος, ἐπὶ τῶν εὐστόχως βαλλόντων. παρ' ὅσον πάντων ἐπιτηδειότατόν ἐστι τὸ τοιοῦτον βέλος πρὸς πολιορκίαν, τὸ τῶν ἐξ Ἀχαΐας σφενδονητῶν βέλος.

α 4670 Ἀχανὲς πέλαγος καὶ πεδίον: τὸ ἐπιπολὺ κεχηνός. τέλματα δύσπορα διαδέχεται, καὶ ἐπὶ τούτοις ἀχανὲς καὶ ἀνέξοδον πεδίου βάθος, ἐν ᾧ μυρίκαι τε δένδρων μείζους ἐπεπήγεσαν, καὶ τὸ συνεχὲς τῆς ὕλης φοβερώτατον. καὶ Ἀχανεῖς, ἀφανεῖς, ἀφεγγεῖς. καὶ Ἀχανής, ὁ μὴ κεχηνὼς, καὶ ἄφωνος, ὁ ἐνεὸς, ὁ ἐκπεπληγμένος σιωπῇ.

α 4671 Ἀχάνη: μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρὰ Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. οἱ δέ φασιν, ὅτι κίστη ἐστὶν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι.

α 4672 Ἄχαρι: χαλεπὸν, κακόν. Ἀρριανός· ὁ δὲ πίστιν ἔδωκε τοῖς κατοικοῦσι μηδὲν ἄχαρι πείσεσθαι ἐκ βασιλέως. καὶ αὖθις· οὐδὲν πείσεσθαι ἄχαρι πρὸς αὐτῶν.

α 4673 Ἄχαρι: λυπηρόν. ὁ δὲ τοὺς αἰχμαλώτους ἀφεὶς ἐξιόντας τοῦ τείχους παρεφύλαττεν ἐφεστηκὼς, μή τι ὑπὸ τῶν στρατιωτῶν πάθωσιν ἄχαρι, μίσει τῷ πρὸς Παρθυαίους. καὶ αὖθις· ὁ δὲ ἐδεῖτο μηδὲν περὶ οὗ ἄχαρι πιστεύειν βασιλέα τοῖς ἑαυτοῦ ἐχθροῖς. καὶ αὖθις· ὁ Περσῶν βασιλεὺς εἰσῆλθεν εἰς τὴν Ῥωμαίων γῆν, οὐδὲν δὲ ἔδρασεν ἄχαρι. ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενος, λύμαις ὅσαις ἐδύνατο παντοδαπαῖς τὸ σῶμα λυμηνάμενος.

α 4674 Ἀχαριστεῖν: μὴ χαρίζεσθαι. καὶ Ἀχαρίστως, τὸ μὴ εὐχαριστεῖν. Ξενοφῶν· οἶμαι γὰρ ὅτι οὐκ ἂν ἀχαρίστως ἐμοὶ ἔχειν οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς ἄλλης πάσης Ἑλλάδος.

α 4675 Ἀχαριστεῖν: ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν. καὶ Ἀχαριστῆσαι, τὸ μὴ χαρίσασθαι μηδ' ὑπουργῆσαι.

α 4676 Ἀχαρίστως· Ξενοφῶν· Κῦρος δὲ ἦγε Λυδῶν αἰχμαλώτους, καὶ οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ πειρωμένους αὐτῷ χαριεῖσθαι, τούτους εἴα σὺν τοῖς ὅπλοις, οὓς δὲ ἑώρα ἀχαρίστως ἐπιμένοντας, τούτων τοὺς ἵππους παρέδωκε τοῖς Πέρσαις, τὰ δὲ ὅπλα κατέκαυσεν. Ἀχαρίστως οὖν ἄνευ χάριτος.

α 4677 Ἀχαρνείτης: Ἀθήνηθεν. πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείτης κισσὸς ἔρεψε κόμην.

α 4678 Ἀχάτης: λίθος· καὶ λυχνίτης καὶ ἀετίτης.

α 4679 Ἀχαία: ἡ Δημήτηρ. Ἀριστοφάνης· οὐδ' ἂν τὴν Ἀχαίαν κατεδέξατο. οὕτω δὲ αὐτὴν ἐκάλουν ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων τοῦ γενομένου κατὰ τὴν ζήτησιν τῆς κόρης· ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους· ἢ ἀπὸ τοῦ ἤχου, ὃν παρεῖχον ἐν τοῖς περὶ τὴν γέφυραν εἰς Ἀθήνας ἀπιοῦσαν. ὁ δὲ νοῦς, οὐκ ἠνέσχετο ἂν οὐδὲ τὴν Ἀχαίαν αὐτήν.

α 4680 Ἀχαιΐδα: Ἑλληνίδα.

α 4681 Ἀχαιΐνη: ἡ ἔλαφος. ἐν Ἐπιγράμμασι· καὶ σκύτος ἀμφιδόρου στικτὸν ἀχαιΐνεω. καὶ Βάβριος· τοιαῦτα κωτίλλουσαν τὴν ἀχαιΐνην ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.

α 4682 Ἀχαιός, Συρακούσιος, τραγικὸς νεώτερος, ἔγραψε τραγῳδίας ι'.

α 4683 Ἀχαιός, Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεὺς, τραγικὸς, γέγονε κατὰ τὴν οδ' Ὀλυμπιάδα καὶ δράματα ἐδίδαξε μδ', οἱ δὲ λ' ἱστορήκασιν, ἄλλοι κδ'· ἐνίκησε δὲ α'. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί. ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ' Ὀλυμπιάδος.

α 4684 Ἀχέων: μετοχή ἐστιν· ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι. Σοφοκλῆς· κρυπτᾷ τ’ ἀχέων ἐν ἥβᾳ. ἀντὶ τοῦ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

α 4685 Ἄχερδος. Σοφοκλῆς· κοίλης τ’ ἀχέρδου κἀπὸ λαΐνου τάφου.

α 4686 Ἀχερουσία ἐστὶ λίμνη ἐν ᾅδου, ἣν διαπορθμεύονται οἱ τελευτῶντες, τὸ νόμισμα, ὅπερ δανάκη λέγεται, τῷ πορθμεῖ διδόντες.

α 4687 Ἀχέρων: ποταμὸς ἐν ᾅδου μεμυθευμένος· παρὰ τὸ ἄχη ῥεῖν. καὶ Ἀριστοφάνης ἐν Βατράχοις ἐκφοβῆσαι θέλων φησίν· Ἀχερόντειός τε σκόπελος αἱματοσταγής. διὰ τὸν Διόνυσον.

α 4688 Ἀχέρων: τόπος τις μέσος τοῦ παντός· ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις, ἄχρι τοῦ τέλματος τοῦ παντὸς, σκοτεινός τις καὶ ἀφεγγής. ὁ δὲ Ἀχέρων καθαρσίῳ ἔοικε καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων.

α 4689 Ἀχέτας: οὐκ εἶδος τέττιγος, ἀλλ’ ἐπίθετον τέττιγος, ὥσπερ ὁ ἀκανθίας. ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις.

α 4690 Ἄχειρος: ὁ χειρὸς ἐστερημένος, κατὰ μεταπλασμόν. Πισίδης· ἄπους, ἄχειρος, οὐ βαρεῖ τὸν αὐχένα· πλήρεις ἑκάστῳ τῶν μελῶν αἱ συνθέσεις. περὶ τῆς Χοσρόου ὠμότητός φησι.

α 4691 Ἀχείρωτον: ἄμωμον.

α 4692 Ἀχηνία: ἀπορία, πενία. Ἀριστοφάνης Ἀμφιαράῳ· νόσῳ βιασθεὶς, ἢ φίλων ἀχηνίᾳ.

α 4693 Ἄχι: ἀντὶ τοῦ ῥᾳδίως.

α 4694 Ἀχίας· προφήτης οὗτος ἐπὶ Ἱεροβοὰμ βασιλέως τῶν Ἑβραίων ἦν. κάμνοντος δ’ αὐτῷ κατ’ ἐκεῖνον καιρὸν τοῦ παιδὸς, τὴν γυναῖκα αὐτοῦ προσέταξεν ἥκειν, ἔνθα διέτριβεν ὁ Ἀχίας, περὶ τῆς τοῦ παιδὸς ὑγείας, μετασχηματισαμένης τὴν στολήν. μελλούσης δὲ αὐτῆς εἰς τὴν οἰκίαν εἰσιέναι τὰς ὄψεις ἠμαυρωμένου διὰ τὸ γῆρας, ἐπιφανεὶς ὁ θεὸς ἀμφότερα αὐτῷ μηνύει, τήν τε τοῦ Ἱεροβοὰμ γυναῖκα, καὶ τί μέλλει λέγειν αὐτῇ. καὶ παριούσης ὡς ξένης ἀνεβόησεν· εἴσελθε, ὦ γύναι· τί κρύπτεις σαυτήν; τὸν γὰρ θεὸν οὐ λανθάνεις. ἄπελθε δὲ πρὸς τὸν ἄνδρα· τάδε λέγει κύριος· ἐπεί σε μέγαν ἐκ μικροῦ καὶ μηδενὸς ὄντος ἐποίησα, καὶ ἀποσχίσας τὴν βασιλείαν ἀπὸ τοῦ Δαβὶδ γένους σοὶ ταύτην ἔδωκα, σὺ δὲ τούτων ἠμνημόνησας καὶ τὴν ἐμὴν θρησκείαν καταλιπὼν χωνευτοὺς θεοὺς κατεσκεύασας καὶ τούτους τιμᾷς, σὲ πάλιν καθαιρήσω καὶ πᾶν ἐξολοθρεύσω σου τὸ γένος καὶ κυσὶ καὶ ὄρνισι βορὰν γενέσθαι ποιήσω. μεθέξει δὲ τῆς τιμωρίας καὶ τὸ πλῆθος ἐκπεσὸν τῆς ἀγαθῆς γῆς διασπαρὲν εἰς τοὺς πέραν Εὐφράτου τόπους, διότι τοῖς σοῖς ἀσεβήμασι κατηκολούθησε. τὸν δὲ σὸν υἱὸν καταλήψῃ τεθνηκότα. ἅπερ καὶ γέγονεν.

α 4695 Ἀχιλλεὺς Στάτιος, Ἀλεξανδρεὺς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα, καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η′. γέγονεν ἔσχατον χριστιανὸς καὶ ἐπίσκοπος. ἔγραψε δὲ Περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ Ἱστορίαν σύμμικτον, πολλῶν καὶ μεγάλων καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν. ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς.

α 4696 Ἀχίλλειος εὐχή· ἦ ποτ’ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν. ὁ Κάμιλλος, ὁ Ῥωμαίων στρατηγὸς, εὔξατο τὴν Ἀχίλλειον εὐχὴν, ἐπιποθῆσαι Ῥωμαίους Κάμιλλον ἐν καιρῷ. ἀπήντησε δὲ αὐτῷ οὐ πολὺ ὕστερον· Κελτῶν γὰρ τὴν πόλιν καταλαβόντων ὁ δῆμος ἐπὶ Κάμιλλον κατέφυγε, καὶ δικτάτωρα αὖθις εἵλετο, ὡς ἐν ταῖς Κελτικαῖς πράξεσιν ἀναγέγραπται.

α 4697 Ἀχιλλείων: τουτέστι κριθῶν καθαρῶν καὶ εὐγενῶν, οὕτω καλουμένων. Ἀριστοφάνης· Ἀχιλλείων ἀπομάττῃ. ἀντὶ τοῦ σιτήσεως τῆς ἐν Πρυτανείῳ μετέχεις. ἢ Ἀχίλλειοι κριθαί, αἱ εὐτελεῖς.

α 4698 Ἀχθέσῃ: λυπηθήσῃ. τῷ χρόνῳ ποτ’ ἀχθέσῃ. ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ τοῦδε τοῦ πράγματος γενομένου.

α 4699

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄχθεται: λυπεῖται. καὶ Ἀχθεσθείς, λυπηθείς. ὁ δὲ ἀχθεσθεὶς τοῖς ἐπιτάγμασι πολλὰ καὶ δεινὰ ἀπεκρίνατο.

α 4700 Ἀχθεινή: λυπηρὰ, ὀλεθρία. ἀχθεινὰν δ’ εἶδε βοοκτασίαν. καὶ Ἀχθεινός, ὁ ἐπίπονος.

α 4701 Ἀχθηδών: λύπη.

α 4702 Ἄχθομαι: βαροῦμαι, ἀγανακτῶ. Ἀριστοφάνης· ἄχθομαι τοῖς ταῶσι τοῖς τ’ ἀλαζονεύμασιν. ἀντὶ τοῦ τοῖς κόλποις τοῖς πεποικιλμένοις· ἐπεὶ ὁ ταὼς ποικίλος. ἢ ὅτι πορφύραις ἐχρῶντο καὶ τιάραις. καὶ Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ, ἀντὶ τοῦ τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ. τὸν γὰρ ῥύπον ἐπὶ τῶν γλίσχρων καὶ ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους. καὶ Ἀριστοφάνης· κρομύοις γὰρ ἄχθομαι. καὶ Ἰώσηπος· ὁ δὲ θεὸς ἄχθεται τῇ τε τοῦ βασιλέως τῶν Ἀμαληκιτῶν σωτηρίᾳ καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ τοῦ πλήθους, ὅτι μὴ συγχωρήσαντος αὐτοῦ ταῦτ’ ἐπράχθη. καὶ Ἀχθόμενοι, βαρούμενοι, πιεζόμενοι. ἀμφί τε ἡμέραν μέσην τῷ ἡλίῳ ἀχθόμενοι τὰ ὅπλα κατέθεντο. καὶ Ἄχθος, βάρος, λύπη.

α 4703 Ἀχθοφόρον: βαστάζοντα. καὶ παροιμία· Οὓς οὐκ ἂν ἄραιντ’ οὐδ’ ἑκατὸν Αἰγύπτιοι. πολλαχοῦ γὰρ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους μέμνηνται.

α 4704 Ἀχλύς: σκότος, ὁμίχλη, ζόφος, ἀμβλυωπία. καί, ἠέρος ἀχλύσαντος. ἀντὶ τοῦ σκοτισθέντος.

α 4705 Ἄχναι: λεπτὰ ἄχυρα ἢ ἀκαθαρσίαι. καὶ Ἄχνη ἁλός, τὸ λεπτότατον τοῦ ὕδατος, ὁ ἀφρὸς τῆς θαλάσσης. ἐν Ἐπιγράμμασι· μῆλον θ’ ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ. καὶ Ἄχνη πυρός, ὁ καπνός. καὶ ἄχνη ὕπνου, ὁ Ἱπποκράτης φησὶ, καὶ ἄχνη λιμοῦ. δηλοῖ δὲ καὶ λεπτὸν ξύσμα.

α 4706 Ἄχνους: ἀγένειος. τίς τὸν ἄχνουν Ἑρμῆν σε παρ’ ὑσπλήγεσσιν ἔθηκεν;

α 4707 Ἀχνύμενος: λυπούμενος.

α 4708 Ἄχος: λύπη σιωπὴν ἐπιφέρουσα. παρὰ τοῦτο καὶ ἀχνύμενος. τουτέστι λυπούμενος. λήγετε τοῦδ’ ἄχους· κακῶν γὰρ δυσάλωτος οὐδείς. ἀντὶ τοῦ δύσληπτος, ἀλλ’ εὐάλωτος. ἡ δὲ σύγκλητος, ὥσπερ ἄχει τινὶ πεπληγμένη, ἐξηπορεῖτο.

α 4709 Ἅχω: ἀντὶ τοῦ ἃ ἔχω. Σοφοκλῆς· κἀμοῦ ταλαίνης σμικρὰ μὲν τάδ’, ἀλλ’ ὅμως ἅχω.

α 4710 Ἀχών: ἄμπελος.

α 4711 Ἀχώρ: τὸ πιτυρῶδες τῆς κεφαλῆς. παρὰ τὸ ἄχνη, ἀχνώρ· καὶ ἀποβολῇ τοῦ ν ἀχώρ. κλίνεται δὲ ἀχῶρος διὰ τοῦ ω μεγάλου· ὡς ἰχῶρος, τοῦ σεσηπότος αἵματος.

α 4712 Ἄχραντον: ἄψαυστον· κυρίως, οὗ χεὶρ οὐχ ἥψατο· ἀμόλυντον.

α 4713 Ἀχράς: εἶδος ἀπίου. Ἀριστοφάνης· ἀχράς τις ἐγκλείσας’ ἔχει τὰ σιτία. μῶν ἣν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς; ἡ ἀχρὰς ἐπέχει τὴν γαστέρα. οὗτος δὲ ὁ Θρασύβουλος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν.

α 4714 Ἀχρειόγελως ἄνθρωπος: ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

α 4715 Ἄχρειον: τῷ τόνῳ ὡς ἄμεινον.

α 4716 Ἄχρηστα. καὶ παροιμία· Εἰς ἄχρηστα μὴ ἀναλίσκειν. μή ποτ’ εὖ ἔρδειν γέροντα, μὴ παῖδα βάσκανον, μήτε γυναῖκα λάλον, μήτε παῖδα νήπιον μήτε γείτονος κύνα, μὴ λάλον κωπηλάτην. ζήτει ἕτερα ἐν τῷ Πυθαγόρας. μηδ’ εἰς ὀρχηστρίδος εἰσᾴττειν (τουτέστιν εἰσπηδῆσαι), ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς βληθεὶς ὑπὸ πορνίδος τῆς εὐκλείας ἀποθραυσθῇς (τουτέστιν ἐκπέσῃς), μηδ’ Ἰαπετὸν καλέσαντα μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης. τουτέστι λῆρον, μωρόν. Ἰαπετὸς δὲ εἷς τῶν γιγάντων. ἐνεοττοτροφήθης δὲ οἷον ἐτράφης. μὴ παρὰ τοὺς σαυτοῦ γονέας κακουργεῖν, ὅτι τῆς αἰδοῦς μέλλεις ἄγαλμ’ ἀναπλήσειν. μηδ’ ἀπαίδευτά τινα ποιήσῃς περὶ τοὺς γονέας σαυτοῦ, ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρῶσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

α 4717 Ἀχρηστία. Ἀππιανός· ὁ δὲ Ὡράτιος λελωβημένος ἦν τὰ σκέλη, ὑπατείας τε οὐκ ἔτυχεν οὔτε ἐν πολέμῳ οὔτε ἐν εἰρήνῃ διὰ τὴν ἀχρηστίαν τῶν ποδῶν.

α 4718 Ἄχρι· γενικῇ. Ἄχρις, ἀντὶ τοῦ μέχρις, ἕως. ἔστι δὲ καὶ Ἄχρις, ἀντὶ τοῦ καθόλου, διόλου. καὶ Ὅμηρος· ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς ἄχρις ἀπηλλοίησε. καὶ Ἄχρι κόρου. παροιμία ἦν, ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστι. καὶ, οὗτος ἄχρι κόρου ἐφενάκισεν.

α 4719 Ἄχρωμος· ἦν δὲ ἡ ἐργασία αὐτοῦ ἄχρωμος (τουτέστιν ἀναιδής)· ἐπὶ πορνείου γὰρ ἐκαθέζετο. καὶ Ἀχρώματος, ἀναιδής.

α 4720 Ἀχρυλίς, ἡ Φρυγίη.

α 4721 Ἀχυρμιαί: οἱ τόποι, εἰς οὓς τὰ ἄχυρα ἀποφέρεται λικμώμενα. καὶ ἐν Ἐπιγράμμασι· καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας.

α 4722 Ἄψ: πάλιν. ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω. ἐν Ἐπιγράμμασι. ἀντὶ τοῦ ἀνθέλκω, ἀνατρέπω.

α 4723 Ἀψάλακτος: ἀπαθὴς, ἀτιμώρητος. ἀψάλακτον γὰρ τὸ ἄθικτον. οὕτως Κράτης.

α 4724 Ἁψαμένη: ἐξαρτήσασα. καὶ Ἅψασθαι παρὰ πᾶσιν ἐπὶ τοῦ προσάψασθαι καὶ θιγεῖν τάσσεται. καὶ Ἅψαι, προσάψαι.

α 4725 Ἀψαύστως: ἀνεπάφως. Ἀππιανός· ὁ δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυστεῖν ἐκέλευεν, ἕως ἡμέρα γένηται, πολύχρυσα εἶναι δοκῶν.

α 4726 Ἀψεύδεια: ἡ ἀλήθεια. λέγεται δὲ καὶ ἀψευδεῖν, καὶ ἀψευδές.

α 4727 Ἀψήκτῳ κοθόρνῳ: ἀκαταμάκτῳ, σκληρῷ, ἀμαλάκτῳ ὑποδήματι πατάξω τὸν γνάθον.

α 4728 Ἀψήφιστον· ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει ἐπιτελεῖ πᾶσαν τὴν γραφήν.

α 4729 Ἁψῖδες: καμάραι.

α 4730 Ἁψικάρδιος· εἰ δὲ ἰδιωτικὸν παράπληγμα ἁψικάρδιον ἐθέλεις, ἐρήσεται ἂν ταχέως. τῆς καρδίας ἁπτόμενον.

α 4731 Ἁψίκορος: εὐμετάβλητος. ἢ ὁ ταχέως καὶ ἅμα τῷ ἅψασθαι κορεννύμενος. εἰδὼς τῶν Νομάδων τὴν ἁψικορίαν καὶ τὴν ἀθεσίαν τὴν πρὸς ἀνθρώπους. καὶ αὖθις· συντηρητικὸν δεῖ εἶναι πρὸς τοὺς φίλους καὶ μηδαμοῦ ἁψίκορον.

α 4732 Ἁψιμαχία: συναφὴ μάχης. Ἀππιανός· τὸ μὲν πρῶτον ἔριδες ἦν καὶ ἁψιμαχίαι σμικραί, μετὰ δὲ συμβολαί τε ἐς τὴν ἀλλήλων.

α 4733 Ἁψιμισία: πρὸς ὀλίγον διαφορά.

α 4734 Ἀψίνης, Ἀθηναῖος, σοφιστὴς, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ, τοῦ πατρὸς Ἀψίνου.

α 4735 Ἀψίνης, Γαδαρεὺς, σοφιστὴς, σπαρεὶς, ὡς λόγος, ἐκ Πανός· μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι, βασιλεύοντος Μαξιμιανοῦ, ὑπατικοῦ λαβὼν ἀξίωμα.

α 4736 Ἀψίνης, Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου, σοφιστὴς νεώτερος τοῦ Γαδαρέως Ἀψίνου.

α 4737 Ἄψορροι: ὀπισθόρμητοι. οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα; Αἴας λέγει πρὸς Τέκμησσαν, τὴν αἰχμάλωτον γυναῖκα.

α 4738 Ἀψοφητί: ἠρέμα.

α 4739 Ἄψυρτος, Προυσαεὺς, Νικομηδεὺς, στρατιώτης, στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψεν καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων· καὶ ἕτερα. ἔγραψε καὶ Κίμων Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.

α 4740

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄψυχος· τὰς προφυλακὰς βλέπων ὁ Φαμέας, ὢν οὐκ ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς. καί ποτε συνεγγίσας ταῖς ἐφεδρείαις, προβαλόμενος ὀφρὺν ἀπότομον ἀπέστη καὶ πλείω χρόνον.

αι 1 Αἶ: ψιλούμενον καὶ περισπώμενον τὸ ὄφελον σημαίνει, κατὰ ἀποκοπὴν τοῦ αἶθε, δασυνόμενον δὲ ἄρθρον θηλυκὸν καὶ ἀναφορικόν. σημαίνει δὲ καὶ ἐπίρρημα θρηνητικὸν περισπώμενον καὶ ψιλούμενον, ὃ καὶ διπλασιάζεται. αἶ αἶ τάλαινα θηλαμὼν κεκαυμένη.

αι 2 Αἶα: ἡ γῆ.

αι 3 Αἴαγμα: θρῆνος. καὶ σύντριμμα.

αι 4 Αἰάζειν: θρηνεῖν. ἢ τὸ κατοικτείρειν.

αι 5 Αἰακίδης: ὁ τοῦ Αἰακοῦ υἱός.

αι 6 Αἰακίξ: εἶδος κύλικος.

αι 7 Αἰανὴς κύκλος: σκοτεινός, ἀδιάλειπτος. Σοφοκλῆς· νυκτὸς αἰανὴς κύκλος. ἢ Αἰανῆς, θρηνητικῆς. παρὰ τὸ αἰάζω, τὸ θρηνῶ.

αι 8 Αἰάντειος γέλως: ἐπὶ τῶν παραφρόνως γελώντων. καὶ Αἰάντειος οἶκος, ὁ τοῦ Αἴαντος. καὶ Αἰαντὶς φυλή, ἡ τοῦ Αἴαντος.

αι 9 Αἴαξ: ὄνομα κύριον.

αι 10 Αἴαψος: ὁ ποικίλος.

αι 11 Αἰβάλη: ἡ θύρα.

αι 12 Αἴβιλος: ὄνομα κύριον.

αι 13 Αἰβιωναῖος: ὄνομα κύριον.

αι 14 Αἰβοῖ: σχετλιαστικὸν ἐπίρρημα. τάττεται δὲ καὶ ἐπὶ ἡδονῆς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν· αἰβοῖ· οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον.

αι 15 Αἰβοῖ.

αι 16 Αἴγαγρος: εἶδος ζῴου.

αι 17 Αἰγαλέως ἐπὶ γενικῆς ἀντὶ τοῦ ...

αι 18 Αἰγανέα: ἀκόντιον ὁλοσίδηρον. ἐν Ἐπιγράμμασι· ἄνθετο δέρμα λέοντος Τεῦκρος Ἄραψ καὐτὴν ἀγρότιν αἰγανέαν.

αι 19 Αἲ γάρ: εἴθε γάρ.

αι 20 Αἶγας ἀνιεμένους· ζήτει ἐν τῷ ἀνιεμένη.

αι 21 Αἶγα· ὅτι τουτὶ τὸ ζῷον δοκεῖ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ. ἀμέλει γοῦν καὶ ἐπίγραμμα φαίνεται πρὸς τὴν αἶγα οὕτως ἔχον· κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ' ἔτι καρποφορήσω ὅσσον ἐπιλεῖψαί σοι, τράγε, θυομένῳ.

αι 22 Αἰγάστρη.

αι 23 Αἰγαῖον πέλαγος: οὕτω καλούμενον ἀπὸ ἱστορίας. Θησεὺς ὁ Αἰγέως υἱός, βασιλέως τῆς Ἀττικῆς, βασιλεύει Κρητῶν καὶ διώκει τὸν Μινώταυρον εἰς τὴν λαβυρίνθων χώραν καὶ κρυπτόμενον αὐτὸν ἐν σπηλαίῳ ἀνεῖλε καὶ λαμβάνει τὴν Ἀριάδνην γυναῖκα, τὴν ἀπὸ τοῦ Μίνωος τεχθεῖσαν τῇ Πασιφάῃ, καὶ οὕτω κρατεῖ τῆς Κρήτης. εἶτα ᾔτησεν ἀπελθεῖν πρὸς τὸν ἑαυτοῦ πατέρα τὸν Αἰγέα καὶ τὴν ἑαυτοῦ νίκην τὴν κατὰ τοῦ Μινωταύρου ἀπαγγεῖλαι. ὡς οὖν ἔπλει ἐπὶ τὴν Ἀττικὴν χώραν, προλαβών τις τῶν διὰ θαλάσσης ἐμπορευομένων ἐψεύσατο τὸν τούτου πατέρα, εἰρηκὼς αὐτῷ, ὅτι παρέβησαν οἱ Κρῆτες τὸν Θησέα (ἔχουσι γὰρ καὶ ψευδομένων ὑπολήψεις) καὶ προδεδώκασι τῷ Μίνωϊ τοῦτον εἰς θυσίαν. πιστεύσας δὲ ὁ Αἰγεὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ κατολιγωρήσας ἔρριψεν ἑαυτὸν ἀπὸ τῆς ἀκρωρείας εἰς τὴν θάλασσαν καὶ ἀπεπνίγη. διόπερ ἐκεῖνο τὸ πέλαγος μέχρι τῆς σήμερον Αἰγαῖον ἐκλήθη. ἐλθὼν οὖν ὁ Θησεὺς εὗρεν αὐτὸν τελευτήσαντα καὶ καταφρονήσας τῆς βασιλείας τῆς Κρήτης καὶ τῆς ἑαυτοῦ γυναικὸς Ἀριάδνης ἐβασίλευσεν ἀντὶ τοῦ πατρὸς ἐν τῇ Ἀττικῇ. ἐξ αὐτοῦ δὲ καὶ Αἰγαῖος κόλπος. Αἰγαῖον οὖν πέλαγος τὸ φοβερώτατον. Ἀττικώτερον δὲ τὸ Αἴγαιον.

αι 24 Αἰγαῖος κόλπος.

αι 25 Αἰγαίωρος: ὄνομα κύριον.

αι 26 Αἰγέα: τὸ τῆς αἰγὸς δέρμα.

αι 27 Αἰγέα καὶ Ἐρεχθέα καὶ πάντων τῶν τοιούτων ἐκτείνουσι τὸ τελευταῖον α. Ἀριστοφάνης Δαιταλεῦσι· τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει.

αι 28 Αἶγες: τὰ μεγάλα κύματα ἐν τῇ συνηθείᾳ. καὶ ἐπαιγίζω ἐπὶ τοῦ σφοδρῶς πνέω. τοῦ ἀστέρος τῆς αἰγὸς λάμψαντος σφοδροὶ πνέουσιν ἄνεμοι, ἔνθεν τὸ λάβρος ἐπαιγίζων. καὶ Αἰγαῖον πέλαγος, τὸ φοβερώτατον.

αι 29 Αἰγεσταῖος: ὄνομα κύριον. Αἰγεστεὺς δέ, Αἰγεστέως.

αι 30 Αἰγεύς, Αἰγέως: ὄνομα κύριον.

αι 31 Αἰγεία θάλασσα.

αι 32 Αἰγεῖδαι· Δημοσθένης ἐν τῷ Ἐπιταφίῳ, εἰ γνήσιός ἐστιν. ἔστι δὲ Αἰγηὶς φυλὴ ἀπὸ Αἰγέως τοῦ Πανδίωνος, ἧς οἱ φυλέται Αἰγεῖδαι. καὶ Αἰγείδης, ὁ τοῦ Αἰγέως παῖς.

αι 33 Αἰγεῖον: τὸ τοῦ Αἰγέως μαντεῖον. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. Αἰγεῖόν ἐστιν Αἰγέως ἡρῷον ἐν Ἀθήναις.

αι 34 Αἴγειον: μέλος καὶ τὸ τῆς αἰγὸς δέρμα. καὶ Αἴγειος ἀσκός.

αι 35 Αἴγειρος: ἡ λεύκη. εἶδος φυτοῦ. Αἰγείρου θέα· αἴγειρος ἦν Ἀθήνησι πλησίον τοῦ ἱεροῦ· ἔνθα πρὶν γενέσθαι θέατρον, τὰ ἰκρία ἐπήγνυον. ἀφ’ ἧς αἰγείρου οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν. Αἴγιρος δὲ ὄνομα πόλεως.

αι 36 Αἰγηΐς: ἡ τοῦ Αἰγέως φυλή.

αι 37 Αἰγιάζειν: σὺ δ’ αἰγιάζων ἐνθαδὶ καθήμενος.

αι 38 Αἰγιαλεύς: ὄνομα κύριον.

αι 39 Αἰγιάλεια: ὄνομα κύριον.

αι 40 Αἰγιάλη: ὄνομα κύριον.

αι 41 Αἰγιαλῷ λαλεῖς: ἐπὶ τῶν ἀνηκούστων. καὶ Ἀνέμῳ διαλέγῃ. ὁμοίως ἐπὶ τῶν ἀνηκούστων.

αι 42 Αἰγίβοτος γῆ: ἐπιτηδεία αἶγας βόσκειν.

αι 43 Αἴγιγες: ὄνομα ἔθνους.

αι 44 Αἰγίζειν: διασπᾶν. ἐκ μεταφορᾶς· παρ’ ὃ καὶ τὸ αἰγίζεσθαι ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος. ὁ δ’ αὐτὸς ἐν Ἡδονῇ καὶ τὰς νεβρίδας οὕτω καλεῖ.

αι 45 Αἰγιεῖς οὔτε τρεῖς οὔτε τέσσαρες: ἐπὶ τῶν ἄγαν εὐτελῶν. οἱ γὰρ ἐν Ἄργει Αἰγιεῖς νικήσαντες Αἰτωλοὺς ἠρώτων τὴν Πυθίαν, τίνες εἶεν. ἀνεῖλε δὲ αὐτοῖς· Αἰγιεῖς οὔτε τρεῖς οὔτε τέσσαρες, ἀλλ’ οὐδὲ δεκαταῖοι.

αι 46 Αἰγίθαλος: τὸ ζῷον. καὶ ἡ ὄρχησις.

αι 47 Αἰγιλία: δῆμος Ἀντιοχίδος, ἧς ὁ δημότης Αἰγιαλεύς. Αἰγιλιεύς.

αι 48

Αἰγίλιψ: ὄνομα πόλεως. σημαίνει δὲ καὶ πέτραν ὑψηλήν. Ὅμηρος· ἤτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ. ὥστε ὑπὸ τοῦ ὕψους καὶ τὰς αἶγας λείπεσθαι αὐτῆς ἐπιβαίνειν. ἔστι δὲ καὶ πόλις Κεφαλληνίας οὕτω καλουμένη.

αι 49 Αἴγιλλος: εἶδος βοτάνης.

αι 50 Αἰγίλουρος.

αι 51 Αἰγίμιος: ὄνομα κύριον.

αι 52 Αἰγιμιώ: ὄνομα πόλεως.

αι 53 Αἴγινα: πόλις. καὶ Αἰγιναία ναῦς. καὶ Αἰγινήτης, ὁ ἀπὸ τῆς Αἰγίνης.

αι 54 Αἴγινθος: ὄνομα κύριον.

αι 55 Αἴγιον: ὄνομα τόπου.

αι 56 Αἰγίοχος: ὁ Ζεύς.

αι 57 Αἰγίπλαγκτος.

αι 58 Αἴγιρος: ὄνομα πόλεως.

αι 59 Αἰγίς: ἣν Λίβυες φοροῦσι δοράν.

αι 60 Αἰγίς: τὸ ἐκ τῶν στεμμάτων πλέγμα καὶ τὸ διὰ στεμμάτων πεπλεγμένον δίκτυον. ὡς Λυκοῦργος καὶ Ἡρόδοτος. ἡ δὲ ἱέρεια Ἀθήνησι τὴν ἱερὰν αἰγίδα φέρουσα πρὸς τὰς νεογάμους εἰσήρχετο. ἐπὶ τῶν ἀναίδην οὖν ποιούντων τι τάττεται ἡ παροιμία. καὶ ὁ θώραξ· καὶ ἡ ἐν ταῖς πεύκαις οὐλότης. Νυμφόδωρος δὲ ταῦτα ὑπὸ Λιβύων αἰγέας φησὶ καλεῖσθαι.

αι 61 Αἰγίς: καταιγίς. Φερεκράτης Μυρμηκανθρώποις· οἴμοι κακοδαίμων, αἰγίς, αἰγὶς ἔρχεται.

αι 62 Αἴγισθος: ὄνομα κύριον.

αι 63 Αἰγιστεύς, Αἰγιστέως: ὄνομα κύριον.

αι 64 Αἴγλη: βόλος κυβευτικός, λαμπηδών, αὐγή. Κρατῖνος. καὶ ποπάνου εἶδος δηλοῖ, καὶ θυσίαν, ὥς φησι Λεαγόρας. ἔστι καὶ παιδιά τις. ἀλλὰ καὶ ἡ σελήνη οὕτω καλεῖται καὶ ὁ Ἀσκληπιός.

αι 65 Αἰγλήεντος: λαμπροῦ. ἡ εὐθεῖα Αἰγλήεις.

αι 66 Αἴγλης Χάριτες: πιθανῶς ἐγενεαλόγησαν τὰς Χάριτας· Αἴγλης γὰρ καὶ ὁ Ἥλιος, ἐπεὶ τὰς Χάριτας λαμπρὰς εἶναι δοκεῖ.

αι 67 Αἰγόκερως: εἶδος ζῴου.

αι 68 Αἰγὸς ἀστήρ· ζήτει ἐν τῷ ἀστήρ. αἴξ, αἰγός· ζήτει ἐν τῷ βεκεσέληνε.

αι 69 Αἰγὸς τρόπον: ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακόν. ἀπὸ Κορινθιακῆς παροιμίας, ἡ αἲξ δοῦσα τὴν μάχαιραν.

αι 70 Αἰγοφάγος.

αι 71 Αἰγώνη: ὄνομα πόλεως.

αι 72 Αἰγωνίεια: ὄνομα πόλεως.

αι 73 Αἰγῶν ὀνόματα: οἷον ἄχρηστα πράγματα· ὅμοιαι γὰρ αἱ αἶγες. ἐπὶ δὲ τοῖς διαφέρουσιν ὡς χαρακτηριστικὰ τίθεται τὰ ὀνόματα.

αι 74 Αἰγυπιόν: οὕτως οἱ παλαιοί, ἀλλ' οὐ γῦπα. Αἰγυπιῶν δὲ πληθυντικῶς, γυπῶν. Ἡρόδοτος. ἡ εὐθεῖα Αἰγυπιός, ὁ γύψ.

αι 75 Αἰγυπτιάζειν: τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι. τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. καὶ παροιμία· Αἰγύπτιος πλινθοφόρος. οὗτοι διαβάλλονται ἀεὶ ὡς ἀχθοφόροι ὄντες. περὶ δὲ Αἰγυπτίων ζήτει ἐν τῷ δέλτα εἰς τὸ δογματίζει.

αι 76 Αἰγυπτία κληματίς: ἐπὶ τῶν ἰσχνῶν καὶ ὑπομήκων· ὁποῖος ἦν Ζήνων ὁ Κιτιεύς. ὅν φασι χρηστηριαζόμενον πῶς ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεόν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς. ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν.

αι 77 Αἴγυπτος: ὄνομα κύριον. καὶ ἡ χώρα τῶν Αἰγυπτίων. ὅτι ὅτε ἀφίκετο Ἑρμῆς, ὁ υἱὸς Πήκου, τοῦ καὶ Διός, Μεστρὲμ ἐβασίλευε τῶν ἐκεῖ· ὃν μετωνόμασαν Αἴγυπτον, ἀφ’ οὗ καὶ Αἴγυπτος ἡ χώρα· τοῦ γένους τοῦ Νῶε. ὅτι ἐν ταῖς μʹ ἡμέραις γεγόνασιν αἱ κατ’ Αἴγυπτον πληγαί. ὅτι Ἀναξαγόρας καὶ Πυθαγόρας εἰς Αἴγυπτον ἀφικόμενοι καὶ τοῖς Αἰγυπτίων καὶ Ἑβραίων αὐτόθι σοφοῖς ὁμιλήσαντες τὴν περὶ τῶν ὄντων γνῶσιν ἠκουτίσθησαν, ὕστερον δὲ καὶ Πλάτων, ὡς Πλούταρχος ἐν τοῖς Παραλλήλοις φησίν. οὐ μὴν δὲ ἀλλὰ καὶ θεοὺς Αἰγύπτιοι πρῶτοι τὸν ἥλιον καὶ τὴν σελήνην ὠνόμασαν καλέσαντες τὸν μὲν ἥλιον Ὄσιριν, τὴν δὲ σελήνην Ἶσιν, ἅτε ὁρῶντες αὐτοὺς δρόμῳ ἰόντας καὶ θέοντας, θεούς ἐκ τοῦ θέειν καὶ ἰέναι.

αι 78 Αἰδέσασθαι: ἀντὶ τοῦ μεταπεισθῆναι. οὕτως Λυσίας καὶ Δημοσθένης. ἐν δὲ τῷ κατὰ Ἀριστοκράτους ἀντὶ τοῦ ἐξιλάσεται καὶ πείσειν.

αι 79 Αἰδεσία, Ἑρμείου γυνή. αὕτη ἦν μὲν προσήκουσα γένει τῷ μεγάλῳ Συριανῷ, καλλίστη καὶ ἀρίστη γυναικῶν τῶν ἐν Ἀλεξανδρείᾳ· τὰ μὲν ἤθη τῷ ἀνδρὶ παραπλησία, ἁπλῆ καὶ γενναία καὶ δικαιοσύνης οὐδὲν ἧττον ἢ σωφροσύνης ἐπιμεληθεῖσα διὰ βίου παντός· τὸ δὲ ἐξαίρετον αὐτῆς φιλόθεον καὶ φιλάνθρωπον. διὰ τοῦτο καὶ παρὰ δύναμιν εὖ ποιεῖν ἐπεχείρει τοὺς δεομένους, ὥστε καὶ τοῦ Ἑρμείου τελευτήσαντος ἐπὶ παισὶν ὀρφανοῖς ἀπολειφθεῖσα τῶν αὐτῶν εἴχετο δαπανημάτων εἰς τὰς εὐποιΐας. τοιγάρτοι καὶ ὑπόχρεων τοῖς υἱέσι τὸν βίον ἐποίησεν, ἐφ’ ᾧ καὶ μέμψασθαί τινες αὐτὴν ἐπεχείρουν. ἡ δὲ ἕνα θησαυρὸν ἡγουμένη τῆς ἀμείνονος ἐλπίδος, εἴ τις ἐθέλοι τοῖς ἱεροῖς καὶ ἐπιεικέσιν ἀνθρώποις ἐπικουφίζειν τὰ ἄχθη τῆς χρησμοσύνης, οὐδενὸς ἐφείδετο διὰ τὸν ἔλεον τῆς κατὰ τὰ ἀνθρώπεια τύχης· τοιγαροῦν ἠγάπων αὐτὴν καὶ τῶν πολιτῶν οἱ πονηρότατοι. μάλιστα δὲ τῶν υἱέων ἐπεμελεῖτο τὰ περὶ φιλοσοφίαν, ὀρεγομένη τὴν τοῦ πατρὸς ἐπιστήμην αὐτοῖς παραδοῦναι καθάπερ κλῆρόν τινα πατρῴας οὐσίας. ἥ γε καὶ τὴν δημοσίαν τῷ πατρὶ σίτησιν διδομένην τοῖς παισὶ διεφύλαξε νέοις ἔτι οὖσιν, ὡς ἐφιλοσόφησαν· ὅπερ οὐκ ἴσμεν οὐδὲ ἀνδρῶν ἕτερον πεποιηκότα, μήτι γε δὴ γυναικῶν. ἦν γὰρ παρὰ πᾶσι τιμὴ καὶ αἰδὼς οὐκ ὀλίγη τῆς Αἰδεσίας. ἀλλ’ ἐπεὶ καὶ συνέπλευσε τοῖς υἱέσιν Ἀθήναζε στελλομένοις ἐπὶ φιλοσοφίαν, ἐθαύμασεν αὐτῆς τὴν ἀρετὴν ὅ τε ἄλλος χορὸς τῶν φιλοσόφων καὶ ὁ κορυφαῖος Πρόκλος. αὕτη ἐστὶν Αἰδεσία, ἣν κόρην οὖσαν ἔτι τῷ Πρόκλῳ κατεγγυήσειν ἔμελλεν ὁ Συριανός, εἰ μὴ θεῶν τις ἀπεκώλυσεν ἐπὶ γάμον ὁρμῆσαι τὸν Πρόκλον. τὰ δὲ πρὸς θεὸν εὐσεβὴς οὕτω καὶ ἱερά, καὶ τὸ ὅλον φάναι θεοφιλής, ὥστε πολλῶν ἐπιφανειῶν ἀξιοῦσθαι. ἡ δὲ Αἰδεσία τοιαύτη ἦν καὶ διεβίω πάντα τὸν βίον ὑπὸ θεοῦ τε καὶ ἀνθρώπων ἀγαπωμένη καὶ ἐπαινουμένη. καὶ ταύτην ἐπίσταμαι γραῦν γυναῖκα, καὶ ἐπ’ αὐτῇ τεθνεώσῃ τὸν ἐπὶ τῷ τάφῳ λέγεσθαι νομιζόμενον ἔπαινον ἐπεδειξάμην ἡρωικοῖς ἔπεσι κεκοσμημένον ἔτι νέος ὢν τότε καὶ κομιδῇ μειράκιον. ταύτης δὲ παῖδες ἀπὸ τοῦ Ἑρμείου νεώτερος μὲν Ἡλιόδωρος, πρεσβύτης δὲ Ἀμμώνιος. οὗτος μὲν οὖν εὐφυέστερος ἦν καὶ φιλομαθέστερος, ὁ δὲ ἁπλούστερος καὶ ἐπιπολαιότερος ἔν τε τοῖς ἤθεσιν ἔν τε τοῖς λόγοις. ἄμφω μὲν γὰρ ἐφιλοσοφησάτην ὑπὸ Πρόκλῳ μετὰ τῆς μητρὸς ὡς αὐτὸν ἀφικομένω παιδαγωγούσης. καὶ ὁ Πρόκλος αὐτοῖς προσεῖχε τὸν νοῦν ἐπιμελέστερον ὡς παισὶν Ἑρμείου, φίλου τε καὶ ἑταίρου ἀνδρός, παισὶ δὲ Αἰδεσίας, τῆς γένει Συριανῷ προσηκούσης καὶ ἅμα σφίσι τὸ τηνικαῦτα παρούσης. ἀφίκετο μὲν δὴ σὺν αὐτοῖς Ἀθήναζε καὶ Ἱέραξ ὁ Συνεσίου ἀδελφός.

αι 80 Αἰδέσιμον: ἀξιοτίμητον, καλόν. ἢ λαμπρόν.

αι 81 Αἰδημόνως: αἰδεσίμως.

αι 82 Αἰδήμων: αἰδέσιμος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αι 83 Αἰδοσύνη: ἐπὶ τῶν ἀποκεκρυμμένων καὶ ἀφανῶν καὶ λανθάνειν βουλομένων.

αι 84 Αἰδοῦμαι· αἰτιατικῇ.

αι 85 Αἰδῶ: τὸ αἰδοῖον, καὶ ἡ σελήνη παρὰ Χαλδαίοις. καὶ ἡ ῥιπὴ παρὰ Λάκωσι. καὶ ἡ τροφὸς τῆς Ἀθηνᾶς, καὶ ὁ βωμὸς ὁ ἐν τῇ ἀκροπόλει.

αι 86 Αἰδώς: ἡ ἐπιτιμία. καὶ παροιμία· Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ προΐκτῃ. ἐπὶ τῶν δι' ἐπιείκειαν βλαπτομένων. Ὅμηρος. Ἡσίοδος· αἰδὼς δὲ κεχρημένον ἄνδρα κομίζει. καὶ ἑτέρα παροιμία· Αἰδὼς ἐν ὀφθαλμοῖς. παρόσον οἱ κεκακωμένοι τοὺς ὀφθαλμοὺς οὐκ αἰδοῦνται. ἢ ὅτι τοὺς παρόντας ὁρῶντες αἰδοῦνται μᾶλλον οἱ ἄνθρωποι ἢ τοὺς ἀπόντας. ἡ αἰτιατικὴ τὴν αἰδῶ.

αι 87 Αἰδοῖ εἴκων: αἰδούμενος. καὶ χρυσοῦν στέφανον ἐπέβαλεν αἰδοῖ τοῦτο δρῶν τῆς περὶ τὸν Μάρκελλον ἀρετῆς.

αι 88 Αἰδοῖον: τὸ μόριον. ὃ καὶ ἀναγκαῖον πρός τινων καλεῖται· ἐπεὶ τῆς ἀνάγκης ἐστὶ συμβόλαιον. ὅτι ὁ μεγάλα ἔχων αἰδοῖα ἀνδροσάθων ἐλέγετο.

αι 89 Αἰδοῖος: ὁ αἰδοῦς καὶ ἐντροπῆς ἄξιος. Δαμάσκιος· ὁ δὲ Ἰσίδωρος ἐξεπλήττετο ὁρῶν τὸν Πρόκλον αἰδοῖόν τε καὶ δεινὸν ἰδεῖν, αὐτὸ δοκῶν ἐκεῖνο ὁρᾶν τὸ φιλοσοφίας τῷ ὄντι πρόσωπον.

αι 90 Αἴδυλος: ὁ θρασύς.

αι 91 Αἲ αἴ· αἲ αἴ, τίς ἂν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς; ὁ Αἴας φησίν. νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ καὶ τρίς. τοῦτο ἀρχαιότροπόν ἐστι, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. καλῶς μὲν οὖν πράττων οὐκ ἂν ἐμνήσθη τοῦ ὀνόματος, ἐν συμφορᾷ δὲ ὤν.

αι 92 Αἰαία: νῆσος.

αι 93 Αἰαιοί: οἱ σύγγαμβροι.

αι 94 Αἱ ἐμαὶ πόλεις. αἱ πόλεις μου.

αι 95 Αἰένυπνος: ὁ θάνατος, ὁ ἀεὶ κοιμώμενος. ὑφ' ἓν δὲ ἀναγνωστέον. Σοφοκλῆς· σέ τοι κικλήσκω τὴν αἰένυπνον. ἀείυπνος δὲ ὁ ἀεὶ κοιμώμενος.

αι 96 Αἴεσχος: ὁ τῆς δάφνης κλάδος.

αι 97 Αἰετός: τὸ ὄρνεον. Πισίδης φησίν· οἷς οὔτε δίψης ἐστὶν ἥττων ἡ φύσις οὐδ' αὖ κονίστρας ἐνδεὴς ἡ στερρότης, ἀλλ' εἰσὶ δίψης καὶ κρύους ἀνώτεροι.

αι 98 Αἰετὸς ἐν νεφέλαις: ἐπὶ τῶν δυσαλώτων. παρόσον αἰετὸς ἐν νεφέλαις ὢν οὐχ ἁλίσκεται.

αι 99 Αἰζηός: ὁ ἀκμάζων.

αι 100 Αἰζήρ: ὄνομα κύριον.

αι 101 Αἰεί: ἀντὶ τοῦ ἀεί. Αἰεί με τοιοῦτοι πολέμιοι διώκοιεν· ἐπὶ τῶν εὐκαταφρονήτων. καὶ αὖθις· αἰεὶ γὰρ ἡ γυνή ς' ἔχει διὰ στόμα. ἀντὶ τοῦ διὰ στόματος. κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ τουτὶ γένοιτο, φησί.

αι 102 Αἰεὶ δὲ γέροντι νέαν ποτιβάλλεο κούρην.

αι 103 Αἰεὶ ἐστώ: Ἀντιφῶν τὴν ἀϊδιότητα καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι. ὥσπερ καὶ εὐεστὼ ἡ εὐδαιμονία καλεῖται. ἡ λέξις Διογενειανοῦ ἐν Ἀληθείας δευτέρῳ τοῦ Ἀντιφῶντος.

αι 104 Αἰεὶ φέρει τι Λιβύη κακόν: ἐπὶ τῶν κακούργων καὶ ἀεί τι κακὸν ἐξευρισκόντων νεώτερον. παρόσον ἡ Λιβύη πολυποικιλώτατα εἴωθε φέρειν θηρία.

αι 105 Αἰήτης: ὄνομα κύριον. καὶ Αἰήτειον ἔπος.

αι 106

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰθάλη: σποδός, τέφρα, τὸ ἐκ καμίνου μέλαν. ἢ Αἰθάλη, εἶδος καπνοῦ πεπυκνωμένου. Αἰθάλη λέγεται καὶ κονιορτός. ἀσκοῦ πληρώσας κονιορτοῦ κατὰ τὴν συμπλοκὴν ἐκέλευσε τὰ ταμιεῖα τῆς αἰθάλης μαχαιριδίοις διατιτρᾶν. ἤγουν διατορεῖν, διακόπτειν.

αι 107 Αἰθαλείδης· δῆμός ἐστιν Αἰθαλεῖδαι τῆς Λεοντίδος φυλῆς, ἧς ὁ φυλέτης Αἰθαλείδης.

αι 108 Αἰθαλόεν: κεκαυμένον.

αι 109 Αἰθαλόεις θεός: ὁ Ἥφαιστος, ὡς χαλκεύς. ὁ αὐτὸς δὲ καὶ κλυτοτέχνης λέγεται, ὡς ἔνδοξον ἔχων τὴν χαλκευτικήν.

αι 110 Αἰθαλοκομπίαις: καπνοῖς καὶ ψευδολογίαις.

αι 111 Αἴθαλος: ὄνομα κύριον, καὶ τόπος.

αι 112 Αἰθαλώδης: σκοτώδης.

αι 113 Αἴθε: εἴθε.

αι 114 Αἰθέρα νήνεμον ἐρέσσεις: ἐπὶ τῶν μάτην πονούντων.

αι 115 Αἰθέριον ὕψος: τὸ τοῦ αἰθέρος. καὶ Αἰθέριος, ὁ ἐν τῷ αἰθέρι.

αι 116 Αἰθέριος: ἐπῶν ποιητής. ἔγραψε διάφορα, καὶ Ἐπιθαλάμιον δι’ ἐπῶν εἰς Σιμπλίκιον τὸν ἴδιον ἀδελφόν.

αι 117 Αἰθεροβατεῖν: εἰς τὸν αἰθέρα βαίνειν. καὶ ὁ δοκῶν αἰθεροβατεῖν καὶ αὐτῆς ἧφθαι τῆς οὐρανίας ἁψῖδος καὶ συμπεριπολεῖν τοῖς ἄστροις ἠγνόησε τὸ κρεουργηθῆναι, καὶ ὡς μύσος ἐκριφῆναι.

αι 118 Αἴθεσι: λαμπροῖς.

αι 119 Αἴθειν: καίειν. ὡς δὲ ἐνέβαλεν εἰς τὴν πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν.

αι 120 Αἴθη: ὄνομα θηλείας ἵππου. Ὅμηρος· Αἴθην τὴν Ἀγαμεμνονέην.

αι 121 Αἰθήρ: ὁ ἐν ὕψει ἀήρ, ὁ ἐπάνω τοῦ ἀέρος καιόμενος ἐκ τοῦ ἡλίου.

αι 122 Αἰθὴρ θηλυκῶς Ὅμηρος· αἰθέρος ἐκ δίης. καὶ Πίνδαρος· φρήμας δι’ αἰθέρος. διότι πυρώδης ὢν οὐ τρέφει. καὶ αὖθις· ἀστεροειδέα νῶτα διφρεύους’ αἰθέρος ἱερᾶς.

αι 123 Αἴθικες: ὄνομα ἔθνους.

αι 124 Αἰθιόλας: ὄνομα κύριον.

αι 125 Αἰθίοπα σμήχειν: ἐπὶ τῶν μάτην πονούντων.

αι 126 Αἰθιοπεὺς καὶ Αἰθιοπῆας.

αι 127 Αἰθιοπία: χώρα.

αι 128 Αἰθιόπιον: τῆς Εὐβοίας ἐστὶ χωρίον.

αι 129 Αἰθίοψ: ὁ μέλας. καὶ ζήτει ἐν τῷ ἁπλῷ λόγῳ.

αι 130 Αἴθλη: ἡ Χίος.

αι 131 Αἰθόμενος: καιόμενος.

αι 132 Αἴθοπα: ἀντὶ τοῦ διάπυρον, φλεγμαίνουσαν. ἐν Ἐπιγράμμασι· μέχρι καὶ αὐτοῦ βλέμματος ἐνστήσας αἴθοπα βασκανίην.

αι 133 Αἴθοπος: διαπύρου. θερμοῦ ἐν ταῖς μάχαις. ὁ δὲ Σοφοκλῆς ἐπὶ τοῦ παρακεκινηκότος ἐχρήσατο. οἵαν ἐδήλωσας ἀνδρὸς αἴθοπος ἀγγελίαν ἄτλατον οὐδὲ φευκτόν.

αι 134 Αἶθος: ὁ ἐκκαύστης.

αι 135 Αἰθός: ὁ καιόμενος.

αι 136 Αἴθ’ ὄφελε· παραλλήλως τὰ εὐκτικὰ κείμενα μόρια κατὰ τοῦτο διαφέρουσιν, ὅτι τὸ μέν ἐστιν ἀπαρέμφατον πρόσωπον, τὸ δὲ ὄφελον τὰ πρόσωπα ἐμφαίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αι 137 Αἴθ’ ὄφελες θανεῖν ἢ πανύστατον ὀρχήσασθαι: ἐπειδὴ τὴν γλαῦκα ὅταν λάβωσι τὰ παιδία περιάγουσιν· ἡ δὲ μὴ βλέπουσα δι’ ἡμέρας ὥσπερ ὀρχεῖται. ἢ ὅταν πληγῇ τελευτῶσα στρέφεται ὥσπερ ὀρχουμένη. Καλλίμαχος ἐν Ἑκάλῃ λέγει περὶ αὐτῆς.

αι 138 Αἴθοψ: ὁ μέλας.

αι 139 Αἴθουσα: ἡ στοά.

αι 140 Αἴθω: τὸ καίω.

αι 141 Αἰθώ: ὄνομα πόλεως.

αι 142 Αἴθων: ὁ βίαιος λιμός. ἀπὸ Αἴθωνος Ἡλίου τινός· ὃς τὸ Δήμητρος ἄλσος κατέκοψε καὶ τιμωρίαν ὑπέστη ἀξίαν καὶ διὰ τοῦτο ἐλίμωττεν ἀεί.

αι 143 Αἰθωνίδης: ὄνομα κύριον.

αι 144 Αἴθρανος: τὸ γυναικεῖον ὑποπόδιον, ἐν ᾧ ὡς δι’ ὀπῆς αὐτῶν θερμαίνονται τοῖς κάρβωσιν.

αι 145 Αἴθρει: χειμάζει.

αι 146 Αἴθρη: ὄνομα κύριον.

αι 147 Αἰθρηγενέτης.

αι 148 Αἰθρία: ἔξω ὑπὸ τὸν ἀέρα. λέγεται δὲ καὶ ὕπαιθρον. καὶ ἡ εὐδία. Ξενοφῶν· οἱ δὲ τὰς οἰκίας ἐμπρήσαντες δίκην ἔδοσαν ὑπὸ τῆς αἰθρίας κακῶς σκηνοῦντες.

αι 149 Αἴθρια στέφη: τὰ ἐξ Ὑπερβορέων κομιζόμενα, ὡς ἀεὶ ἐν ὑπαίθρῳ τιθέμενα.

αι 150 Αἰθριαίνης: ὄνομα κύριον.

αι 151 Αἴθριξ: ὄνομα κύριον.

αι 152 Αἴθριον· καὶ Αἴθριος, ὁ ὑπὸ τὸν ἀέρα.

αι 153 Αἴθριππος: ὁ ταχύς.

αι 154 Αἶθρον: τὸ καῦμα.

αι 155 Αἴθυια: ἡ ἴγδη. καὶ ἡ θαλαττία ὄρνις. αἰθυίης ὑπὸ πτερύγεσσιν ἔλυσαν πείσματα νηός. αἱ γὰρ αἴθυιαι ὅταν δύνωσι, κάκιστος οἰωνὸς ὑπάρχει τοῖς πλέουσι. τὴν δὲ αἰτίαν λέγουσιν, ὅτι γαλήνης οὔσης οὐ τολμᾷ προϊέναι φοβουμένη τὰ θαλάσσια ζῷα, χειμῶνα δὲ προορωμένη προέρχεται, τῶν ἄλλων ζῴων ἐν ταῖς καταδύσεσιν ὄντων.

αι 156 Αἴθυγμα: ὅρμημα. ὁ δὲ βασιλείαν ὠνειροπόλει καὶ αἴθυγμα ἀμηγέπη καὶ φαντασίαν τινὰ ἀπετέλει μοναρχίας. ταύτῃ τοι καὶ ἐκποδὼν ἐγένετο τῷ ἀνδρὶ ὑπάτῳ γενέσθαι.

αι 157 Αἴθυγμα: ἐπὶ πυρός.

αι 158 Αἰθύξασα: κινήσασα. αὐτόθεν ἐξ εὐνῆς ὀλίγον ῥάκος αἰθύξασα.

αι 159 Αἰθύσσω: τὸ θερμαίνω, ἐκτείνω. οὐδ’ ὑπὸ μαρμαρυγαῖς θαλερώπιδος Ἠριγενείης ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων. καὶ Αἰθύσσων, διαλάμπων. εἰς Ἀνακρέοντος ἐπίγραμμα· αἰθύσσων λιπαρῆς ἄνθος ὕπερθε κόμης.

αι 160 Αἰκάλλει: θωπεύει, κινεῖ, προτρέπεται. τὴν βασιλέως θεραπεύων καὶ ὑπαικάλλων δάφνην. λέγεται καὶ ὑπαικάλλειν. τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην.

αι 161 Αἰκάλλει: σαίνει. αἰκάλλει τι καρδίαν ἐμήν.

αι 162 Αἰκανός: ὄνομα ὄρους.

αι 163 Αἰκατερίνα: ὄνομα κύριον.

αι 164 Αἴ κέν πως: ἐάν πως.

αι 165

Αἴ κε πάθοι τά κ’ ἔρεξε, δίκη δ’ ἰθεῖα γένοιτο: χρησμὸς δοθεὶς περὶ τῶν Αὐρηλιανοῦ φόνων καὶ ἀδικιῶν. Ἀριστοφάνης· Ἀθηναίων πᾶς τις εἰσιὼν κέκραγε πρὸς τοὺς οἰκέτας ζητεῖ τε· ποῦ ’στι μ’ ἡ χύτρα; τίς τὴν κεφαλὴν ἀπεδήδοκε τῆς μαινίδος; τὸ τρυβλίον τὸ περυσινὸν τέθνηκέ μοι; ποῦ τὸ σκόροδον τὸ χθεσινόν; τίς τὰς ἐλάας παρέτραγε; ταῦτα μικροπρεπῆ πάντα. τὸ δὲ τέθνηκεν, ἀντὶ τοῦ κέκλασται.

αι 166 Αἴ κε ποθί: ἐάν ποτε.

αι 167 Αἰκία: ὕβρις ἔμπληγος. καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἰσομοιρία τῶν κακῶν ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ’ ὣς ῥᾳδία οὐδ’ ἐν τῷ παρόντι ἐδοξάζετο.

αι 168 Αἰκία: ἡ τρῶσις.

αι 169 Αἰκίας: εἶδος δίκης ἐστὶν ἰδιωτικῆς ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον, ἀλλ’ ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικασταὶ ἐπικρίνουσιν.

αι 170 Αἰκίζει: κακοῖ, τύπτει, καθυβρίζει.

αι 171 Αἰκισμός.

αι 172 Αἰκίστρια: ἡ αἰκίζουσα. καὶ Αἰκίστριος.

αι 173 Αἶκλος: ὄνομα κύριον.

αι 174 Αἶκνον: τὸ σύνδειπνον.

αι 175 Αἰκόλος: ὄνομα κύριον. καὶ ὄνομα ὄρους.

αι 176 Αἱ λαχάνων προσθῆκαι: ἐπὶ τῶν μὴ μίαν ὄνησιν ἐμποιούντων.

αι 177 Αἰλία: ὄνομα πόλεως. ἡ Ἱερουσαλήμ.

αι 178 Αἰλιανός, ἀπὸ Πραινεστοῦ τῆς Ἰταλίας, ἀρχιερεὺς καὶ σοφιστής, ὁ χρηματίσας Κλαύδιος· ὃς ἐπεκλήθη μελίγλωσσος ἢ μελίφθογγος· καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ ἐπὶ τῶν μετὰ Ἀδριανὸν χρόνων.

αι 179 Αἰλιανός· οὗτος ἐπὶ Οὐάλεντος ἐστρατήγησεν. ἦν δὲ ἐκ Συέδρων, ἐλεύθερος ἄγαν, καὶ ἀνεστηκὼς ἐκ παιδὸς τὴν ψυχὴν γενόμενος ἀφθόνως ἐχορηγήθη τὰ περὶ τοῦ σώματος· τὰ γὰρ ὄργανα συνεπεπήγει καὶ ἐνέτρεχε τοῖς τῆς ψυχῆς κινήμασιν, ὥσθ’ ἅμα τι πρᾶξαι ἐδέδοκτο καὶ ἐπέπρακτο. καὶ παιδείας οὔτε ἐντὸς ἦν οὔτε ἄμοιρος, ἀλλ’ ἦν ἀγροικότερος, ὅσον θυμοειδέστερος, καὶ τὸ θηριῶδες τοῦ θυμοῦ καὶ ἄγριον οὐκ ἐξημέρωτο καὶ κατείργαστο ὑπὸ τοῦ λόγου.

αι 180 Αἴλινον: εἶδος θρήνου καὶ ᾠδῆς. 〈αἴλινον〉 ὠκυμόρῳ με λεχωίδι τοῦτο κεκόφθαι τῆς Διοδωρείου γράμμα λέγει σοφίης.

αι 181 Αἴλινον: κοινῶς καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου ἐστίν· ἀπὸ Αἰλίνου τοῦ Καλλιόπης.

αι 182 Αἴλινος: ὀδυρτική, θρηνητική. οὐκ ἐμάλαξε τεὸν θράσος αἴλινος αὐδή.

αι 183 Αἴλιος Ἀδριανός· ζήτει ἐν τῷ βδέλυγμα ἐρημώσεως.

αι 184 Αἴλιος: ὄνομα ἐθνικόν.

αι 185 Αἴλουρος: τὸ ζῷον.

αι 186 Αἷμα: τὸ ζωτικὸν τοῦ ἀνθρώπου.

αι 187 Αἷμα: καὶ τὸ γένος. ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι. καὶ τὸ ἐν ἡμῖν τεσσάρων χυμῶν τὸ καιριώτατον. Σοφοκλῆς δ’ ἐν Ἠλέκτρᾳ τὴν μάχαιραν αἷμά φησιν.

αι 188 Αἱμαλέας· ὀκτὼ θώρηκας, τόσσας δ’ αἱμαλέας κοπίδας.

αι 189

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἱμασιά· τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ παρὰ Ἡροδότῳ· ἥν τινες ἅρπεζον. καὶ Ἴωνες οὕτω χρῶνται. δηλοῖ δὲ Ἡρόδοτος ἐν τῇ πρώτῃ. φαύλως δὲ οἱ πολλοὶ τὸ χωρίον τοῦτο αἱμασιῶν περιεχόμενον αἱμασιὰν καλοῦσιν.

αι 190 Αἱμασιαῖς: τοῖς φραγμοῖς κυρίως τοῖς ἠκανθωμένοις.

αι 191 Αἱμάτη.

αι 192 Αἵματι κλαίειν: καθ’ ὑπερβολήν, οὐ δάκρυσιν. ἐφ’ ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι. οὐδ’ ἂν πείσῃ αὐτόν, οὐδ’ αἵματι κλαίων. λέγουσι δὲ καί, οὐδ’ ἂν αἵματι στένων πείσειεν.

αι 193 Αἱματόεντα: αἱματώδη.

αι 194 Αἱματοπότης: ὁ φονεύς. οἰκείως δὲ ἐπὶ τοῦ δράκοντος, αἱματοποτεῖ γὰρ τὸ ζῷον, καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου· τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος καὶ πιμελῆς καὶ ἀλφίτων φυρῶντες πληροῦσιν. αἱματοπότην οὖν τὸν τὸ αἷμα καταναλίσκοντα καὶ ὥσπερ ἐκροφοῦντα. διὰ τοῦ ω μεγάλου ὡς ὑδροπώτης.

αι 195 Αἵματος ἆσαι Ἄρηα: αἵματος κορέσαι. ἢ αἵματι μολῦναι καὶ χρῶσαι. ἄση γὰρ ἡ ῥυπαρία. ὅθεν καὶ ἀσάμινθος, ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐλούοντο. ὅ ἐστι τὴν ῥυπαρίαν μειοῦντες.

αι 196 Αἱματωπός: ὁ τοὺς ὦπας ᾑμαγμένους ἔχων.

αι 197 Αἱμηρόν: αἵματος πλῆρες.

αι 198 Αἰμιλία, Σκιπίωνος τοῦ μεγάλου γυνή· ᾗ συνέβαινε μεγαλοπρεπῆ τὴν περίστασιν ἔχειν ἐν ταῖς γυναικείαις ἐξόδοις, ἅτε συνηκμακυῖαν τῷ βίῳ καὶ τῇ τύχῃ τῇ Σκιπίωνος· χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπήνην κόσμου καὶ τὰ κανᾶ καὶ τὰ ποτήρια καὶ τἄλλα τὰ πρὸς θυσίαν ἀργυρᾶ καὶ χρυσᾶ πάντα συνεξηκολούθει κατὰ τὰς ἐπιφανεῖς ἐξόδους αὐτῇ, τό τε τῶν παιδισκῶν καὶ τὸ τῶν οἰκετῶν τῶν παρεπομένων πλῆθος ἀκόλουθον ἦν τούτοις. ταύτην δὴ τὴν περικοπὴν ἅπασαν (τουτέστι τὴν ὕπαρξιν) εὐθέως μετὰ τὸν Αἰμιλίας τάφον ἐδωρήσατο τῇ μητρί, ᾗ συνέβαινε κεχωρίσθαι μὲν ἀπὸ τοῦ Λευκίου πρότερον ἤδη πολλοῖς χρόνοις, τὴν δὲ τοῦ βίου χορηγίαν ἐλλιπεστέραν ἔχειν τῆς κατὰ τὴν εὐγένειαν φαντασίας. διὸ τὸν πρὸ τοῦ χρόνον ἀνακεχωρηκυίας αὐτῆς ἐκ τῶν ἐπισήμων ἐξόδων, τότε κατὰ τύχην οὔσης ἐπιφανοῦς καὶ πανδήμου θυσίας, ἐκπορευομένης αὐτῆς ἐν τῇ τῆς Αἰμιλίας περικοπῇ καὶ χορηγίᾳ, καὶ πρὸς τοῖς ἄλλοις καὶ τῶν ὀρεωκόμων καὶ τοῦ ζεύγους καὶ τῆς ἀπήνης τῆς αὐτῆς ὑπαρχούσης, συνέβη τὰς γυναῖκας θεωμένας τὸ γεγονὸς ἐκπλήττεσθαι τὴν Σκιπίωνος χρηστότητα καὶ μεγαλοψυχίαν.

αι 199 Αἰμιλιανός: ὄνομα κύριον.

αι 200 Αἰμίλιος: ὁ ὕπατος, ὁ τὸν Περσέα τὸν τῶν Μακεδόνων βασιλέα χειρωσάμενος, ἀνὴρ ἦν σώφρων καὶ φέρειν εὐπραγίας εἰδὼς καὶ ἱκανὸς ὤν. ἅμα γὰρ βασιλικῇ θεραπείᾳ τὸν ἄνδρα ὑπεδέξατο, πεσεῖν τε βουληθέντα πρὸς τοῖς γόνασιν αὐτοῦ ἀναστήσας καὶ ἐπειπών, ἄνθρωπε, τί μου καταβάλλεις τὸ κατόρθωμα; ἐπί τινος βασιλικοῦ θρόνου πάρεδρον ἑαυτῷ κατεστήσατο. Μακεδόνας δὲ καὶ Ἰλλυριοὺς τῆς πρόσθεν δουλείας ἀπηλλαγμένους ἐλευθέρους εἶναι καὶ αὐτονόμους προστάττει τὸ συνέδριον δασμόν τε φέρειν βραχὺν καὶ πολλῷ τινι τοῦ πάλαι κομιζομένου τοῖς ἑκατέρων βασιλεῦσι καταδεέστερον, ὡς ἂν ὁμολογοῖτο πρὸς ἁπάντων, ὅτι Ῥωμαίους τῶν ὑπαρξάντων ἐς αὐτοὺς ἀδικημάτων ἤπερ ἐφέσει τῆς Μακεδονικῆς ἡγεμονίας ἐξενηνοχέναι τὸν πόλεμον. ὁ γοῦν Αἰμίλιος ἐς τὴν ἁπάντων τῶν παρόντων ἀκοὴν (ἦσαν δὲ πολλοὶ καὶ ἐκ πολλῶν ἐθνῶν συνειλεγμένοι) τὸ τῆς βουλῆς ἐξενεγκὼν δόγμα ἐλευθέρους εἶναι τοὺς ἄνδρας ἀπεφήνατο· τούς τε πρὸς αὐτὸν ἀφικομένους τῶν Εὐρωπαίων πρέσβεις εἱστία πολυτελῶς τῇ λαμπρότητι τοῦ συμποσίου φιλοτιμούμενος. ἔλεγε γὰρ δὴ τῶν αὐτῶν

ἀνδρῶν εἶναι, τῷ τε πολέμῳ κρατεῖν καὶ ταῖς παρασκευαῖς τῶν συμποσίων ἐπιμελεῖς τε καὶ φιλοτίμους φαίνεσθαι.

αι 201 Αἵμιλλος: ὄνομα κύριον.

αι 202 Αἵμνιον: τὸ ἄγγος. τὸ αἱμοδόχον.

αι 203 Αἱμοβόρος: ὁ αἷμα ἐσθίων.

αι 204 Αἱμονία: ὄνομα κύριον.

αι 205 Αἱμόνιος, Ῥωμαῖος, κατὰ τὸν Περσῶν πρὸς Ἀθηναίους πόλεμον τραυματίας δραμὼν εἰς Ἀθήνας καὶ εἰς τοὺς πρυτάνεις εἰσελθὼν εἶπεν αὐτοῖς· χαίρετε καὶ χαίρομεν. καὶ πεσὼν ἀπέθανεν.

αι 206 Αἱμόρρους: γένος ἔχεως ἐν τοῖς πετρώδεσι χηραμοῖς ἔχον τὰς διατριβάς.

αι 207 Αἱμοπότης: ὁ φονεύς.

αι 208 Αἱμωδεῖν: τὸ αἱμωδιᾶν· καὶ τοὺς ὀδόντας ὀδυνᾶσθαι.

αι 209 Αἱμωδία.

αι 210 Αἱμωπούς: αἱματοχαρεῖς. ἃ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους.

αι 211 Αἱμύλα. καὶ Αἱμύλος, κόλαξ, ἀπατεών. τῶν μέν τινες αἱμύλων καὶ κομψῶν οἰήσονταί με παίζειν. παροξυτόνως τὸ αἱμύλος, Τερτύλος, Ῥωμύλος, Αἰσχύλος. καὶ Αἱμυλώτατος.

αι 212 Αἱμύλιος: ὄνομα κύριον.

αι 213 Αἰναρέτη. καὶ Αἰναρέτης, ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένος.

αι 214 Αἰνέας: ὄνομα κύριον.

αι 215 Αἰνείας· οὗτος ἔγραψε περὶ πυρσῶν, ὥς φησι Πολύβιος, καὶ περὶ στρατηγημάτων ὑπόμνημα.

αι 216 Αἰνειάδες: οἱ ἐκ τοῦ Αἰνείου καταγόμενοι. Αἰνειᾶνες δὲ ὄνομα ἔθνους. καὶ Αἰνιεῖς, πληθυντικῶς.

αι 217 Αἰνεῖτε· αἰτιατικῇ.

αι 218 Αἰνή: ἡ δεινή. Αἴνη δὲ τὸ τῆς Σικελίας ὄρος.

αι 219 Αἱ νῆτται: αἱ νῆσσαι. Αἰνῖται δὲ οἱ ἀπὸ τῆς Αἴνου.

αι 220 Αἰνίζω καὶ Αἰνίσσω: τὸ ἐν παραβολαῖς λαλῶ.

αι 221 Αἰνίγματα: ζητήματα.

αι 222 Αἴνικος, Ἀθηναῖος, κωμικός. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ Ἄντεια. ἔστι δὲ καὶ Αἴνιος σοφιστής, οὗτινος βιβλία αἱ Μετάβολοι.

αι 223 Αἰνικτά: ἄγνωστα, κεκρυμμένα. ὡς πάντα γ’ αἰνικτὰ κἀσαφῆ μοι λέγεις.

αι 224 Αἴνιον καὶ Αἰνίους: πόλεις. συνέβαινε δὲ τοὺς Αἰνίους πάλαι μὲν στασιάζειν, προσφάτως δὲ ἀπονεύειν τοὺς μὲν πρὸς Εὐμένη, τοὺς δὲ πρὸς Μακεδονίαν.

αι 225 Αἶνος: πόλις ἐστὶ τῆς Θρᾴκης, ἣν Ἕλληνες τὰ πρῶτα Ἀλωπεκοννησίοις κατῴκισαν, ὕστερον δὲ ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγάγοντο ἐποίκους. καὶ ἐξ αὐτοῦ Αἰνίτης, ὁ πολίτης.

αι 226 Αἰνίττεται: ἀντὶ τοῦ δηλοῖ. Ἀριστοφάνης· δοκέω μὲν ὡς Κλέωνα τοῦτ’ αἰνίττεται. καὶ αἰνίττεσθαι δὲ τὸ λεληθότως περί τινος λέγειν.

αι 227 Αἰνοβίας: πολεμικός. Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα πᾶσ’ ἐπὶ πυρκαϊῆς ἥδ’ ἐβόησε πόλις.

αι 228 Αἰνόθεν αἰνῶς: λίαν δεινῶς· ἐκ δεινοῦ· τὸ γὰρ αἰνόθεν γενική.

αι 229 Αἰνόμορος: ὁ κακόμορος.

αι 230 Αἶνος: λόγος παροιμιώδης. ἢ ἔπαινος, καὶ ἐγκώμιον. αἶνός τίς ἐστιν· ὡς ἀνήρ τε καὶ οὐκ ἀνήρ, ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ’ ὅμως, ἐπὶ ξύλου με κοὐ ξύλου καθημένην, λίθῳ τε κοὐ λίθῳ με βαλὼν διώλεσεν. εὐνοῦχος, νυκτερίς, νάρθηξ, κίσσηρις. αἶνος διαφέρει μύθου τῷ τὸν αἶνον μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά. βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν· ὅπερ καὶ Ἡσίοδος φαίνεται πεποιηκώς. Αἰνὸς δὲ ὀξυτόνως ὁ δεινὸς ἄνθρωπος. καὶ Αἶνος, ἔπαινος, ὕμνος, δόξα.

αι 231 Αἰνῶ: παραιτοῦμαι. Σοφοκλῆς. καὶ ἐπαινῶ. καὶ Αἰνῶ σε.

αι 232 Αἰνών· ἀπὸ τοῦ εὐαγγελίου. ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλήμ.

αι 233 Αἰνοίην: ἀντὶ τοῦ συγκατένευσα.

αι 234 Αἴνυτο: ἀφῄρητο, ἐλάμβανε. καὶ Αἴνυσθαι ὁμοίως.

αι 235 Αἴξ, αἰγός. καὶ παροιμία· Ἡ αἲξ δοῦσα τὴν μάχαιραν. Κορινθίων γὰρ Ἥρᾳ Ἀκραίᾳ θυόντων, ἣν λέγεται ἱδρῦσαι Μήδειαν, οἱ ἐν τῇ παρόχῳ μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν ἐσκήπτοντο ἐπιλελῆσθαι. ἡ δὲ αἲξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευσεν.

αι 236 Αἲξ τὴν μάχαιραν.

αι 237 Αἲξ οὐρανία: τὰ τοῦ λευκοῦ κυάμου γένη, ᾧ ἐπεψήφιζον καὶ ἐχειροτόνουν. ὁ δὲ Κρατῖνος καθάπερ τοῦ Διὸς αἶγα Ἀμαλθείαν τροφόν, οὕτως καὶ τῶν δωροδοκούντων αἶγα οὐρανίαν. οἱ δὲ τὰ εἰς τὸ ἀργυρίζεσθαί τισιν ἀφθόνως ἀφορμὴν παρέχοντα οὕτως εἰώθασι λέγειν κωμῳδοῦντες καὶ καταλαμβάνειν. Αἲξ οὖν οὐρανία, ἐπὶ τῶν τυγχανόντων ὅσων βούλονται. τὴν γὰρ αἶγα τὴν Διὸς τροφὸν κατηστερίσθαι φασί. καί φασι τὸν ἐπιφθασάμενον ἐπιτέλλουσαν αὐτὴν ἐπιτυγχάνειν ὅσα ἂν εὔξηται.

αι 238 Αἲξ Σκυρία: ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων· φασὶ γὰρ αὐτὰς πολὺ γάλα ἐχούσας, ἐπειδὰν ἀμελχθῶσιν, ἀνατρέπειν τὸ ἀγγεῖον.

αι 239 Αἰξωνεύεσθαι: τὸ κατηγορεῖν βλασφημοῦντα. μετῆκται δὲ ἀπὸ τοῦ δήμου τῶν Αἰξωνέων· βλάσφημοι γὰρ κωμῳδοῦνται.

αι 240 Αἰξωνεύς: ὁ βλάσφημος. σημαίνει δὲ καὶ τὸν τὰς αἶγας ὠνούμενον.

αι 241 Αἰξωνεία: ἡ βλασφημία.

αι 242 Αἰξωνής: δῆμός ἐστι φυλῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι. ἀφ’ οὗ καὶ τὸ κακῶς λέγεσθαι αἰξωνεύεσθαι ἔλεγον.

αι 243 Αἰξωνίδα τρίγλην· δοκοῦσιν αὗται κάλλισται εἶναι καὶ τῶν ἄλλων διαφέρειν ταύτῃ.

αι 244 Αἰόλαν: πηδητικήν. αἰόλαν χορείαν ἐφθεγξάμεθα βρεκεκέξ.

αι 245 Αἰόλαν: σκοτεινήν.

αι 246 Αἰόλλει: ποικίλλει, στρέφει, πλανᾷ.

αι 247 Αἰόλη νύξ: ἤτοι μέλαινα, ἢ ποικίλη διὰ τὰ ἄστρα.

αι 248 Αἰόλιος: ὄνομα κύριον.

αι 249 Αἰολοκένταυρος.

αι 250 Αἰολομίτρης: ποικίλην ἔχων μίτραν.

αι 251 Αἰολόπωλος: ποικίλους ἵππους ἔχων.

αι 252 Αἴολος: ὄνομα κύριον.

αι 253 Αἰόλος: εὐκίνητος, ποικίλος. ἢ ταχύς· παρὰ τὴν ἄελλαν, ἥτις ἀπὸ τοῦ ἄειν καὶ εἱλεῖν.

αι 254 Αἰονῶ: τὸ βρέχω.

αι 255 Αἰών: ὁ νωτιαῖος μυελός· ἢ χρόνος ἀΐδιος. σημαίνει δὲ ε′. Αἰὼν καὶ ὁ παρὼν βίος. Δαβίδ· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

αι 256 Αἰῶνα: ζωήν, βίον. Σοφοκλῆς· ὡς οὐκ ἂν αἰῶν’ ἐκμάθοις βροτῶν, πρὶν ἂν θάνῃ τις, οὔτ’ εἰ χρηστός, οὔτ’ εἰ κακός. ἐγὼ δὲ τὸν ἐμὸν καὶ πρὶν εἰς ᾄδου μολεῖν, ἔξοιδ’ ἔχουσα δυστυχῆ τε καὶ βαρύν.

αι 257 Αἰωνίζει: διὰ παντὸς μένει.

αι 258 Αἰωνίου μακαριότητος.

αι 259 Αἰωνοάριος: ὁ Ἰαννουάριος μήν. οὕτως Λογγῖνος αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

αι 260 Αἰῶνος ἄγαλμα· ζήτει ἐν τῷ διαγνώμων.

αι 261 Αἰώρα: ἀγχόνη, ὕψωσις, ἔπαρσις. ὡς δ’ οὐκ ἐφικνεῖτ’, ἀλλ’ ἔκαμνε πηδῶσα, οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας, παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην.

αι 262 Αἰωρηθέντες: ἀντὶ τοῦ μετεωρισθέντες.

αι 263 Αἰώρημα.

αι 264 Αἰωρήσεις: κρεμάσεις.

αι 265 Αἰωροῦνται: κρέμανται. εἰς ὃν τὰ τῶν Καρχηδονίων αἰωρεῖτο πράγματα.

αι 266 Ἆιπερ: ὥσπερ.

αι 267 Αἴπει: τῷ ὑψηλῷ. ἡ εὐθεῖα αἶπος οὐδετέρως.

αι 268 Αἴπεια: ὄνομα πόλεως.

αι 269 Αἰπεινή: ὑψηλή. αἰπεινὴν ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι. καὶ Αἰπειναῖς, ὑψηλαῖς, μακραῖς. ἐν Μύθοις· αἰπειναῖς ἐλάταις ἔρισε βατίς· ἡ μὲν ἔειπε καὶ ναῦς καὶ νηοὺς τεμνομένη τελέειν.

αι 270 Αἰπεινός: ὁ χαλεπός.

αι 271 Αἰπήεσσα: ὑψηλή.

αι 272 Αἰπολή.

αι 273 Αἰπόλια: αἰγονόμια. καὶ Αἰπόλος, αἰγονόμος. καὶ Αἰπολῶ· δοτικῇ.

αι 274 Αἰπύ: ὑψηλόν, μέγα. Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον. σὺ δ’ ὁ τὸν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν ἄγγειλον ἄτας τὰς ἐμάς.

αι 275 Αἰπύκερως ἔλαφος: ὑψηλὰ κέρατα ἔχων.

αι 276 Αἰπύς: ὁ ὀλέθριος.

αι 277 Αἰπὺ οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι: μεταφορικῶς ἀντὶ τοῦ δυσπρόσβατον, δυσχερές.

αι 278 Αἶρα: ὁ σῖτος. σημαίνει δὲ καὶ τὴν σφαῖραν. καὶ ὄνομα πόλεως.

αι 279 Αἴρασθαι: προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ· οὐ σῖτον αἴρεσθ’, οὐχ ὕπνου λαχεῖν μέρος.

αι 280 Αἶρε: πρόσφερε. Ὅμηρος· μή μοι οἶνον ἄειρε. καὶ Ἀριστοφάνης· αἶρ’, αἶρε μάζαν ὡς τάχιστα κανθάρῳ.

αι 281 Αἶρε δάκτυλον: παροιμία. τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ. ἐπαίρεσθαι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι. καὶ Πολύβιος· ὁ δὲ προσπεσὼν αἴρεται νίκην εὐτυχεστάτην.

αι 282 Αἰρεθέν: θεληθέν.

αι 283 Αἶρε μασχάλην: ἐπὶ τοῦ ὀρχήσασθαι.

αι 284

Αἶρε πλῆκτρον: τουτέστιν ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων· κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, ἐν οἷς μάχονται· ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, οἱ δὲ πλῆκτρα. πλῆκτρα δέ εἰσι τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων τὰ χαλκᾶ.

αι 285 Αἵρεσις: καταστροφή, κατάλυσις. διὸ καὶ πρώτῳ τῶν ἄλλων ἐπέθεντο δι' ἐπιβουλῆς, ἵνα σφίσι τὸ λεγόμενον ἐξ ἄκρας ἡ αἵρεσις γένηται τῶν θεοφιλῶν καὶ ἀρχαιονόμων ἠθῶν τε καὶ ἐπιτηδευμάτων.

αι 286 Αἵρεσις: ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα ἢ δοκοῦσα ἀκολουθεῖν. Ἱππόβοτος δὲ θʹ φησὶν αἱρέσεις εἶναι τῶν φιλοσόφων καὶ ἀγωγάς· αʹ Μεγαρικήν, Ἐρετριακήν, Κυρηναϊκήν, Ἐπικούρειον, Ἀννικέρειον, Θεοδώρειον, Ζηνώνειον, τὴν καὶ Στωικήν, Ἀκαδημαϊκήν, Περιπατητικήν· οὔτε δὲ Κυνικὴν οὔτε Ἠλιακὴν οὔτε Διαλεκτικήν. τὴν γὰρ Πυρρώνειον οὐδ' οἱ πλείους προσποιοῦνται διὰ τὴν ἀσάφειαν. εἰ γὰρ αἵρεσιν νοοῖμεν πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσαν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις ἡ Πυρρώνειος· οὐ γὰρ ἔχει δόγματα. ἔτι δὲ καὶ Ἐκλεκτή τις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. κριτήρια δέ φησιν εἶναι τἀληθῆ· τὸ μὲν ὡς ὑφ' οὗ γίνεται ἡ κρίσις, τουτέστι τὸ ἡγεμονικόν· τὸ δὲ ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων τήν τε ὕλην καὶ τὸ ποιοῦν, ποίησίν τε καὶ τόπον· ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ καὶ ποίῳ καὶ ἐν ᾧ. τέλος δὲ εἶναι ἐφ' ᾧ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν καὶ τῶν ἐκτός.

αι 287 Αἱρέσιος: ὄνομα κύριον.

αι 288 Αἱρεσιῶτις πολιτεία: ἡ τῶν αἱρετικῶν. ζήτει περὶ αἱρέσεως ἐν τῷ Ἀρειανός.

αι 289 Αἱρετίζω: τὰ τῶν αἱρετικῶν φρονῶ. καὶ αἰτιατικῇ· Αἱρετίζω σημαίνει τὸ προαιροῦμαι. ἐξ οὗ καὶ αἱρετισάμενος. καὶ ᾑρετίσατο.

αι 290 Αἱρετικός. ζήτει ἐν τῷ Ἀπολινάριος.

αι 291 Αἱρετόν: ἐπιθυμητόν. τοῦτο τριχῶς λέγεται· τὸ καλόν, τὸ ἡδύ, τὸ συμφέρον. ᾧ δὴ ταῦτα πάντα ὑπάρχει καὶ διὰ πάντα αἱρετόν, τοῦτο τῶν μὴ πάντα ἐχόντων αἱρετώτερον· οἷον ἡ φρόνησις. καὶ αὖθις· ὁ δὲ Αὐρηλιανὸς ὁ βασιλεὺς μᾶλλον ἀναγκαῖος ἦν στρατηγὸς ἤπερ αἱρετὸς βασιλεύς, ἐν παντὶ καιρῷ δυσχερὴς ὢν καὶ ἀπρόσιτος, ὡς μηδὲ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός.

αι 292 Αἱρετοὶ δικασταί· ζήτει ἐν τῷ Ἀμφικτυόνες.

αι 293 Αἱρετώτερον: προκριτώτερον. οὐκ ἐκ παραλλήλου κεῖται τὸ αἱρετώτερον τοῦ βελτίονος, ἀλλ' ἐπὶ πλεῖον τὸ βέλτιον τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον ἐν τοῖς αἱρετοῖς καὶ μόνοις, τὸ δὲ βέλτιον καὶ ἐν ἄλλοις· καὶ γὰρ ἐν θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς ἡ ζήτησις ἡ τοῦ βελτίονος· ὁ γὰρ ζητῶν ποτέρα βελτίων οὐσία, ἡ κινουμένη ἢ ἀκίνητος, φυσικὸν μεταχειρίζεται πρόβλημα, λογικὸς δὲ ὁ ζητῶν πότερον βέλτιον ἐπαγωγὴ ἢ συλλογισμός, θεωρητικὸς δὲ ὁ ζητῶν πότερον ἡ φρόνησις πρακτικωτέρα ἢ θεωρητικωτέρα.

αι 294 Αἱρεύμενος: ἀφαιρούμενος.

αι 295 Αἱρετρία: πόλις.

αι 296 Αἱρεῖ: ἀναιρεῖ, φονεύει. Σοφοκλῆς· πόλεμος γὰρ οὐδέν' ἄνδρ' ἑκὼν αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.

αι 297 Αἱρεῖ: καταλαμβάνει. καὶ Αἱρεῖν, κατὰ κράτος τι λαμβάνειν, καὶ καταλαμβάνειν.

αι 298 Αἴρειν: αὔξειν. ἢ τράπεζαν παρατιθέναι, ἢ αἴρειν.

αι 299 Αἴρειν ἔξω πόδα πηλοῦ: ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καὶ αἴρειν ἔξω πόδα αἰτίας. Αἴρειν καὶ τὸ προσφέρειν δηλοῖ. αἶρ', αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ. Ἀριστοφάνης Εἰρήνῃ. καὶ μετὰ τῆς προθέσεως Φερεκράτης Πετάλῃ· πρόσαιρε τὸ κανοῦν, εἰ δὲ

βούλει, πρόσφερε. ἐτίθεσαν δὲ τὴν λέξιν καὶ ὡς ἡμεῖς ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ· εἶτ’ εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε· μύρα, στεφάνους ἑτοίμασον, σπονδὰς ποίει. καὶ Συναριστώσαις· ἂν ἔτι πιεῖν μοι δῷ τις. ἀλλ’ ἡ βάρβαρος ἅμα τῇ τραπέζῃ καὶ τὸν οἶνον ᾤχετο ἄρασα ἀφ’ ἡμῶν.

αι 300 Αἱρεῖς: δοξάζεις, ἡγῇ. ἐκ τοῦ Θεολόγου· καὶ ὁ λόγος αἱρεῖ μὴ τιθέναι πρόσκομμα.

αι 301 Αἱρεῖσθαι: ἐργάζεσθαι.

αι 302 Αἱρῇ: βούλει. ἐπείπερ αὐτὸς αἱρῇ λέγειν.

αι 303 Αἱρησαμένων: βουλευσαμένων.

αι 304 Αἱρήσασθαι: λαβεῖν.

αι 305 Αἱρήσεται: λήψῃ.

αι 306 Αἱρήσειν: κρατήσειν, συλλαβεῖν, ἑλκύσαι, χειρώσασθαι, πορθῆσαι.

αι 307 Αἱρήσω τάχα: οἱ πειρώμενοι μετελθεῖν τινας εἰώθασι τοῦτο λέγειν. καὶ Αἱροῦντες ᾑρήμεθα, ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν καὶ ὑπ’ ἐκείνων ἁλόντων. αἱροῦντες οὖν ᾑρήμεθα, δοκοῦντες κρατεῖν ἐλήφθημεν.

αι 308 Αἱρήσομαι: λήψομαι, σκέψομαι, βουλεύσομαι.

αι 309 Αἱρείτω: κατασχέτω.

αι 310 Αἰρισέων: ὄνομα ἔθνους. καὶ Αἰρισεύς.

αι 311 Αἱρόμενος: φερόμενος.

αι 312 Αἰρόπινον: σκοτεινόν· καὶ τὸ κόσκινον, ἐν ᾧ πυροὶ σήθονται, ὑπὲρ τοῦ τὰς αἴρας διελθεῖν.

αι 313 Αἱρούμενος: βουλόμενος. καὶ Δεῖπνον αἱρουμένοις, ἀντὶ τοῦ ἑλομένοις δειπνεῖν. καὶ Αἱρῇ, ἀντὶ τοῦ λαμβάνεις, μετέχεις. σῖτόν τε αἱρῇ τὸν αὐτὸν ἐκείνοις καὶ πόμα παραπλήσιον.

αι 314 Αἴρω: τὸ ἐπαίρω· αἰτιατικῇ.

αι 315 Αἶσα: ἡ μοῖρα. ἐν Ἐπιγράμμασιν· οὐ φθονέω· τὴν σὴν ἤθελον αἶσαν ἔχειν. καὶ Αἶσα, ἡ μανία. τὸν αἶς’ ἄπλαστος ἴσχει. τουτέστιν ἡ μανία.

αι 316 Αἴσακος: ὁ κλάδος τῆς δάφνης, ὃν κατέχοντες ὕμνουν τοὺς θεούς.

αι 317 Αἴσηπος: ὄνομα ποταμοῦ.

αι 318 Αἴσιμα: τὰ προσήκοντα, παρὰ τὴν αἶσαν. ἐνίοτε δὲ τὰ καθήκοντα, ἢ τὰ ἀγαθά. ἔσθ’ ὅτε δὲ τὰ εἱμαρμένα.

αι 319 Αἰσιμία: ἡ μαντεία.

αι 320 Αἴσιμος: ὁ χωλὸς καὶ ἄτιμος καὶ ἀμαθής. Ἀριστοφάνης· σκοπεῖσθ’ ἕκαστος ὅ τι κερδανεῖ· τὸ δὲ κοινόν, ὥσπερ Αἴσιμος κυλίνδεται.

αι 321 Αἴσιον: τὸ καλόν, μέτριον, δίκαιον. καὶ Ὑπεραίσιον, τὸ ὑπὲρ τὴν μοῖραν, ὑπὲρ τὸ προσῆκον.

αι 322 Αἴσιος: ὁ καθήκων, ἀληθής. Μένανδρος· ἀλλ’ οὐκ αἰσίως αὐτοῖς ἀπέπνευσεν ἡ τύχη· οἱ γὰρ ἐθελοκακοῦντες οὐχ ὑπεστάλησαν. καὶ αὖθις· καὶ τοῦτο οὐκ αἴσιον δόξαι ἂν βασιλεῖ. ὅτι Δημοσθένης συνεφιλολόγησεν Αἰσίωνι τῷ Ἀθηναίῳ.

αι 323 Αἴσθεσθαι· γενικῇ· ἐνεστῶτος· αἰσθέσθαι δὲ ὑπερσυντελικός.

αι 324 Αἰσθάνεσθαι· γενικῇ. τοῦτο δύο σημαίνει, τὸ κατὰ δύναμιν καὶ κατ’ ἐνέργειαν. αἰσθάνεσθαι τοίνυν λέγονται οἱ κοιμώμενοι δύναμιν ἔχοντες τοῦ αἰσθάνεσθαι.

αι 325 Αἰσθέσθαι καὶ Αἰσθάνεσθαι διαφέρει. τὸ μὲν γὰρ αἰσθέσθαι ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἰσθάνεσθαι Ἀντιφῶν ἐν Προοιμίοις· ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾐσθημένος ἠδικημένους καὶ τοὺς ἄλλους πολίτας. τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησίν· οἶμαι μὲν τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει. ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος· τὰ δὲ τοιούτων δὴ μαρτυριῶν οἱ δικάζοντες τὰ μὲν αὐτοὶ συνειδότες, ὅτι ὑγίανεν ὁ παῖς, τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων, τὰ δὲ ἀκοῇ πυνθανόμενοι.

αι 326 Αἰσθήσεις ε′· ὅτι τρανεστέρα ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὕτη τῆς ὀσφρήσεως, ἡ ὄσφρησις τῆς γεύσεως καὶ τῆς ἁφῆς. ἡ μέντοι ἁφὴ δοκεῖ μηδὲ αἴσθησις εἶναι· ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ καὶ ταύτης μεταξύ, οἷον ὄψις μὲν περὶ τὸ μέλαν καὶ τὸ λευκὸν καὶ τὰ τούτου μεταξὺ χρώματα, ἀκοὴ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον καὶ τοὺς μεταξύ, ὄσφησις περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες, γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὰ τούτου μεταξύ. ἡ μέντοι ἁφὴ περὶ πλείους ἀντιθέσεις ἔχει οὐκ οὔσας ὑπαλλήλους· περί τε γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρὸν καὶ τὸ σκληρὸν καὶ μαλακόν, τὸ βαρὺ καὶ τὸ κοῦφον, τὸ μανὸν καὶ τὸ πυκνόν· ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται. ὅτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι οὐκέτι μετ’ ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται· ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος τῶν ἠρεμαιοτέρων οὐκ ἐπαισθάνεται, καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς πρὸς τοὺς ἥττους ἐστὶν ἀνεπαίσθητος, καὶ ὁ πρὸς ἥλιον ἀτενίσας ἀναγνῶναι οὐ δύναται οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι· ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς τούτοις ἐναντίως ἔχει· ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσοῦτον καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις αἱ ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν· ὑπερβολὴ γὰρ φωτὸς ἢ ζόφου ἔφθειρε τὴν ὄψιν· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ. ζήτει καὶ ἄλλα περὶ αἰσθήσεως ἐν τῷ μήνιγξ. ὅτι κοινὰ αἰσθητὰ ε′· α′ κίνησις, β′ ἠρεμία, γ′ ἀριθμός, δ′ σχῆμα, ε′ μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ’ ὅτι ἕκαστον πλείοσι καὶ οὐ μιᾷ, τινὰ δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς· ὁρῶμεν γὰρ ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος, καὶ ἁπτόμενοι αἰσθανόμεθα ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου λέγομεν ᾐσθῆσθαι μεγάλου ἢ μικροῦ, ἀλλ’ ἐνταῦθα κατὰ ἀναλογίαν τὸ μέγεθος εἴληπται, οὐ κυρίως. μέγεθος γὰρ νῦν λέγομεν τὸ συνεχὲς τῶν κοινῶν εἶναι αἰσθητῶν· ὁ μέντοι μέγας ψόφος ποσότητός ἐστιν ἐπιτεταμένης καὶ ἀνειμένης δηλωτικός, διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυριώτερον ἐπὶ τῶν ψόφων ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δὲ οὐ τὸ τρίγωνον ἢ κύκλος (τοῦτο γὰρ λόγου ἐστὶ τὸ εἰπεῖν ὅτι σχῆμά ἐστι τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον ἢ ὑπὸ τριῶν ἢ ὁσωνδήποτε), ἀλλ’ ὅ τι ἁπλῶς περιγέγραπται, πᾶσα δὲ περιγραφὴ κατά τι τῶν σχημάτων γίνεται. καὶ τὰ ἄλογα γοῦν ὅταν ἐπὶ μικρὸν ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν, ἅτε δὴ ἐπιστάμενα ὡς περιγέγραπται τὸ μέγεθος, καὶ οἷά τέ ἐστι διελθεῖν· εἰς δὲ ὑψηλὸν καὶ ἀπόκρημνον ἐμπεσόντα οὐκ ἐπιχειρεῖ παρελθεῖν συναισθόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ δὲ ἀριθμὸς κοινόν ἐστιν αἰσθητὸν πασῶν· ὁρῶμεν γὰρ ὅτι ε′ τυχὸν ἄνθρωποι, ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν καὶ ἀκούοντες. ὅτι αἴσθησις διαφέρει φαντασίας. καὶ ζήτει ἐν τῷ φαντασία.

αι 327 Αἰσθητήριον καὶ Αἰσθητόν.

αι 328 Αἴσθομαί σου: τὸ αἰσθήσεως ἐπιλαμβάνομαι.

αι 329 Αἰσθόμενοι· γενικῇ. νοήσαντες. οἱ δὲ τὴν προθυμίαν τοῦ Καίσαρος ἰδόντες καὶ τὰ ἔργα ὁμολογοῦντα ταῖς ἐλπίσιν αἰσθόμενοι.

αι 330

Αἴσθων: αἰσθανόμενος, καὶ βασανιζόμενος, ἢ ἐκπνέων.

αι 331 Αἰσούρ: ὄνομα κύριον.

αι 332 Αἰσώπειον αἷμα: ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων. οὐ γὰρ ἐνδίκως ἀπέκτειναν τὸν Αἴσωπον οἱ Δελφοί. Αἰσώπειον οὖν αἷμα, ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. Δελφοῖς γὰρ συνέβη τὸ δαιμόνιον ὀργισθῆναι, ἀδίκως ἀνελοῦσιν Αἴσωπον.

αι 333 Αἴσωπος, Μιθριδάτου ἀναγνώστης. ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησι Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα. ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

αι 334 Αἴσωπος, Σάμιος ἢ Σαρδιανός, Εὐγείτων δὲ Μεσημβριανὸς εἶπεν, ἄλλοι Κοτυαέα Φρύγα. ἐγένετο δὲ λογοποιός, ὅ ἐστιν εὑρετὴς λόγων καὶ ἀποκριμάτων. διέτριψε δὲ παρὰ Κροίσῳ φιλούμενος, τοῖς χρόνοις πρὸ Πυθαγόρου· ὃς μεσοῦν ἐπὶ τῆς μʹ Ὀλυμπιάδος. ἔγραψε τὰ ἐν Δελφοῖς αὐτῷ συμβάντα ἐν βιβλίοις βʹ. μᾶλλον δέ τινές φασι τὸν Αἴσωπον ἀποκρίματα γεγραφέναι μόνον. ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι ὑπ’ αὐτῶν κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν κατὰ τὴν νδʹ Ὀλυμπιάδα. οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ, ἄλλοι ἀνδρός τινος Σαμίου Ἰάδμονος, οὗτινος καὶ ἡ Ῥοδῶπις δούλη ἦν· ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα καὶ ἐξ αὐτῆς γεννᾷ.

αι 335 Αἴσωπος: ὁ τῶν μύθων ποιητής, Σάμιος, δοῦλος οὐ τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὲν οὐδὲ κατ’ αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι παραφέρειν, ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσιν, ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος. ὅτι Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ’ ἑσπέρας θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων. κἄπειτ’ ἐκεῖνος εἶπεν· ὦ κύον, κύον, εἰ νὴ Δί’ ἀντὶ τῆς κακῆς γλώττης ποθὲν πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκῇς. ὅτι τὸν Αἴσωπόν φασί τινες ὡς τοσοῦτον ἄρα θεοφιλῆ γενέσθαι ὡς καὶ ἀναβιῶναι αὐτόν, καθάπερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον. καὶ Πλάτων φησὶν ὁ κωμικός· καὶ νῦν ὅμοσόν μοι μὴ τεθνάναι τὸ σῶμα. ἐγώ. ψυχὴ δ’ ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ.

αι 336 Αἴστωρ: ὁ ἁγνός.

αι 337 Αἰσυήταο, τοῦ Αἰσυήτου.

αι 338 Αἰσυητῆρι: χοιροβοσκῷ.

αι 339 Αἴσυλα: παράνομα, ἄδικα. ἐν Μύθοις· αἰπεινὴν ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι.

αι 340 Αἰσύμη: πόλις. καὶ Αἰσύμνη, πόλις.

αι 341 Αἰσυμνητήρ: ὁ βασιλεύς.

αι 342 Αἰσυμνῆται: οἱ ἀγωνοθέται. οἱ τοῦ ἀγῶνος προεστῶτες· ἢ οἱ νεανίαι· ἢ οἱ νεμηταί· ὅ ἐστι βραβευταί. καὶ Αἰσυμνήτας.

αι 343 Αἰσυμνῆτις: ἡ δέσποινα.

αι 344 Αἴσυμνος: ὄνομα κύριον.

αι 345 Αἰσύφηλος: ὁ δειλός.

αι 346 Αἰσχίνης, Χαρίνου, ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον, Σφήττιον. διάλογοι δὲ αὐτοῦ Μιλτιάδης, Καλλίας, Ῥίνων, Ἀσπασία, Ἀξίοχος, Τηλαύγης, Ἀλκιβιάδης καὶ οἱ καλούμενοι Ἀκέφαλοι, Φαίδων, Πολύαινος, Δράκων, Ἐρυξίας, Περὶ ἀρετῆς, Ἐρασίστρατοι, Σκυθικοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αι 347 Αἰσχίνης, Ἀθηναῖος, ῥήτωρ, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, μαθητὴς δὲ κατὰ τὴν ῥητορικὴν Ἀλκιδάμαντος τοῦ Ἐλεάτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. οὗτος ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστάς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ κώνειον πιὼν ἀπέθανεν, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη. ᾤκησε μέντοι ἐν Ῥόδῳ καὶ ἐπαίδευσεν, ἡσσηθεὶς ὑπὸ Δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων τὸ θείως λέγειν ἤκουσε διὰ τὸ σχεδιάζειν, ὡς ἐνθουσιῶν.

αι 348 Αἰσχίνης, Ἀθηναῖος, Ἀτρομήτου γραμματοδιδασκάλου καὶ Λευκοθέας τῆς τελεστρίας, αὐτὸς ὑποκριτής, εἶτα γραμματεύς, εἶτα ῥήτωρ, προδότης, ὁ Κερσοβλέπτην καὶ Φωκέας προδούς. γραψάμενος δὲ παρανόμων Κτησιφῶντα, στεφανοῦν γράψαντα Δημοσθένην, ἡττήθη καὶ ἔφυγεν εἰς Ῥόδον καὶ ἐπαίδευσεν ἐκεῖ.

αι 349 Αἰσχίνης, ὁ τοῦ Λυσανίου. οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο. Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. Ἀρίστιππος δὲ ὁ Κυρηναῖος καὶ Ἑλίκων ἐκ Κυζίκου καὶ Φοίτων, ὅτε ἔφευγε Ῥήγιον, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυροὺς ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιόν φασιν Εὔδοξον ἐς Αἴγυπτόν ποτε ἀφικόμενον ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν καὶ διαλέγεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου. καὶ ἵνα μὴ πλείους διαβάλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασίν, ὡς ἐπὶ τὸν Κασσάνδρου γάμον ἐς Μακεδόνας κωμάσαι, ποιήματα ψυχρὰ ξυνθέντα δημοσίᾳ ταῦθ' ὑπὲρ χρημάτων ᾆσαι.

αι 350 Αἰσχίους: ἄνδρας ἀμόρφους.

αι 351 Αἰσχίω: χείρω.

αι 352 Αἶσχος: ἀτιμία.

αι 353 Αἰσχρὰ γυνή: ἄμορφος. καὶ Αἰσχρόν, ἐπὶ κακοῦ. ταῦτα αἰσχρὰ μὲν οἱ ἀμφ' αὐτὸν ἐγίνωσκον καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα.

αι 354 Αἰσχρίων, Μιτυληναῖος, ἐποποιός, ὃς συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου. ἦν δὲ Ἀριστοτέλους γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν.

αι 355 Αἰσχροκερδής· καὶ θηλυκὸν Αἰσχροκέρδεια.

αι 356 Αἰσχρόν· Σοφοκλῆς· αἰσχρὸν γάρ ἐστι τοῦ μακροῦ χρῄζειν βίου κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται. τουτέστιν ὅστις ἀεὶ ἐν κακοῖς ἐξετάζεται. αἰσχροῦ εἴδη δʹ· ἄδικον, δειλόν, ἄκοσμον, ἄμορφον.

αι 357 Αἰσχύλος, Ἀθηναῖος, τραγικός, υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Ἀμενίου, Εὐφορίωνος καὶ Κυναιγείρου, τῶν εἰς Μαραθῶνα ἀριστευσάντων ἅμα αὐτῷ. ἔσχε δὲ καὶ υἱοὺς τραγικοὺς δύο, Εὐφορίωνα καὶ Εὐαίωνα. ἠγωνίζετο δὲ αὐτὸς ἐν τῇ θʹ Ὀλυμπιάδι ἐτῶν ὢν κεʹ. οὗτος πρῶτος εὗρε προσωπεῖα δεινὰ χρώμασι κεχρισμένα ἔχειν τοὺς τραγικοὺς καὶ ταῖς ἀρβύλαις τοῖς καλουμένοις ἐμβάταις κεχρῆσθαι. ἔγραψε δὲ καὶ ἐλεγεῖα καὶ τραγῳδίας ϟʹ· νίκας δὲ εἷλεν ηʹ καὶ κʹ, οἱ δὲ τρισκαίδεκά φασι. φυγὼν δὲ εἰς Σικελίαν διὰ τὸ πεσεῖν τὰ ἰκρία ἐπιδεικνυμένου αὐτοῦ, χελώνης ἐπιρριφείσης αὐτῷ ὑπὸ ἀετοῦ φέροντος κατὰ τῆς κεφαλῆς, ἀπώλετο ἐτῶν νηʹ γενόμενος.

αι 358 Αἰσχύνει: αἰκίζεται, λυμαίνεται, αἶσχος περιτίθησιν.

αι 359 Αἰσχύνη πόλεως πολίτου ἁμαρτία.

αι 360 Αἰσχύνομαι· αἰτιατικῇ. καὶ Αἰσχῦναι.

αι 361 Αἰσχύνομαι ταῖς προτέραις ἁμαρτίαις.

αι 362

Αἰσχυνόμενος περιπλέκει τὴν συμφοράν: ἐν συνουσίᾳ.

αι 363 Αἴτημα: ἡ ἐπιθυμία. Δαβίδ· καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν.

αι 364 Αἰτήσασθαι: τὸ χρήσασθαι. Μένανδρος Τίτθῃ· ἢν ἄν τις ὑμῶν παιδίον ᾐτήσατο ἢ κέχρηκεν, ἄνδρες γλυκύτατοι. καὶ ἐν Ὕμνιδι· οὐ πῦρ γὰρ αἰτῶν οὐδὲ λοπάδα αἰτούμενος.

αι 365 Αἴτησις· παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι τοῦ ἐναντίου ἡ ἐν λόγοις παραγωγή, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου καὶ μετὰ ταῦτα πειρᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν καὶ διὰ τούτου τοῦ τρόπου δεῖξαι τὴν ἐναντιολογίαν τῶν ἀποκρίσεων.

αι 366 Αἰτήσιος: ὁ αἰτῶν.

αι 367 Αἰτηταί: οἱ παρά τινος τὶ αἰτοῦντες. οἱ δὲ Ῥόδιοι τῷ Περσεῖ οὐκ αἰτηταὶ τῆς εἰρήνης μᾶλλον ἢ δόται ὄντες ὑπερήφανα τοῖς Ῥωμαίοις διελέχθησαν.

αι 368 Αἰτία καὶ Πανταιτία.

αι 369 Αἰτίζων: ποιητικῶς. αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.

αι 370 Αἴτιον· ὅτι τετραχῶς τὰ αἴτια· ὡς ὕλη, ὡς εἶδος, ὡς τέλος, ὡς ποιητικόν. καὶ τῶν αἰτίων τὰ μὲν προκαταρκτικά, τὰ δὲ συνεργὰ ἢ συναίτια, τὰ δὲ τελικά.

αι 371 Αἰτιῶδες ψεῦδος: ἤτοι ὃ ἀπὸ ψεύδους ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον. οἷον διότι νύξ ἐστι, Δίων περιπατεῖ. σύνταξις· οἱ δὲ πεφευγότες ἦσαν ἀπὸ τῆς Μυσίας αἰτίαις τοιαῖσδε.

αι 372 Αἰτιῶμαι. δοτικῇ. ἔστιν δὲ καὶ αἰτιατικῇ· εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις. τί ἡμῖν αἰτιᾷ ὡς αἰτίοις.

αι 373 Αἰτναία πῶλος: ἡ μεγάλη. Αἰτναίας ἐπὶ πώλου βεβῶσαν.

αι 374 Αἰτναῖον πῦρ: τὸ Σικελικὸν πῦρ, ἐκ τοῦ ὄρους τοῦ λεγομένου Αἴτνη. καὶ αἰτνίζοντος.

αι 375 Αἴτνη: ὄρος Σικελίας.

αι 376 Αἰτναῖος κάνθαρος: ὁ μέγας. διὸ καὶ τὸ ὄρος μέγα. Ἀρισταῖον μόνον τὸν γίγαντα περισωθῆναί φασι, καὶ οὔτε πῦρ οὐράνιον ἐπ' αὐτὸν ἦλθεν, οὔτε Αἴτνη πιέζει αὐτόν.

αι 377 Αἰτούμενος: κιχράμενος. Μένανδρος Ὕμνιδι· οὐ πῦρ γὰρ αἰτῶν, ἀλλὰ λοπάδα αἰτούμενος. τὸ μὲν αἰτῶν, εἰσαεὶ ἕξων, τὸ δὲ αἰτούμενος, λαβών, αὖθις ἀποδώσων.

αι 378 Αἰτῶ· αἰτιατικῇ. αἰτοῦμαι.

αι 379 Αἰτωλία: χώρα.

αι 380 Αἰτώλιος.

αι 381 Αἰτωλός: ὁ ἀπὸ Αἰτωλίας.

αι 382 Αἱ Οἰδίποδος ἀραί: ἐπὶ τῶν μεγάλως δυστυχούντων.

αι 383 Αἰφηρητιάδης: πατρωνυμικόν.

αι 384 Αἴφνης: ἐξαίφνης.

αι 385 Αἰφνίδιον: αἰφνιδίως.

αι 386 Αἱ Χάριτες γυμναί: ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι· ἢ ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον περιῄρηνται.

αι 387 Αἰχμαλωτίζω. καὶ Αἰχμαλωτεύω· αἰτιατικῇ.

αι 388 Αἰχμάλωτος.

αι 389 Αἰχμάσσουσι: δορατομαχήσουσιν.

αι 390 Αἰχμή: ἡ ἐπιδορατίς, ὁ σίδηρος τοῦ δόρατος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αι 391 Αἰχμητής: πολεμικός.

αι 392 Αἶψα: θᾶττον. λάζεο, τιμήεσσα Κυθηριάς, ὑμνοπόλοιο αἶψα τάδε κλυτοῦ δῶρα Λεωνίδεω. ἐν Ἐπιγράμμασι.

αι 393 Αἶψα: ἀντὶ τοῦ ταχέως. καὶ Ὅμηρος· αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

αι 394 Αἰψηρήν: ἀντὶ τοῦ αἰψηρῶς, ταχέως. λῦσαν δ’ ἀγορὴν αἰψηρήν. οὐκ ἐπὶ τῆς ἀγορᾶς. καὶ Αἰψηρός, ὁ ταχύς. ἀπὸ τοῦ ψαίρειν, ὃ σημαίνει τὸ ταχύνειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org